ὁπότε δὲ λέγει ὁ ποιητὴς θῆλυν ὑπόῤῥηνον, ἀπ' εὐθείας τῆς ὑπόῤῥηνος κλίνει, ἥτις ἀπὸ γενικῆς ἀπεδέξατο τὴν σύνθεσιν· ὡς παρὰ τὴν μηνὸς τὸ δίμηνος ἢ τρίμηνος, οὕτως ῥηνὸς ὑπόῤῥηνος. ἀναθράμωμεν ἐπὶ τὰ παραδείγματα· ξῆν, μῆν, σπλῆν, σφῆν, ψῆν. Ἀριστοφάνης,

ἤτοι κνῆπες καὶ ψῆνες ἀεὶ τὰς σίκας οὐ κατέδονται.

εἴπερ οὖν ἀληθές ἐστι τὸ μηδὲν εἰς ην λῆγον μονοσύλλαβον θηλυκὸν γένος σημαίνειν, δῆλον ὅτι πεπλάνηται τὸ φρὴν περὶ τὸ γένος. διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα. φρενὸς γὰρ, τῶν ἄλλων φυλασσόντων τὸ η. οὐκ ἀντιθήσει τὶς ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν λεοντίου ά·

δερκόμενος πρὸς κῦμα, μόνη δέ οἱ ἐφλέγετο γλήν.

οὐ γὰρ ἐντελὲς, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.

Σειρήν. οὐδὲν εἰς ην λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενον θηλυκόν· μόνον δὲ τὸ σειρὴν, ποτὲ δὲ καὶ μελίσσης εἶδος σημαίνει ἀρσενικῶς, ἁπλῶς λεγόμενον, οὐ κεκοινώνηκε. διὸ καὶ οἱ ἀδένες ἀρσενικῶς λεγόμενοι παρ' Ἱπποκράτει ἀναλόγως λέγονται.

Γαστήρ. τὰ εἰς ηρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν θηλυκὰ ὄντα βαρύνεσθαι θέλει, μήτηρ, θυγάτηρ, εἰνάτηρ, δημήτηρ· οὐδὲν δὲ θέλει ὀξύνεσθαι. σημειώδης ἡ γαστὴρ ὀξυνομένη. καὶ γὰρ ἄλλως τὰ εἰς ηρ ὀξυνόμενα ἀρσενικὰ, ὁπότε μὴ κατὰ μεταβολὴν γένους εἴη· ἀστὴρ, πρηστὴρ, καυστὴρ, πληκτὴρ, ἀλκτήρ. προσέθηκα δὲ, ὁπότε μὴ κατὰ μεταβολὴν γένους, διὰ τὸ,

ῥαιστῆρα κρατερὴν ὕλης τε γαστῆρα.

τοιαῦτα γάρ ἐστι ὁποῖον ἡ αἰθὴρ, ἡ ἀήρ.

Σκηνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ τῷ η παραληγόμενα βαρύνεται· ῥήνη. κρήνη. φήνη, φήνη ἐειδομένη. γλήνη. σμήνη. σημειώδης ἄρα ἡ σκηνή.

Δοθιήν. οὐδὲν εἰς ην λῆγον ὄνομα ὀξυνόμενον καθαρεύει κατὰ χρῆσιν Ἑλλήνων, ἀλλ' ἀεὶ πρὸ τοῦ η σύμφωνον ἔχει ἢ σύμφωνα· οἷον σωλήν. λειχήν. κηφήν. αὐχήν. πηρὴν καθ' Ἡσίοδον πατὴρ υἱός. αἰζὴν ταντάλου παῖς. στελήν. σειρήν. βαλλήν, οὗτος ὁ βασιλεύς. ἐσθὴν ὁ οἰκιστὴς, μυρμιδόνων ἐσσῆνα Καλλίμαχος. πυθμήν. λιμὴν. ἀτμήν. καμασὴν ἰχθύς τις λέγεται. ἀραφὴν, εἷς τῶν ἑκατὸν ἡρώων. ἡλακατὴν, καὶ τοῦτο ὄνομα ἰχθύος κητώδους, ἀλλὰ καὶ τὸ κύριον. δῆλον ὅτι σημειώδης ὁ δοθιὴν παρ' Ἀττικοῖς λεγόμενος καὶ μὴ ἔχων πρὸ τοῦ η σύμφωνον. Τηλεκλείδης,

ὃδ' ἀπ' αἰγιῦνης οὐ χωρεῖ δοθιὴνος ἔχων
τὸ πρόσωπον.

καὶ Ἕρμιππος ἐν θεοῖς·

φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονθε δοθιὴνός.

εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ ζάην καθαρεύει, καὶ αἰτιατικὴ παρὰ τῷ ποιητῇ κατ' ἔκθλιψιν τοῦ ω, ὥσε δ' ἐπὶ ζάην ἄνεμον, πρῶτον μὲν ἔπεται, ὡς οὐχ ὑμῖν τὸ τοιοῦτο παραλήψεται πίστιν, ὀφείλει ἐξ ἄλλων πτώσεων παραθέσθαι. προείπομεν δὲ κατὰ χρῆσιν τῶν Ἑλλήνων, οὐχὶ καθ' ὑπόστασιν, λεγόμενον πάντα. φυλακτέον δὲ ὡς πολλοὶ ἐν τῇ συνηθείᾳ διὰ τοῦ ω λέγουσι τὸ δοθιῶν, συναποφερόμενοι τῷ κνακιῶν καὶ ἀσιῶν καὶ ἀνθεσηριῶν καὶ τοῖς τοιούτοις.

Πυρά. τὰ εἰς ρα λήγοντα θηλυκὰ μονογενῆ τῷ υ παραλληγόμενα, ἢ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς τὸ ἄγκυρα, ὅλυρα, κέρκυρα, κόρκυρα· ἢ παροξύνεται, ὡς τὸ ἐφύρα, πορφύρα, κολύρα, ξεφύρα, λύρα, θύρα· ἢ προπερισπᾶται, ὡς τὸ σφῦρα· οὐδ' ὅτι οὖν ἐστιν ὀξυνόμενον, σημειῶδες ἄρα τὸ πυρά. τὸ δὲ,

πυρῇσι μὲν πρῶτα ποσειδάων ἐπέλασσε
πέτρῃσι μεγάλῃσι,

εἰ καὶ ἰδίως λέγεται, ἀλλ' ὅμως ἔχει τάξιν ἐπιθετικήν.

λέγεται δὲ καὶ περὶ τούτων μόι πάντων ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Ἐρωδιός. τὰ διὰ τοῦ διος ὀνόματα πάντα προπαροξύνονται, χωρὶς εἰ μὴ τριβράχεα εἴη, ἢ ἐπὶ κυρίων, ὥσπερ ἔχει τὸ σχεδίος· σχεδίον δ' ἐλελήϊτος ἥρως. καὶ κάρης ὅστ' ἐρωδιός τε. προπαροξύνονται οὖν ταῦτα· ἀΐδιος, μαψίδιος, φωρίδιος, ἐπιμαστίδιος, ὀηΐδιος, θνητάδιος, κρυπτάδιος, παυρίδιος, μουσάδιος, μιχθάδιος, ὑῤῥάδιος, μολπάδιος, ὑσσάδιος, μιννυθάδιος, καὶ ἄλλο μυρίον πλῆθος. διὸ σημειωτέον ἐρωδιὸς ὀξυνόμενον, ὅπερ ἔχει πρὸς τὸ ῳ καὶ τὸ ι γραφόμενον. λέγεται δὲ ἔσθ' ὅτε καὶ τρισυλλάβως, ὥσπερ καὶ ὁ παρ' Ἱππώνακτι·

ἐγὼ δὲ δεξιῷ παρὰ ῥητὴρ
κυμωφέως ἐλθὼν ῥωφιῷ κατημλίσθην.

τὴν δὲ λύσιν τούτων ἐν τῷ πέμπτῳ περὶ καθολικῆς προσῳδίας ἐποιησάμην.

Μηχανή· τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται, πτωάνη, ὀρεπάνη, σαργάνη, βρυκάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανὴ σημειοῦται ὀξυνόμενον. προσέθηκα ὑπὲρ δύο συλλαβῶν δι' ὁ φανὴ παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένου·

ὀρνιθοδόκος φανὴν ἐντοσθεν ἐκεύθον.

τὸ γὰρ παρὰ Κορίννῃ βάνα οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.

Εἷς. οὐδὲν ἀρσενικὸν εἰς εἰς λῆγον περισπᾶται, ἀλλὰ μόνον τὸ εἷς. ἀναλογώτερον ἄρα ἕνεκα τόνου τὸ ἕεις βαρυνόμενον·

ὀφθαλμὸς δὲ ἕεις ἐν μέσῳ ἔκειτο μενῴπῳ.

προσέθηκα δὲ ἕνεκα τόνου, ἐπεὶ οὐχ ὑγιαίνει ἐν τῷ πρὸ τέλους συλλαβῇ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἀχέεις καὶ βρωμέεις.

Τίς. οὐδὲν εἰς τις λῆγον συνεσταλμένον μονοσυλλαβεῖ, πάντα δὲ ἐκτείνεται, ὡς τὸ λίς, κὶς, ῥὶς, ἶς, ἔνθεν καὶ ἡ ἶνος γενικὴ. σημειῶδες ἄρα τὸ τὶς συστέλλον τὸ ῐ. τὸ τὶς ἐπὶ ποταμοῦ κείμενον παρ' Ἡροδότῳ ἐκτεινόμενον ἔχει τὸ ῑ. οὕτω καὶ Σκύμνος ἐν τῷ ἰ τῆς ἁλίας περίπλω· εὑρεῖθη ἔχεται κέλευθε ῥὶς πόλις σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει νήρης καὶ ἄλσος· ἶς ποταμὸς παρὰ θάλασσαν ἔξεισιν. ἔστιν ἶς τῆς Ἰταλίας, ὡς πάρθαξ ἐν τῷ β' τῶν Ἰταλικῶν, ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν ποσειδωνίαν ὁ ἥρα-10 κλῆς· ἔστι δὲ ποτὰμὸς εἷς καλούμενος μέγας. εἰ δέ τινες συστέλλουσι τὸ ῑ εἰς ἀποφυγὴν τούτου, οὐ γὰρ ἐμοὶ ἶς ἶσχοι ἢ πάρος ἔσκεν, πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν. τὰ πύσματα ὀνοματικὰ ὄντα εἰς ος θέλει καταλήγειν· ποῖος, πόσος, πη-15 λίκος, ποδαπὸς, πόστος· τὸ δὲ τὶς οὐ παρεδέξατο τὴν εἰς ος κατάληξιν. ἀπαιτεῖ τὰ πύσματα τὴν εὐθεῖαν πτῶσιν· ἀλλὰ καὶ ἐν τοῖς ἐπιῤῥήμασιν ἡ αὐτὴ ἀρχὴ, πόσως, ποίως, ποδαπῶς, ποῦ, πῶς, πηλίκως, πῇ, πόθεν, πόσε, πόθι, πῆμος. μόνον δὲ τὸ τὶς ἀπὸ τοῦ τ20 ἤρξατο. πρόσκειται δὲ κατ' εὐθεῖαν πτῶσιν, ἵν' ἐπρύγωμεν τὸ κατὰ γενικὴν τὸ ῡ λεγόμενον ἢ τέο ἢ τευ.

Ὀλίγος. οὐδὲν εἰς ος ὑπερ δύο συλλαβὰς τῷ ῐ παραλήγεται καὶ παροξύνεται, ἀλλὰ μόνον τὸ ὀλίγος. μήτ' οὖν ταραντῖνοι χωρὶς τοῦ γ προφερόμενοι τὴν λέ-25 ξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δουλῷ μελεάγρῳ,

ὀλίοισιν ὑμῶν ἐμπέφυκ' εὐψυχία.

καὶ εὐνιοβάται,

χρήξω γὰρ ὄλιον μισθὸν αὐτὸς λαμβάνειν.30

πολλὰ γάρ ἐστι εἰς ος λήγοντα καθαρῷ τῷ ῐ παραληγόμενα καὶ παροξυνόμενα, ὡς τὸ πλησίος, ἀντίος, νυμφίος ἐπὶ διαφόρου σημαινομένου, μυρίος καὶ τοῦτο ὁμοίως. οἵ γε μὴν, ἐστὶ τὸ εἰς γος λῆγον παραληγόμενον τῷ ῐ ὑπὲρ δύο συλλαβὰς ὑπάρχον καὶ προπαροξυ-35

νόμενον. Πλάτων μέντοι ὁ κωμικὸς ἐν Ὑπερβόλῳ διέπαιξε τὴν ἄνευ τοῦ γ̄ χρῆσιν ὡς βάρβαρον, λέγων οὕτως·

δδ' οὐ γὰρ ἠττίκιζεν ὦ μοῖραι φίλαι·
ἀλλ' ὁπότε μὲν χρείη δικιτώμην λέγειν,
ἔφασκε δὴ τῷ μήν· ὁπότε δ' εἰπεῖν δέοι
ὀλίγον, ἔλεγεν.

Καρκίνος. οὐδὲν εἰς νος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ῑ̄ συνεσταλμένῳ παραληγόμενον παροξύνεται· ἀλλ' ἤτοι προπαροξύνεται, ὡς τὸ δρύϊνος, λίθινος, φήϊνος, καὶ ὅσα ἐστὶ τούτοις ἐμφερῆ· ἢ ὀξύνεται, ὡς τὸ ἐαρινὸς, θερινὸς, πυκινός· οὐδὲν δέ ἐστι παροξυνόμενον. διὸ ἐπιστατέον τὸ καρκίνος· καὶ μόνον γὰρ παροξύνεται. καὶ ὁ αὐτὸς τόνος καὶ ἐπὶ τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ, ὁμοίως καὶ τοῦ θαλασσίου καὶ τοῦ κυρίου ἐπιγείου, καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶς τινες τοῦτο προπαροξύνουσι. περὶ δὲ τούτου ἐντελῶς εἴρηται ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Πηλίκος. τὰ εἰς κος λήγοντα καθαρὰ ὑπὲρ δύο συλλαβὰς, ὁπότε τῷ ῑ̄ παραλήγει συνεσταλμένῳ, ἤτοι προπαροξύνεται, ἀνθέρικος, κύζικος· τὸ ᾠδικὸς, ἀσφοδελικὸς ὀξύνεται, ὡς τὸ πελωπικὸς, τρωϊκός· οὐδὲν δὲ ὁτιοῦν παροξυνόμενόν ἐστι. ἐπιστατέον τῷ πηλίκος παροξυνομένῳ. τούτῳ δὲ ἀκόλουθον καὶ τὸ ἡλίκος, τηλίκος, πηλίκος παρὰ Δωριεῦσι καὶ ὁπηλίκος· μία γὰρ αὐτῶν ἡ συζυγία ἐστὶ, καὶ ὁ αὐτὸς τόνος τοῖς πυσματικοῖς καὶ τοῖς ἀνταποδοτικοῖς τοῖς ὑπὲρ μίαν συλλαβήν. τὰ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβὰς, εἰ παραλήγοιτο τῷ ῑ̄ καὶ παροξύνοιτο, πρὸ τοῦ κ̄ τὸ σ̄ ἔχει. ἀστερίσκος, ὀβελίσκος, μανίσκος, κωρακίσκος. ἐχρῆν οὖν τὸ πηλίκος, εἰ παροξύνοιτο, πρὸ τοῦ κ̄ τὸ σ̄ ἔχειν, ὡς τὸ ἀστερίσκος, ἢ μὴ παροξύνεσθαι. πάντων δὲ λύσεις δίδωμι ἐν τῷ περὶ καθολικῆς προσῳδίας.

Κοῖλος. οὐδὲν εἰς λος λῆγον δισύλλαβον βαρύτονον τῇ οι διφθόγγῳ παραληγόμενον, ὅτι μὴ μόνον τὸ

κοῖλος. ἀνάλαγον οὖν ἐστι τρισυλλαβοῦν καὶ λεγόμενον κόϊλος. μέμνηται γὰρ τὸ αἰγιαλὸς, μυττιλὸς, πυτιλὸς, νυκτιλός.

Ἑταῖρος. οὐδὲν εἰς ρος λῆγον ὑπὲρ δύο συλλαβὰς ἁπλοῦν προπερισπᾶται ἔχον πρὸ τέλους τὴν αι δίφθογγον, ἀλλὰ μόνον τὸ ἑταῖρος. ὅσως οὖν ἀναλογώτερον τὸ ἑτάρος τε, χωρὶς τοῦ ι λεγόμενον. πολλὰ γάρ ἐστι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος, φλύαρος· τούτου δέ τινες ἐκτείνουσι τὸ α, καὶ μάλιστα παρ' Ἀττικοῖς. ἔστι μέντοι τινὰ προπαροξυνόμενα ἔχοντα τὴν αι δίφθογγον ἀπέραντά ἐστιν, ἄκαιρος, εὔκαιρος, εὐπάλαιρος· ἔστι δὲ χωρίον τῆς ἀκαρίας. μέμνηται καὶ Ἐπίχαρμος, ὡς ἐν ἐλπίδι πλούτῳ οὕτουν παλαιρὸς, οὔτε βοιαυτοῦ.

Ὕστερος. τὰ εἰς τερος συγκριτικὰ, εἰ ἔχει πρὸ τῆς τερος παραγωγῆς τὸ υ, οὔτε τρισυλλαβεῖν θέλει, οὔτε ἔχειν προηγούμενον τοῦ τ τὸ σ· ἀπὸ γὰρ τῶν εἰς υς τὸ ὄνομα θέλει παράγεσθαι· ταχύτερος, πλατύτερος, βραχύτερος, ἡδύτερος. σημειῶδες ἄρα τὸ ὕστερος, μήποτε ἀπὸ τῶν εἰς υς λῆγόντων παραχθὲν, τρισύλλαβόν τε ὑπάρχον, καὶ ἔχον τὸ υ προηγούμενον τοῦ τερος. ἀλλ' ἴσως αἴτιον τὸ πάθος, ὡς δείκνυται ἐν ἑτέροις, ἔνθα καὶ περὶ τοῦ, κύντερον ἄλλο γυναικός. οὐκ ἔστι συγκριτικὸν, τό τε ἰθύντερος ὑπὲρ τρεῖς ἐστι συλλαβὰς, ῥήματι παρακείμενον τῷ ἰθύνω. τὸ δὲ ἐπασσύτερον, ὡς τότ' ἐπασσύτερα δαναῶν, οὐκ ἔχει φυσικὸν τὸ υ, ἐκ δὲ τοῦ ἀσσοτέρου ἐτράπη·

ἀσσοτέρω καθίσασα παραὶ πυρί.

Ἀνήρ. οὐδὲν τῶν εἰς ηρ λῆγον ὀξυνόμενον ἔχει τὸ ν πρὸ τοῦ η, ἀλλὰ μόνον τὸ ἀνήρ· τὸ δ' αἴτιον πρόδηλον. προσέθηκα δὲ ὀξυνόμενον διὰ τὸ σύνηθες βαρυνόμενον κύριον καὶ δηλοῦν ποταμὸν ἐν σικελίᾳ.

Ὀδούς. τὰ εἰς δους λήγοντα ὀνόματα ἁπλᾶ περισπᾶται, υἱδοῦς, θυγατριδοῦς, τηθαλλαδοῦς· ἀλλὰ μόνον τὸ ὀδοὺς ὀξυνόμενον ὁμοίως ταῖς μετοχαῖς καὶ

κλίσιν μετοχῶν ἀνεδέξατο· τὸ ὀδόντος γὰρ ὡς διδόντος. λέγεται δὲ καὶ ὀδῶν πρὸς Ἰώνων.

Ὕψος. οὐδεμία λέξις ἀρχομένη ἀπὸ τοῦ υ ἔχει ἐπιφερόμενον διπλοῦν· ἀλλὰ μόνον τὸ ὕψος καὶ τὰ παρ' αὐτοῦ γεγονότα· αἴτιον δὲ τὸ πάθος. Αἰολεῖς δίψος λέγουσιν αὐτὸ οἰκειότερον. ἔστι γὰρ εὑρέσθαι τὸ ι πρὸ διπλοῦ, ἴζω, ἰξός,

μετὰ δ' ἴψαο λαὸν ἀχαιόν.

Περὶ μονήρους λέξεως τῆς ἐν ῥήμασι καὶ ἐπιῤῥήμασι.

Ἄγω. οὐδὲν εἰς γω ὁριστικὸν καθαρὸν δισύλλαβον βαρύνεται, καὶ πρὸ τέλους ἔχει δίχρονον συνεσταλμένον κατὰ χρῆσιν Ἑλλήνων, τὰ δὲ ὄντα περισπᾶται, τραγῶ, στυγῶ, σφριγῶ. σημειῶδες ἄρα τὸ ἄγω βαρυνόμενον οὐχ ὑγιῶς· ἔστι γὰρ καὶ περισπώμενον ἐπὶ δευτέρας συζυγίας· εὖτ' ἂν τῇδ' ἄγε χρέος ἄνδρας. πρόσκειται καθαρὸν, διὰ τὸ μίσγω· συστελλόμενον δίχρονον, διὰ τὸ πνίγω· κατὰ χρῆσιν δὲ λεγόμενον Ἑλλήνων, διὰ τὸ θίγω. τοῦ γὰρ θίξω ἔσται τὸ θέμα τοῦτο ἄλλου. λέγεται δὲ ὑποτακτικῶς κατὰ τὸν ὁριστικὸν χρόνον ἐὰν θίγω· διὸ προσεθήκαμεν ὁριστικόν.

[Μίσγω. οὐδὲν ῥῆμα δισύλλαβον βαρύτονον] ἔχον πρὸ τοῦ ω ἓν τι τῶν μέσων κατ' ἐπιπλοκὴν ἔχει τὸ σ· ὁ δὲ λόγος ἐπὶ τῆς ἡμετέρας διαλέκτου· φέρβω, τρίβω, λείβω, ἥδω, ἔδω, τέγγω, στέργω. μονῆρες ἄρα τὸ μίσγω κατ' ἐπιπλοκὴν ἔχον τὸ σ.

Ἐλαύνω. οὐδὲν εἰς νω λῆγον ῥῆμα ὁριστικὸν βαρύτονον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐλαύνω βαρύτονον παρ' ἐνίοις, καὶ παρ' ἄλλοις περισπᾶται.

Παίζω. οὐδὲν εἰς ζω λῆγον ῥῆμα ἔχει πρὸ τέλους τὴν αι δίφθογγον ἐκφωνουμένην, ἀλλὰ μόνον τὸ παίζω.

Κράζω. τὰ εἰς ζω λήγοντα ῥήματα ὁριστικὰ, εἰ ἔχοι πρὸ τέλους μόνον τὸ α, ἔχει αὐτὸ συνεσταλμένον,

ὑπεσταλμένης τῆς αἰολίδος διαλέκτου· οἷον σφάζω, στάζω, λάζω, χάζω, εὐάζω, ἐκπλησιάζω, σκεπάζω, ἀνιώζω, ἀγοράζω· τοῦτο ἐπὶ ἑτέρου σημαινομένου θέλουσιν ἐπιτείνειν, ὥσπερ καὶ τὸ πλάζω. ἀλλ' οὖν γε ταῦτα τὰ ἀττικά ἐστιν. σημειῶδες οὖν ἀσύνηθες πᾶσι τὸ κράζω ἔχον ἐκτεινόμενον τὸ ᾱ, εἰ μὴ ἄρα τὸ κράζω ἰσοχρονῆσαι ἠθέλησαν αὐτό. πρόσκειται μόνον τὸ ᾱ ἐπὶ τὸ σφαδαίζω, τεραίζω, ματαίζω, πρὸς τὸ ᾱ τὸ ῑ γραφόμενον ἔχοντα. παραστησόμεθα δὲ αἰολίδα διάλεκτον διὰ τὸ πτάζω ἔπταζον· ὡς τὸ, ὄρνιθες ὠκὺν αἰετὸν ἐξα-πτήνας φανέντα· ἐκ δὲ τοῦ κοινοῦ ἦν τὸ, ἔπτησαν δὲ αὐτὸ, ἐπὶ τοῦ πλάζω· τὸν δὲ ἐπιπλάζοντες ἂν ἐμοὶ φέροιεν καὶ μελεδῶναι, ἀντὶ τοῦ ἐπιπλήσ-σοντες.

Δίδωμι. οὐδὲν τῶν εἰς μι ληγόντων ῥημάτων τῆς τρίτης συζυγίας κατὰ χρῆσιν ἐστὶν Ἑλλήνων ἐπὶ ἐνεστῶ-τος χρόνου, ἀλλὰ μόνον τὸ δίδωμι. νῦν γὰρ τοὺς Αἰο-λεῖς παραιτούμεθα.

Εἰμί. οὐδὲν εἰς μι λῆγον ὁριστικὸν ῥῆμα κατὰ τὴν ἡμετέραν διάλεκτον διφθόγγῳ παραλήγεται, ἀλλὰ μό-νον τὸ εἰμὶ, ὃ σημαίνει τὸ ὑπάρχω. οὐκ ἀγνοῶ δὲ, ὅτι καὶ τὸ βαρυνόμενον ἡ παράδοσις διὰ τῆς ει διφθόγγου γράφει· οὐχ ὑγιῶς μέντοι οὔτε κατὰ τὸ κίνημα αὐτοῦ, οὔτε κατὰ τὴν αἰολίδα διάλεκτον, ὡς δέδεικταί μοι ἐν τοῖς περὶ ὀρθογραφίας. πρόσκειται δὲ κατὰ τὴν ἡμετέ-ραν διάλεκτον, ἐπεὶ Αἰολεῖς πάλαιμι καὶ γέλαιμι φασὶ καὶ πλάναιμι, Βοιωτοὶ δὲ τάρβειμι καὶ ποίειμι καὶ φί-λειμι.

Ἐστί. οὐδέποτε ῥῆμα γ' προσώπῳ εἰς τι λήγει. λέ-γω δὲ πρὸ τοῦ τ ἔχον τὸ σ, οὔτε κατὰ τὰς ἄλλας δια-λέκτους, οὔτε κατὰ τὴν συνήθειαν, ἀλλὰ μόνον τὸ ἐστί.

Ἐσμέν. τὰ εἰς μεν λήγοντα πληθυντικὰ ἀεὶ θέλει καθαρὸν ἔχειν τὸ μ. δίδομεν, τίθεμεν, λέγομεν, νοοῦ-μεν. εἰ μέντοι σύμφωνον εὑρεθείη, συγκοπὴ πρὸ αὐ-τοῦ ὁρᾶται γινομένη· ἴσαμεν ἴσμεν, ἴδομεν ἶδμεν, ἰοί-

καμεν ἔοιγμεν, δέδεγμεν, ἐπέπιθμεν. τὸ μέντοι ἐσμὲν οὐχ οὕτως ἔχει. οὐκ ἀγνοῶ δὲ, ὅτι καὶ ἔσμεν λέγεται· γρῆες ἔμεν καὶ ἡμῖν· ἡμεῖς δειμέντοιο.

Οἶδα. οὐδεὶς παρακείμενος δισύλλαβος κατὰ τὴν συνήθειαν καὶ τὴν παλαιὰν χρῆσιν ἀπὸ τῆς οι διφθόγγου ἄρχεται, ἀλλὰ μόνος ὁ οἶδα. οἱ γὰρ περὶ Ἀλκαῖον ὄϊδα λέγουσι τρισυλλάβως. προσέθηκα δὲ κατὰ τὴν παλαιὰν χρῆσιν, ἐπεὶ παρ' Ἀττικοῖς ἐστί· ἔσθ' ὅτε ᾠδα λέγομεν δισυλλάβως.

Ἔπεσον. οὐδεὶς δεύτερος ἀόριστος εἰς ον λήγων πρὸ τοῦ ο ἔχει τὸ σ, ἀλλὰ μόνον τὸ ἔπεσον. ὁ γὰρ κατέχεσον παρ' Ἀλκαίῳ τῷ κωμικῷ ἐν Γανυμήδει εἰρημένος οὔτε τῆς τῶν ἄλλων Ἑλλήνων χρήσεώς ἐστι, οὔτε κατά τινα ἀναλογίαν ἐξενηνεγμένος, ἤτοι κωμικῶς πεποιημένος.

Αἰνῶ. τὰ διὰ τοῦ αινω δισύλλαβα βαρύτονά ἐστι· βαίνω, δραίνω, ῥαίνω, καίνω, κταίνω, σαίνω, χραίνω. αἴνω τὸ δασυνόμενον καὶ βαρυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς. Φερεκράτης, αἴνειν πτήσσειν. σεσημείωται τὸ αἰνῶ περισπώμενον. οὐκ ἀγνοῶ δὲ, ὅτι καὶ ὄνομα αὐτοῦ προκατῆρξε· διὸ περιεσπάσθη.

Δός. τὰ εἰς σ λήγοντα προστακτικὰ μονοσύλλαβά τε ἐστὶ καὶ τὸ ε ἔχει· ἕς, ἕνθεν τὸ ἄφες, πρόες· θές· φρές· σπές. ἔνθα ταθεὶς φρές μ' ὡς τὸ μειρακύλλιον. σημειῶδες τὸ δὸς μόνον τὸ ος ἔχον· αἰτία δὲ ἡ συζυγία.

Δοῦναι. οὐδὲν εἰς ναι λῆγον ἀπαρέμφατον τῇ ου διφθόγγῳ παραλήγεται· ἀλλ' εἰ παραλήγοιτο διφθόγγῳ, τῇ ει παραλήγεται, εἶναι, εἴτε δασυνόμενον ἀορίστου χρόνου. σημειῶδες ἄρα τὸ δοῦναι. ὅτι γὰρ οὐδὲν ἐστι τὸ λέγειν δῶναι, ὡς γνῶναι, βιῶναι, δῆλον μὲν ἐκ τῆς χρήσεως τῆς ὁμηρικῆς,

κέλεαι δέ με τήνδ' ἀποδοῦναι.

δῆλον δὲ ἔσται ἐκ τοῦ κατ' ἀναλογίαν κινήματος ἐν ἑτέροις. τὰ τῇ ου διφθόγγῳ παραληγόμενα ἀπαρέμφατα

προ τῆς αι διφθόγγου τὸ ο ἔχει, ἀκοῦσαι, ὀροῦσαι, λοῦσαι. πῶς οὖν τὸ δοῦναι ἔχει τὸ ν; τοῦτο γὰρ,

ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα δοῦναι,

ποιητικόν. τινὲς δὲ αὐτὸ καὶ διὰ τοῦ ω ἔγραφον.

Περὶ ἐπιῤῥημάτων.

Ἅπαξ. τὰ εἰς αξ λήγοντα ἐπιῤῥήματα ὀξύνεσθαι θέλει, ὀκλαξ, ὀδαξ, ἐναλλαξ, εὐθραξ, αὐτοδαξ, ἐπιδάξ· ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται. ὅπερ ἐν συντάξει τοῦ πάντως ἢ τοῦ ἁπλῶς ἐκκλίνει τὸν τόνον, ὡσεὶ ὀξύνοιτο τὸ ἅπαξ· ἅπαντες γὰρ λέγομεν τὸ ἁπαξαπλῶς ἐν τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ.

Ὧδε. οὐδὲν εἰς δε λῆγον ἐπιῤῥῆμα δισύλλαβόν ἐστι τῷ ω παραληγόμενον, ἀλλὰ μόνον τὸ ὧδε.

Ἔνδον. οὐδὲν εἰς δον λῆγον ἐπιῤῥῆμα βαρύνεσθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡς ἔχει τὸ σχεδὸν, ταυρηδὸν, ἑλκηδὸν, πασταδὸν, παρακλιδὸν, ῥυδὸν, ὁμφαδὸν, ἀφνειοῖο ἄφθονος ἀκόλουθα ἡ παράθεσίς ἐστι τῶν ὀξυνομένων· ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆς διαλλαγῆς ἐν ἑτέροις δίδοται ἡ αἰτία.

Πάρεξ. οὐδὲν εἰς εξ ἐπιῤῥῆμα βαρυνόμενον ἐκ δύο προθέσεων συνεστηκὸς, ὅπερ καὶ γενικῇ θέλει συντάττεσθαι, ἀλλὰ μόνον τὸ πάρεξ. καὶ γὰρ ἡ συνήθεια οὕτως ἔσθ' ὅτε φησὶ, πάρεξ ἀπολλωνίου· ὃν τρόπον καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ ἔφη, πάρεξ τοῦ τε σκυθίου ἔθνεος. παρὰ μέντοι τῷ ποιητῇ ἕτερόν ἐστι τὸ ὀξυνόμενον· ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε· παρὲξ περιμήκεα δῶρα. εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ ὁμηρικῇ προσῳδίᾳ.

Ὡς, τώς. οὐδὲν εἰς ως λῆγον ἐπιῤῥῆμα ὀξυνόμενον, ὑπεσταλμένης δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὡς, καὶ τὼς ἀνταποδοτικὸν αὐτοῦ ὑπάρχον. οὐκ ἀγνοῶ

μέντοι, ὅτι ἐν διαφόρῳ σημαινομένῳ καὶ διαφόρῳ συντάξει ἔσθ' ὅτε περισπᾶται.

Ὀψέ. οὐδὲν εἰς ψε λῆγον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ὀψὲ, ὅπερ ἐν συνθέσει φιλεῖ τρέπειν τὸ ε εἰς τὸ ι, ὥσπερ ἐπὶ τοῦ ὀψιμαθὴς, ἀψίτυχος, ὀψιτέλεστον, ἔκ τε ὀψὲ τελεῖ ὀψίγονος. διὸ καὶ τὸ, δείελος ὀψὲ δύνων, καὶ παρὰ τῷ ποιητῇ, τότε, ὅτε ὀψὲ δύνοντα βοώτην, παρὰ τῷ ποιητῇ καὶ Ἀράτῳ, οὐ σύνηθες· ἐπεὶ κἂν ἔτρεπε τὸ ε εἰς ι. ἤδη μέντοι Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ι αὐτὸ ἀποφαίνονται· ὀψὶ γὰρ ἀρξάτω· ἴσως ἀναλογώτερον, ὡς δείκνυται ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Μᾶλλον. οὐδὲν ὅμοιον τῷ μᾶλλον κατὰ χρόνον. τὸ γὰρ εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλασιαζόμενον τὸ λλ ἐν μιᾷ λέξει, συστέλλεσθαι φιλεῖ τρέπειν, χωρὶς εἰ μὴ τροπή τις εἴη τοῦ η εἰς α παρὰ διαλέκτῳ. τὸ παράδειγμα πῶς ἔχει; ἄλλος, γάλλος, θάλλος, θάλλω, πάλλω, ἄλλομαι, ἀγάλλομαι, καὶ ἄλλο πλῆθος λέξεων τοιούτων ἀδιάπτωτον. σημειωτέον ἆρα περὶ χρόνον τὸ μᾶλλον. τὸ γὰρ ὀτράλλις συνεσταλμένον ἔχει τὸ α. ἐφυλαξάμην δὲ διαλέκτους διὰ τόδ', ἀλλ' ἄν μοι μεγαλύνεο τι δακτυλίῳ πέρι καὶ ἄλλαν μη καμεστέραν φρένα καὶ ἄβρα· δεῦτε πάγχης πάλαι ἀλλόμαν· ἀντὶ τοῦ ἠλλόμην.

Ἀθροῦν. οὐδὲν εἰς ουν λήγει ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἀθροῦν· ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρου ἐνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ τὸ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἴλω τασαίμην· ἀλλὰ μισχοῦν καθήμενοι· ἐπεὶ ὀνοματικά ἐστι.

Δεῦρο. οὐδὲν εἰς ο λήγει ἐπίῤῥημα ὑπὲρ μίαν συλλαβὴν, ἀλλὰ μόνον τὸ δεῦρο. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ' ἐπέκτασιν εἰς ω ἐν τῷ, ἦ δεύρω μὲν ἔποντο· παραιτοῦμαι γὰρ τὴν διάφορον ἀνάγνωσιν. παρὰ δὲ τοῖς Αἰολεῦσι καὶ δεῦρα, καὶ δευρὺ διὰ τοῦ υ·

παρὰ δὲ τοῖς Ἀττικοῖς ἔσθ' ὅτε καὶ δευρὶ λέγεται διὰ τοῦ ῑ. τετόλμηται δὲ αὐτοῦ καὶ θέμα τις θεῖναι πληθυντικὸν τὸ δεῦτε. ὅτι δέ ἐστι ἐπίῤῥημα, ἐν τῷ περὶ ἐπιῤῥημάτων λέγεται.

Ἐκεῖθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τοπικὸν τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθος. ὁ γοῦν Ἀλκαῖος κείνοθεν ἐστὶν ὅπου ἀπεφήνατο τὸ αὐτό· αἰ γὰρ κ' ἀλλόθεν ἔλθη δὲ φοικήνοθεν ἔμμεναι. τὸ δὲ αὖθε ἐπέκτασις καὶ οὐ τοπικόν.

Χαμαί. οὐδὲν εἰς αι λῆγον ἐπίῤῥημα ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται· λέγω δὴ τὸ χαμαί· τὰ δὲ τοιαῦτα περισπᾶται, ἀταταῖ, αἰαῖ, παπαῖ· τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιῤῥημάτων.

Αὐτάρκης ἡ παράθεσις τῆς μονήρους λέξεως ἐν τούτῳ βιβλίῳ· ὅπως καὶ ἐν τῷ δευτέρῳ σχεδὸν ἴσην παράθεσιν ποιησόμεθα. εἰ δέ τις ἐπιζητοίη, διὰ τί ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ ἐπιῤῥημάτων τὴν παράθεσιν ἐποιησάμεθα, εἴσεται μὲν ἐκ τοῦ προοιμίου· ἀλλὰ καὶ νῦν δηλώσω, ὡς ἀντωνυμιῶν μὲν οὐκ ἐμνήσθην, ἐπεὶ σχεδὸν μονήρεις εἰσὶ πᾶσαι, καὶ μάλιστα αἱ πρωτότυποι· ἀλλ' οὐδὲ μετοχῶν, ἐπεὶ ἀεὶ δευτεραί εἰσι, καὶ ἐπιζητοῦσι τὸ κινοῦν αὐτὰς ῥῆμα. εἰ δὲ καὶ περὶ μίαν καὶ δευτέραν ἐγένετό τις ζήτησις, τοῦτο οὐ μονήρους ἐστὶ λέξεως ἰδίωμα. οὔτε μὴν ἄρθρων οὔτε προθέσεων ἐμνήσθην, ἀλλ' οὐδὲ συνδέσμων. ἐπὶ τούτων τῶν μερῶν τοῦ λόγου ἐξηριθμημένων ὧν εἰσιν αἱ φωναί· τῶν δὲ προειρημένων μερῶν λόγου, λέγω δὲ ὀνόματός τε καὶ ῥήματος καὶ ἐπιῤῥήματος, πολλὴ μὲν χρῆσις φωνῶν, παραγωγή τε αὐτοῖς ποικίλη πρόσεστι καὶ σχεδὸν ἴση. ὄνομα μὲν γὰρ εἰς ὄνομα παράγεται, ὡς λεπτὸς λεπτίνης, ἄριστος ἀριστεύς. παράγεται δὲ καὶ εἰς ῥῆμα, ὡς παρὰ τὴν μάστιγος γενικὴν τὸ μαστιγῶ, καὶ παρὰ τὴν εὐδαίμονος εὐδαιμονῶ. παράγεται δὲ καὶ εἰς ἐπίῤῥημα, ὡς παρὰ τὸ ἀκόνιτος ἀκονιτὶ, ἀθεώριτος ἀθεω-

ριτὶ, λεσβόθεν τε καὶ οὐρανόθεν. τὸ αὐτὸ ἀποτελεῖ καὶ τὸ ῥῆμα· ἤτοι γὰρ αὐτὸ καὶ εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἀθλῶ τὸ ἀθλεύω, ἴζω ἰζάνω· ἢ εἰς ὄνομα, ὡς παρὰ ποιητὴς ποίημα· ἢ εἰς ἐπίῤῥημα, ὡς ἀπὸ τοῦ ὅπτω ὄβδην, ὃ καὶ Καλλίμαχος φησὶν, ἦλθον εἰς ὄβδην· πλέκω πλέγδην, μέσφα περιπλέγδην· ἄρδω ἄρδην. ὁμοίως δὲ καὶ τὸ ἐπίῤῥημα τὴν αὐτὴν ποσότητα ἔχει τῆς παραγωγῆς. ἢ γὰρ πάλιν εἰς ἑαυτὸ παράγεται, ὡς παρὰ τὸ ἐγγὺς ἐγγύθεν· ἢ εἰς ὄνομα, ὡς τὸ ἐγγύτερον, ἀνώτερον· ἢ εἰς ῥῆμα, ὡς παρὰ τὸ ὀψὲ ὀψίζω. σχεδὸν οὖν ταῦτα τὰ μέρη τοῦ λόγου ἀλλήλοις προσπέπονθε· διὸ καὶ ἐξ αὐτῶν πεποίημαι τοὺς κανόνας. εἰ δέ τις λέγοι, ὡς καὶ ἡ ἀντωνυμία ποικίλην παραγωγὴν ἔχει· εἷς τε γὰρ ἑαυτὴν παρῆκται καὶ εἰς ἐπίῤῥημα· ἴστω ὅτι ἐνέλειψαν τοῖς κυριωτάτοις, λέγω δὲ ῥήματι καὶ ὀνόματι· τὸ γὰρ ἡμετέροισι καὶ τὸ σφετεριζόμενος τῶν παραγώγων. ἤτοι πρόθεσις παρῆκται μὲν εἰς ὄνομα καὶ ἐπίῤῥημα, οὔτε γε μὴν εἰς αὐτὴν, οὐδὲ εἰς ῥῆμα. τά τε προκείμενα μόρια, λέγω δὲ ὄνομα καὶ ῥῆμα, οὐκ ἀπέδωκεν ἀφ' ἑαυτῶν παραγωγὴν, οὔτε εἰς ἀντωνυμίαν, οὔτε εἰς πρόθεσιν, ἐπειδήπερ δὲ θεματικώτερα ὑπῆρχεν. ἡ μέντοι μετοχὴ, εἰ καὶ μέρος λόγου ἐστὶν, ἐκεῖνό γε ἔχει ἐξαίρετον, τὸ μήποτε πρωτότυπον εἶναι. διὸ δὴ οὐδὲ αὐτῇ τὰ αἴτια ἀνατίθεμεν, ὅτι μὴ καὶ τά τε σπανίως, ἐφ' ᾧν καὶ ζητοῦμεν, εἰ καὶ μετοχαὶ ὑπάρχουσιν· ὥσπερ καὶ ἐπὶ τῆς ἄσμενος καὶ τὸ κρέων καὶ ἀκέων καὶ κτημένος. τοσαῦτα ἔχομεν εἰπεῖν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ μονήρους λέξεως.

ΒΙΒΛΙΟΝ Β.

Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, ἄριστε φιλολόγε, περὶ μονήρους λέξεως ἥτις ἐστὶν ἐν τῇ χρήσει τῶν παλαιῶν ἐσκόπουν καὶ τῇ νυνὶ συνηθείᾳ· νυνὶ δὲ στρέψομαι καὶ ἐπὶ τὰς γνωριζομένας μὲν ὁμοίως καὶ τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ καὶ τῇ παλαιῶν χρήσει, πειράσομαι δὲ καὶ ἄλλας παραθέσθαι λέξεις, αἵτινες οὐκ εἰσὶν ἐν τῇ νυνὶ συνηθείᾳ, καὶ παρὰ μέντοι τοῖς παλαιοῖς. ἔστω δέ μοι ἡ παράθεσις ὁμοίως ἐξ ὀνομάτων καὶ ῥημάτων. ἐπειδή τινες ἐπεζήτησαν, εἰ δύναται τὸ τοιοῦτο εἶδος καὶ ἐν προθέσεσιν ὀφθῆναι, κατὰ τοῦτο ἐπειράθην ὀλίγας προθέσεις ἐλέγξαι ἐν εἴδει τινὶ μονήρεις ὑπαρχούσας.

Ὄνομα. οὐδὲν εἰς μα λῆγον οὐδέτερον ἁπλοῦν ἐν τοῖς πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει ο, ὡς δῆλον ἐκ τῶν τοιούτων· ποίημα, νόημα, δόνημα, φίλημα, ἀνάθεμα, φώνημα, στεφάνωμα, χρύσωμα, κώλυμα, σόλυμα, ἔρυμα, καὶ ἄλλο μυρίον πλῆθος τοιούτων τῶν ὀνομάτων, ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρες ἐστί· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόσκειται τῷ κανόνι ἁπλοῦν, ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παραλλάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα· λέγω δὲ τὸ πρόδομα, ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται.

Δέμας. τὰ εἰς μα λήγοντα οὐδέτερα ἐναντία ἐστὶ τοῖς εἰς ας λήγουσι. τὰ μὲν γὰρ εἰς ας λήγοντα παραιτεῖται τὸ μ ἔχειν πρὸ τοῦ α, ὡς ἔχει τὸ σέβας, οὖδας,

κνέφας, ψέφας, κέρας, τέρας, γῆρας, γέρας, βρέτας, δέπας, σκέπας· καὶ ἄλλα μυρία ἐστὶ τοιαῦτα μὴ ἔχοντα τὸ μ̄ πρὸ τοῦ ᾱ. τὰ δὲ ἔχοντα τὸ μ̄ πρὸ τοῦ ᾱ παραιτεῖται τὴν εἰς σ̄ κατάληξιν, ὡς ἔχει τὸ δόμα, θέμα, στάμα, χύμα, λύμα, δῶμα, πτῶμα. πῶς οὖν τὸ δέμας καὶ τὸ μ̄ ἔχει πρὸ τοῦ ᾱ, καὶ τὴν εἰς σ̄ κατάληξιν; ὥς ἐστι οὕτως ὁρίσασθαι· οὐδὲν εἰς μ̄ας λῆγον οὐδέτερον· μονῆρες ἄρα τὸ δέμας.

στήτην ἐγγὺς ἴοντο, δέμας δ' ἄνδρεσσιν ἐΐκτην.

Πεῖραρ. οὐδὲν εἰς ᾱρ λῆγον οὐδέτερον πρὸ τοῦ ᾱ ἔχει ρ̄, ἀλλ' ἤτοι καθαρεύει ἢ ἄλλο τι σύμφωνον ἔχει, ὡς δῆλον ἐκ τῶν τοιούτων· ἔαρ, κέαρ, οὖθαρ, εἶδαρ, μάκαρ, ἦπαρ, νέκταρ. μονῆρες ἄρα τὸ πεῖραρ ἐπαλλάξαντες. οὐδέτερον δὲ προσέθηκα, ἐπεὶ ἄραρ τις λέγεται ποταμὸς, ὡς παρατιθέκαι καὶ ἐπίγραμμα ἔχον οὕτως·

μισγόμεθ' ἀλλήλων, ὡς ἄραρος ῥοδανός.

Κρέας. οὐδὲν οὐδέτερον εἰς ας̄ λῆγον καθαρὸν τῷ ε̄ παραλήγει κατὰ τὴν ἐνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἀλλὰ μόνον τὸ κρέας. τὰ δὲ ἔχοντα καθαρὸν τὸ ᾱ, καὶ τὰ ἔχοντα πρὸ τοῦ ε̄, εἰς ρ̄ θέλει καταλήγειν, ἔαρ, στέαρ, κέαρ, φρέαρ. τὸ τοίνυν κρέας ἢ εἰς ρ̄ ὤφειλε καταλήγειν, ἢ εἴπερ εἰς σ̄ καταλήγοι, ὀφείλει μεταξὺ τοῦ [ε̄ καὶ ᾱ] σύμφωνον ἔχειν, ὥσπερ τὸ λέπας, σκέπας, κνέφας, βρέτας. προσέθηκα δὲ κατὰ τὴν ἐνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἐπεὶ παρὰ Ἑκαταίῳ ἐστὶ τὰ δέατα περιτετημένοι· ἀλλ' οὐ σύνηθές ἐστι λέγειν δέας. ὅ τε Σοφοκλῆς ἐν κηδεμόνι σατυρικῷ φησὶ, καὶ δήτι καὶ παρεῖκα τῷ ἀρτυμάτῳ ὑπὸ τοῦ δέατος, ἀντὶ τοῦ δέους· ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φησὶ,

καὶ μὴν ἐνὶ σπεάτεσι τεοῖς καταλείβεται ὕδωρ·

ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοι-

οὑτων εὐθειᾶν τὰς κλίσεις λαμβάνει, οὐκ οὔσας μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν·

ἀνέρος, ἐν κτεάτεσσιν ἐοῖς ἔπι γῆρας ἔτετμε·

μεταπλασμοῦ ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

Ἰχθῦς. οὐδὲν εἰς ῦς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλλαβὴν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. σημειῶδες ἄρα ὁ ἰχθῦς. προσέθηκα δὲ μὴ ὑποκοριστικὴν ἔννοιαν διὰ τὸ ἀπφῦς· δοκεῖ γὰρ παρὰ τὸ ἀπφὰς παρωνομάσθαι. ἔστι δὲ καὶ τὸ διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἑκλύτου τασσόμενον, παρηγμένον ἐπὶ τὸν διόνυσον. ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιαι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεσθαι. μόνον δὲ διὰ δύο δασέων ἐκφέρεται ὁ ἰχθῦς, τῶν δὲ ἄλλων εἰς ῦς ληγόντων οὐχ οὕτως ἐχόντων. πρόσκειται δὲ τῷ κανόνι ἀρσενικὸν διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν· ἔτι δὲ καὶ τὸ ὀσφῦς. ὥστε, εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν· εἰ δὲ ἀρσενικόν ἐστι, ὀφείλει ὅμοιον εἶναι τῷ ἀτάχυς, βότρυς.

Μᾶζα. τὰ εἰς ζα λήγοντα θηλυκὰ, εἰ ἔχοι πρὸ τέλους δίχρονον, συνεσταλμένον αὐτὸ ἔχει, ὡς τὸ ῥίζα, σχίζα, σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σοφοκλῆς ἐν ἀὔπνῳ πυρκαεῖ,

κάτω κρέμανται σπίζα τέως ἐν ἕρκεσι.

δούριζα, λίμνη παρὰ τὸν λίζαν ποταμόν· Ἑκαταῖος περιηγήσει ἀσίας, τῇ δὲ λίμνῃ δούριζα ὄνομα. βορυζα, πόλις περσικὴ, ὡς Ἑκαταῖος περιηγήσει εὐρώπης· μετὰ δὲ βόρυζα, πόλις περσέων· μετὰ δὲ θυνίας παρὰ βυζάντης καυκωνίδος πόλις. ἄζα, γάζα, χάλαζα. σημειῶδες ἄρα ἡ μᾶζα ἐκτείνουσα τὸ πρὸ τέλους α.

Ἀγαυός. οὐδὲν εἰς ος λῆγον καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἀγαυός.

Χθών. τὰ εἰς ων μονοσύλλαβα φιλεῖ ἀρσενικὰ εἶναι, καὶ φυλάττει τὸ ω ἐν τῇ γενικῇ· πρών, χών τὸ ἐθνικὸν, κλών, θών, εἴτε θῶνος εἴτε θῶντος· ἀλλὰ μόνον τὸ χθὼν θηλυκόν ἐστι, καὶ διήλλαξε κατὰ τὴν κλίσιν.

Δαμήν. τὰ εἰς μην λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ γενικῇ τὸ η εἰς ε τρέπει, ποιμένος, λιμένος, πυθμένος· ἀλλὰ μόνον τὸ δαμὴν ἐφύλαξε τὸ η· δαμῆνος γὰρ ἐπιγράφεται ἀργολικαῖς. ἴσως δὲ, ἐπεὶ κύριόν ἐστι, παραλλαγὴν ἐποιήσατο. τὸ δὲ ἀλλαμὴν παραιτοῦμαι· οὐ γὰρ γνήσιον ὄνομα ὑπὸ διοδώρου παρατεθειμένον.

Ἰχώρ. οὐδὲν εἰς ωρ λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι θέλει, ἀλλὰ πάντα βαρύνεσθαι· ῥήτωρ, κλήτωρ, ἵστωρ, ἕκτωρ, πέλωρ, κέλωρ, ἄκτωρ, σπέρχωρ, ἀνίχωρ, ἄχωρ, ἀναΰξωρ. ἡ δὲ ἱστορία τῶν ὀνομάτων εἴρηταί μοι ἐν δευτέρῳ περὶ καθολικῆς προσῳδίας. σημειῶδες ἄρα τὸ ἰχὼρ μόνον ὀξυνόμενον· τὸ δὲ αἴτιον εἴρηται ἐν τῷ περὶ καθολικῆς προσῳδίας.

Τέκμωρ. οὐδὲν εἰς ωρ λῆγον οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἔχει συμπλοκὴν δύο συμφώνων πρὸ τοῦ ω·

πριαμίδη, μή με ἕλωρ δαναοῖσιν ἑάσῃς·

νίκωρ παρ' ἀσώτῳ μιμογράφῳ· ὕδωρ· ἕλδωρ· οὐ γὰρ συμπλοκὴ ἐνθάδε, ἀλλὰ διάστασις. ὁ δὲ Ἴβυκος ἴσθ' ὅτε καὶ θηλυκῶς προφέρεται, οὔτι κατὰ σφετέραν ἑέλδωρ· καὶ ἐσθλὸν προδεδεγμένον ἑέλδωρ. σημειῶδες οὖν τὸ τέκμωρ, ἔχον ἐπιπλοκὴν δύο συμφώνων· ἢ ἴσως ἀναλογώτερον ἐκδεκτέον τὸ τέκμωρ· ἴσον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἴχθαρ· τοῦ δὲ σημειοῦσθαι τὸ τέκμωρ αἴτιον ὁ πλεονασμὸς τοῦ μ.

Πολύς. τὰ εἰς υς λήγοντα καθαρὸν ἔχοντα τὸ υ συνεσταλμένον βαρύνεσθαι θέλει· θῆλυς· φόλυς, φόλυες κύνες παρὰ τῷ Ἀντιμάχῳ· ἔπηλυς· νέηλυς· ὄλολυς τὸ προσηγορικὸν, εἴτε τὸ κύριον· ζῆλυς ὁ ποτα-

μός· ἐγχέλυς· μόλυς. σημειῶδες ἄρα τὸ πολὺς ὀξυνόμενον. πρόσκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλὺς, συνεσταλμένον δὲ τὸ ῡ διὰ τὸ ἰλύς.

Ἔρημος. οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς προπαροξυνόμενον τῷ η παραλήγεται, ἀλλὰ μόνον ἔρημος· ὡς ἴδε χῶρον ἔρημον. Ἀττικοὶ μέντοι προπαροξύνουσι τὴν λέξιν.

Ἕτοιμος. οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς τῇ οι διφθόγγῳ παραληγόμενον προπερισπᾶται, ἀλλὰ μόνον τὸ ἕτοιμος. καὶ τοῦτο δὲ παρ' Ἀττικοῖς τοῖς νεωτέροις φασὶ προπαροξύνεσθαι.

Πλυνός. τὰ εἰς νος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ ν σύμφωνον κατ' ἐπιπλοκὴν, παραληγόμενα δὲ τῷ ῡ, πάντως ἐκτεταμένῳ παραλήγεσθαι θέλει· φρυνὸς, θυνὸς, γρυνός· σημαίνει δὲ, ὡς καὶ Ἀπολλώνιος φησὶ, τὰς τῶν ξύλων ξυρὰς καὶ παχείας ῥίζας. σημειῶδες ἄρα τὸ πλυνὸς κατὰ χρόνον· καί τοι γε τὸ πλύνω ἐκτεινόμενον τὸ ῡ.

Αἰνότης. τὰ εἰς της λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῆς νος καταλήξεως παρήχθη. σημειῶδες ἄρα τὸ αἰνότης ὄνομα.

Ἀνδρότης. τὰ εἰς της λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῶν εἰς ρ ληγόντων παράγεται. σημειῶδες ἄρα τὸ ἀνδρότης ὄνομα. ἢ γὰρ ἀπὸ τῶν εἰς ος, ὡς κοῦφος κουφότης· ἢ ἀπὸ τῶν εἰς υς, ὡς ταχὺς ταχύτης· ἢ καὶ ἀπὸ ῥημάτων, ὡς παρὰ τὸ ἴεμαι ἰότης· οὐδέποτε μέντοι ἀπὸ τῶν εἰς ρ ληγόντων. δεῖ δὲ καὶ τὸ αἰνότης· παρὰ γὰρ τὴν εἰς ος εὐθεῖαν οὔ τινος ἡ εἰς υς.

Φερνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ ἔχοντα πρὸ τοῦ ν ρ βαρύνεσθαι θέλει· πέρνη, πτέρνη, πτάρνη πόλις, κέρνη ὁμοίως, ἄρνη· ἀλλὰ μόνον τὸ φερνὴ ὀξύνεται. Αἰολεῖς δὲ φέρναν αὐτὴν λέγουσιν ὁμοίως τῇ ἀλέναν.

Ἄρνός. οὐδεμία γενικὴ εἰς νος λήγουσα πρὸ τοῦ ν ρ ἔχει, ἀλλὰ μόνον τὸ ἀρνός· αἴτιον δὲ τὸ πάθος. ἢ παρὰ Σοφοκλεῖ, ὁ σκέπαρνος οὐδὲ πρίονος πλησαί. ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς, ἐν ἑτέροις ἐδήλωσα.

Ἀνδρός. οὐδεμία γενικὴ εἰς ρος λήγουσα πρὸ τοῦ ρ ἔχει τὸ δ, ἀλλὰ μόνον τὸ ἀνδρός· αἴτιον δὲ τὸ πάθος. ἐν τοῖς περὶ καθολικωτέρας προσῳδίας εἴρηται.

Ἀνδριάς. τὰ εἰς ας λήγοντα καθαρὰν, ἐκτεταμένον ἔχοντα τὸ α, εἰ ἔχοι πρὸ τέλους φωνῆεν ἢ φωνήεντα, βαρύνεσθαι θέλει· δρακοντίας, ὀνομάτιας, καππατίας, λοξίας, εὐρυξίας, βορέας, ἠρέας, θαρσέας, κρατέας, μηνύας, φλεγύας, ἀνδρέας. μυρίον ἐστὶ πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον. σημειῶθες ἄρα τὸ ἀνδριὰς ὀξυνόμενον. οὐκ ἀγνοῶ δὲ, ὅτι Ἡλιόδωρος ἐβούλετο αὐτὸ περισπᾶν· ὁμοίως δὲ καὶ τὸ ἡμάς. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονίκου, ἔτι δὲ καὶ Τυραννίων. οὐκ ἔχει δὲ οὕτω τὰ τῆς ἀναγνώσεως, ὡς ἐν ἑτέροις ἐδήλωσα.

Γουνός. οὐδεμία γενικὴ εἰς νος λήγουσα τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη γουνός· γοῦνι γουνὸς ἀμείβων. αἴτιον δὲ τὸ πάθος· οὐ γὰρ εὐθεῖά τις προκατάρχει μονοσύλλαβος ἡ γοῦν, ὡς οἴονται οἱ πρὸ ἐμοῦ. τὰ δὲ εἰς νος λήγοντα ὀνόματα δισύλλαβα ὀξυνόμενα τῇ ου διφθόγγῳ παραληγόμενα ἐπ' εὐθείας ὁρᾶται· γουνός· ἔνθεν δοτικὴ ᾗ, γουνῷ ἀλωῆς· βουνός· κρουνός. δῆλον οὖν ὅτι ἡ γουνὸς γενικὴ οὐχ ὑγιαίνει· εὐθείας γὰρ χαρακτῆρα ἀπεδέξατο. ἔστι δὲ καὶ ἐπὶ πασῶν τῶν ἠλογημένων γενικῶν τὸ τοιοῦτον ἐπιδεῖξαι, ὡς ὅτι παραβαίνουσι καὶ τοὺς χαρακτῆρας παθοῦσαι.

Δουρός. οὐδεμία γενικὴ εἰς ρος λήγουσα τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη ἡ δουρός. αἴτιον δὲ πάλιν τὸ πάθος· συγκοπὴ γὰρ ἐκ τοῦ δόρατος·

τόφρα δὲ τυδείδης μετὰ δούρατος ᾤχετ' ἐρωήν.

οὐ γὰρ, ὥσπερ οἴεται ὁ Τρύφων, εὐθεῖά τίς ἐστι δουρὶ, κωλυούσης καὶ τῆς ἀναλογίας καὶ τῆς χρήσεως τῶν Ἑλλήνων. ἄμεινον οὖν ἐκδέχεσθαι τὸ πάθος· καὶ γὰρ δορὸς καὶ δουρὸς εἴρηται, καὶ δούρατος καὶ δόρεος, ὡς ἐν ἑτέροις ἐδήλωσα.

Ῥάρος. οὐδέποτε τὸ ρ̄ ἄρχον ψιλοῦται, ἀεὶ δὲ δασύνεται. σημειῶδες ἄρα τὸ ῥάρος· τὸ γὰρ ῥάριδος δηλους παρ' αὐτὸ γέγονε. σεσημείωται τὸ ῥάρος κατὰ χρόνον· τὰ γὰρ εἰς ρος δισύλλαβα τῷ ᾰ παραληγόμενα, ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ ᾱ, ψαρὸς, λαρός· ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν ἰνάχῳ, καὶ σασχυτρίνων λαρὸς εὖτατ' ἐπὶ κῦμα ἑκροὰς ἐπώμοσα λαρὸς ἀνήρ· ἔνθεν τὸ οὐδέτερον, λαρὸν τετυκοίμεθα δόρπον. βαρυνόμενα δὲ, εἰ καὶ ἀρσενικὰ ὑπάρχοι ἢ θηλυκὰ, συστέλλειν θέλει τὸ α· λάρῳ ὄρνιθι ἐοικώς. φάρος δὲ λέγω τὸ ἀρσενικὸν ἢ καὶ τὸ θηλυκόν. κλάρος Νίκανδρος,

μνηστὺν ἔχοις, τὸ ἔθρεψε κλάρος νιφόεσσα πολίχνη.

γάρος Αἰσχύλος πρωτεῖ σατυρικῷ, καὶ τὸν ἰχθύων γάρον. πάρος, νῆσος· σπάρος· σκάρος. εἰ δέ τι βαρυνόμενον ἀρσενικὸν ἔχει τὸ ᾱ ἐκτεινόμενον, πάντως ἔχει κανόνα διὰ τοῦ η̄, ὥσπερ τὸ κλάρος ἐκ τοῦ κλῆρος. τὸ δὲ ῥάρος, εἰ μή ἐστι δώριον βαρυνόμενον, συστελλέσθω κατὰ τὴν παραλήγουσαν· εἰ δὲ ἐκτείνεται ὑγιῶς, ἡ παραλήγουσα ὀξυνέσθω, ἵνα μιμήσηται τὸ ψαρὸς, ναρὸς, λαρός. ἢ περὶ τόνον ἄρα σημειῶδες ἢ περὶ χρόνον· ἀλλὰ δῆλον ὅτι περὶ χρόνον· τὰ γὰρ ὀξυνόμενα ἐπιθετικὰ ὑπῆρχον, τοῦτο δὲ κύριον ὄνομα βαρύτονον. ἀλλ' οὖν γε ἔχομεν καὶ τὸ βάρος ὁμοίως Ἀττικὸν ὑπάρχον καὶ ἐκτεινόμενον τὸ ᾱ πρὸς ἀντέμφρασιν τοῦ οὐδετέρου.

Φάρος. τὰ εἰς ρος λήγοντα οὐδέτερα δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ ᾱ, συνεσταλμένον πάντως αὐτὸ ἔχει· εἰ μὴ κατὰ διάλεκτον εἴη, ὥσπερ τὸ πάρος· ἐπὶ

γὰρ τὸ πάρος ὀνειαρὸν ἱκνεῖται, Ἀλκαῖος φησί. τοιοῦτο δέ ἐστι καὶ τὸ μάκος, δάνος, πράγος· τοιοῦτο δὴ καὶ τὸ ῥῆμα δοκεῖ ἔχειν μεταβολήν. ἔστω οὖν τῶν συστελλόντων τὸ ᾱ παραδείγματα πάθος, τάφος· ὅπερ καὶ ἀρσενικόν ἐστι,

ὡς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο·

καὶ θηλυκὸν ἐπὶ τῆς νήσου. ὁπότε δὲ ἐπὶ τῆς ἐκπλήξεως παραλαμβάνεται, γένος ἐπιδέχεται τὸ οὐδέτερον·

ἦνδανε δὴν ποτὲ, τάφος δέ οἱ ἦτορ ἵκανε.

ἀλλ' ἴσως τοῦτο ἀμφίβολον· ὁ μέντοι Ἴβυκος διέστειλε τὸ γένος ἐν τῷ πρώτῳ, σχεδὸν τὸν ὁμηρικὸν μεταβαλών· φησὶ γὰρ, δαρὸν δάραοι χρόνον ἦστο τάφει πεπηγώς· οὕτω γὰρ ἔκλινεν ὡς βέλει. ἀναδράμωμεν δὴ ἐπὶ τὰ παραδείγματα· κάλος, δάος, ψάος, πάγος, μάθος· Ἀλκαῖος, ἀπατέρων μάθος· νάπος, τάνος, σάκος, τάκος, βάρος. σημειῶδες ἄρα τὸ φάρος ἐκτεινόμενον τὸ ᾱ·

φάρος μέν οἱ πρῶτον ἔπλυνεν ἠδὲ χιτῶνα.

οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ ᾱ καὶ συστέλλουσι, ὡς παρ' Αἰσχύλῳ ἐν σαλαμινίαις,

εἴ μοι γένοιτο φᾶρος ἶσον ἐν οὐρανῷ.

ἀλλὰ κατὰ συστολὴν ἐν παρὰ Σοφοκλεῖ· ἐντείνει σπεύδουσαν αὐτήν· ἐν δὲ ποικίλῳ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι. παραφυλακτέον, ὅτι τὸ φάρος τυχὸν συστελλόμενον τὸ ᾱ ἀναδέχεται πάλιν ἐν διαφόρῳ σημαινομένῳ τὰ τρία γένη, ὥσπερ καὶ τὸ τάφος· ἔστι γὰρ ἀρσενικόν· οὕτω γὰρ ἐπὶ μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ τὸ θηλυκὸν ἐπὶ τῆς νήσου ἀπ' αὐτοῦ τὸ ὄνομα λαβούσης, ὡς φησὶν Ἑκαταῖος. καὶ οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου, ἢ καὶ τὸ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρ' Ἀντιμάχῳ, ἀεὶ φά-

ρεος χατεύουσιν ἔχων· οὕτως ἐν τοῖς ἀντιγράφοις εἴρηται.

Θάσσων. τὰ εἰς ων̄ λήγοντα συγκριτικὰ δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ ᾱ, συνεσταλμένον αὐτὸ ἔχει, βράσσων·

ἀλλά τε οἱ βράσσων τε νόος.

πάσσων·

τὸ μέντοι ἀθηναίη θῆκε διὸς ἐκγεγαυῖα
μείξονά τ' εἰσιδέειν καὶ πάσσονα.

τοσοῦτον ὀνομάσῃ ἔτι μάσσων, μᾶσσον· ἔνθεν παρ' Ἐπιχάρμῳ τὸ βάσσον. σημειῶδες ἄρα τὸ θάσσων ἐκτεινόμενον τὸ ᾱ·

θάσσονας ἱρῆκων ἥμεναι καλλίτριχας ἵππους.

πρόσκειται δὲ δισύλλαβα διὰ τὸ ἐλάσσων.

Λουτρόν. τὰ εἰς ρον̄ λήγοντα οὐδέτερα μονογενῆ, ἔχοντα πρὸ τοῦ τέλους ρ̄ σύμφωνον ἢ σύμφωνα, βαρύνεσθαι θέλει· σεῖστρον· δένδρον· δέρτρον, δέρτρον ἔσω δύντες· φέρτρον, κείμενον ἐν φέρτρῳ· πλῆκτρον· καὶ ἄλλο πλῆθος τῶν τοιούτων ὀνομάτων ἀδιάπτωτον. ἀλλὰ μόνον τὸ λουτρὸν ὀξύνεται· ὅπερ καὶ τρισύλλαβον λέγεται λοετρόν· εἰς ὅ κεν θερμὰ λοετρά· ἐπεὶ καὶ τὸ ῥῆμα δισσὸν, λοέω καὶ λούω· ἀλλ' ὅτε δή μιν ἐγὼ λόευν.

Οἶμα. οὐδὲν εἰς μᾱ λῆγον καθαρὸν δισύλλαβον οὐδέτερον πρὸ τέλους ἔχει τὴν οῑ διφθογγον, ἀλλὰ μόνον τὸ οἶμα· τὸ γὰρ οἶδμα οὐ καθαρεῦον. δύναται γὰρ καὶ ἀπὸ συμφώνου ἄρχεσθαι τινὰ ἢ ἀπὸ συμφώνων, ἵνα μή τις λέγῃ, ὅτι ἄλλο οἶμα ἐπιζητῶ· διὸ ἔθηκα πρὸ τέλους.

Ὀστέον. οὐδὲν εἰς ον̄ λῆγον καθαρὸν οὐδέτερον μονογενὲς ὑπὲρ δύο συλλαβὰς τῷ ε̄ παρεδρευόμενον παροξύνεται, ἀλλὰ μόνον τὸ ὀστέον. αἴτιος δὲ ὁ πλεονασμός. τὰ δὲ τοιαῦτα ἤτοι ὀξύνεται, ὡς ἔχει τὸ κολεόν,

στερεὸν, ἐλεὸν, βάλλον δ' εἶν ἐλεοῖσιν. αἰτία δὲ τῆς ὀξείας ἡ πρὸ τέλους συλλαβὴ, ἔχουσα πρὸ τοῦ ο τὸ ε· ἢ προπαροξύνεται, ὁπότε μὴ τὸ λ πρὸ τοῦ ε ἐστὶ, ὄρνεον, κάνεον, ὄστρεον. δῆλον οὖν, ὡς καὶ ὄστεον ἐχρῆν λέγειν· διὸ μονῆρες κατὰ τὸν τόνον φαμὲν εἶναι αὐτό. οὐκ ἀγνοῶ δὲ, ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν πυτίνῃ· ἀλλ' οὐδὲ λάχανον οὐδὲ οὐδ' ὀστοῦν ἔστι ὁρῶ. τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν.

Φηρά. τὰ εἰς ρα λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ, εἰ παραλήγοιτο τῷ η, βαρύνεσθαι θέλει, πεῖρα, γῆρα, θῆρα. σημειῶδες ἄρα τὸ φηρὰ ὀξυνόμενον.

Λέβυαφιγενής. ἡ διὰ τοῦ φι ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν ἐν ἐπιῤῥήματι τῷ φι τοσοῦτον, ἰφιγένεια, ἰφικλῆς, ἰφιάνασσα, καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. πεπλάνηται οὖν Ἴβυκος εἰπὼν λεβυαφιγενής.

Πρῶτος. τὰ εἰς τος λήγοντα καθαρὰ δισύλλαβα, παραληγόμενα τῷ ω, τριγενῆ ὑπάρχοντα, ὀξύνεσθαι θέλει, γνωτὸς, τρωτὸς, πλωτὸς, πτωτός· ἀλλὰ καὶ ὁ πρῶτος τοῦ ἀριθμοῦ τὸ ὄνομα βαρύνεται. οὐκ ἀγνοῶ δὲ, ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν ταύτην.

Χρυσός. τὰ εἰς ος λήγοντα δισύλλαβα ὀξυνόμενα φύσει μακρὰ, εἰ παραλήγοιτο τῷ υ, ἢ κύρια θέλει εἶναι, ἢ ἐπίθετα, οὐ μὴν προσηγορικά. κύρια μὲν οὖν ἐστι τοιαῦτα· λισσὸς, πολίχνιον κρήτης· παρνὸς ὄρ' ἐνὶ παίωολιγνῶσσον τεῖχος· ῥωσός· καὶ ταῦτα ἐπὶ πόλεων. ἐπίθετα δὲ τοιαῦτα, τραυσὸς, ῥυσὸς, μυσός. τὸ τοίνυν χρυσὸς ὀξυνόμενον μονῆρές ἐστιν· οὔτε γὰρ κύριον, οὔτε ἐπιθετικόν ἐστι.

Μῦρον. τὰ εἰς ρον λήγοντα δισύλλαβα καθαρὰ προσηγορικὰ, εἰ παραλήγοιτο τῷ υ, ὀξύνεσθαι θέλει, ξυρὸν, σφυρὸν, πυρόν. σημειῶδες ἄρα τὸ μῦρον βαρυνόμενον. τὸ γὰρ ψύρον ἢ στύρον ἢ μῦρον, κύρια ὄντα, ὑγιῶς βαρύνεται.

Κεφαλή. τὰ διὰ τοῦ $\overline{\text{αλη}}$ ὑπὲρ δύο συλλαβὰς μονογενῆ βαρύνεσθαι θέλει, χωρὶς εἰ μὴ συναληλειμμένα εἴη· μυκάλη, φιάλη, ξυάλη, μυρτάλη, πετάλη, ἀγκάλη, δαμάλη. σημειῶδες ἄρα τὸ κεφαλὴ ὀξυνόμενον ἐπὶ τοῦ μερικοῦ, εἴτε ἐπὶ τοῦ κυρίου. τὸ γὰρ ἀλαλὴ οὐ φύσει τρισύλλαβον·

κλύθ' ἀλαλὰ, πολέμου θυγάτηρ.

τὸ δὲ μυγδαλῆ περισπᾶται, ἐπεὶ παρὰ τὸ ἁλὸς συντέθειται συναληλειμμένον καὶ περισπώμενον. κέχρηται δὲ τῷ ὀνόματι Κηφισόδωρος ἐν ὑπείνῳ· *καὶ λέων καὶ μυγδαλῆ καὶ σκόρπιος.*

Φυλή. τὰ εἰς $\overline{\text{λη}}$ λήγοντα θηλυκὰ μονογενῆ τῷ $\overline{\text{υ}}$ παραληγόμενα βαρύνεσθαι θέλει· τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνει ἀμφιάρεῳ· *καινὴ διὲκ τοῦ δωματίου γένων φέρε κνέφαλλον ἅμα καὶ προσκεφάλαιον ἐκ τῶν λινῶν.* ὠνομάσθη δὲ ἀπὸ τοῦ κνέφου, ἤτις σημαίνει ἀκανθώδη ὕλην, ἢ περιπεταννῦντες τὰς ἐσθῆτας, ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ· οἷς καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν πεισάνδρῳ,

ὥσπερ νεφάλλων ἢ πτιλῶν σεσαγμένος.

ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ $\overline{\text{α}}$ εἰς $\overline{\text{ε}}$· ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ $\overline{\text{γ}}$ γράφουσιν· ἔν τισιν ἐν μαλακροῖς Κρατίνου περιεφύλαξε Σύμμαχος. ἀναδράμωμεν ἐπὶ τὸ προκείμενον, παραθέμενοι τὸ τύλη, ὅπερ οὐκ ἦν παρ' Ἀττικοῖς. ἀλλὰ μέμνηται Σαπφὼ ἐν δευτέρῳ· *ἐγὼ δ' ἐπὶ μαλθακὰν τύλαν σπολέω μέλεα· κἄν μὲν τε τύλαγκας ἀσπόλεα·* οὐ γὰρ ὁ τε σύνδεσμος. μύλη· πύλη· ὕλη ἐν σαμίων ὅροις, καὶ οὐδένα κατέδησεν τῶν τῆς ὕλης μετασχεῖν. μονῆρες ἄρα τὸ φυλὴ ὀξυνόμενον.

Σίνος. τὰ εἰς $\overline{\text{νος}}$ λήγοντα ἐπ' εὐθείας τῷ $\overline{\text{ι}}$ παραληγόμενα συνεσταλμένῳ οὐ θέλει οὐδέτερα εἶναι·

οἷον πίνος, λίνος, σπίνος· καὶ σπίνος ἐπινοήσω ἀσπίζων, καὶ ὄρνεα πάντα, παρ' αὐτῷ. πῶς οὖν τὸ σίνος οὐδετέρου γένους ἔχεται; τὸ γὰρ κρίνος ἐκ τοῦ κρίνον μεταπεποίηται.

Ἰότης. τῶν εἰς της ληγόντων θηλυκῶν ὀνομάτων ὑπὲρ δύο συλλαβὰς ὄντων γένεσις προκατάρχει ὀνοματική· ταχύτης, βραδύτης, ἰσότης, κουφότης, κακότης, δηϊότης. σημειῶδες τὸ ἰότης·

μὴ δι' ἐμὴν ἰότητα ποσειδάων ἐνοσίχθων.

οὐ γὰρ πρόδηλον ἔχον ὄνομα, παρ' ὃ γέγονε ῥῆμα. τὸ μέντοι παρὰ Σοφοκλεῖ ἐν λακαίναις δανοτὴς εἰρημένον· ἐν ᾗ παύσετ' ἀμερίων μόχθων τε καὶ δανοτῆτος· ὑγιῶς ἂν ἔχοι, εἰ παρ' ὄνομα σχηματισθείη. τὸ δὲ παρὰ Κρατίῳ ἐν ταῖς ὁμιλίαις ὀρσότης ἀντὶ τοῦ ὁρμὴ περάσιμον.

Κριτής. οὐδὲν εἰς της λῆγον δισύλλαβον ἀρσενικὸν ὀξύνεσθαι θέλει, ἀλλὰ μόνον τὸ κριτής. τὸ γὰρ ληϊστὴς τρισύλλαβόν ἐστι· διὸ ἔχει προκείμενον τὸ ι. τὸ δὲ ψαλτὴς Ἀττικόν ἐστι ὀξυνόμενον, ὡς ἱστορεῖ Ἀπολλόδωρος.

Κρείσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὴν ει δίφθογγον, ἀλλὰ μόνον τὸ κρείσσων. λέγεται δὲ καὶ κρέσσων, μὴ πλεονάζοντος τοῦ ι. κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος, καὶ ἦν θεός· ἢ κρέσσων δέ τι ὀνησόμεθα. — [ὁ κανών· οὐδέποτε δὲ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος, πλὴν τοῦ κρείσσων, καὶ λεύσσω, καὶ γραύσα τὸ φωτίζω.]

Ἧσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὸ η, ἀλλὰ μόνον τὸ ἥσσων.

Ἀμείνων. οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ν ἔχει, ἀλλὰ μόνον τὸ ἀμείνων.

Χείρων. οὐδὲν εἰς ων̄ λῆγον συγκριτικὸν πρὸ τοῦ ω̄ τὸ ρ̄ ἔχει, ἀλλὰ μόνον τὸ χείρων. αἴτιον δὲ τὸ πάθος καὶ ἐπὶ τοῦ προκειμένου.

Γλύσσων. οὐδὲν τῶν εἰς ων̄ ληγόντων συγκριτικῶν ἔχει πρὸ τέλους τὸ ῡ. σημειῶδες ἄρα τὸ παρὰ Ξενοφῶντι γλύσσων·

εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλῶν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

Μείζων. οὐδὲν εἰς ζων̄ λῆγον δισύλλαβον συγκριτικὸν, ἀλλὰ μόνον τὸ μείζων. δισύλλαβον δὲ προσέθηκα διὰ τὸ ὀλίζων.

Στρυφνός. τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα, ἔχοντα πρὸ τοῦ ν̄ ἐν ἐπιπλοκῇ σύμφωνον, εἰ ἔχει δὲ πρὸ τέλους τὸ ῡ, συνεσταλμένον αὐτὸ ἔχει· γυμνὸς, πρυμνὸς, συχνὸς, πυκνὸς, στυγνός. σημειῶδες οὖν τὸ στρυφνὸς, ἐκτεῖνον τὸ ῡ. οὕτω γὰρ ἀνέγνωμεν παρ' Ἀριστοφάνει ἐν σφηξί·

παύσοντα τούτου τὸ λίαν στρυφνόν.

Προῖξ. οὐδὲν εἰς οιξ λήγει ὄνομα, ἀλλὰ μόνη ἡ προῖξ.

Γλαῦξ. οὐδὲν ὄνομα εἰς αυξ λῆγον θηλυκὸν, ἀλλὰ μόνον τὸ γλαῦξ. προσέθηκα δὲ θηλυκὸν, ἵνα μή τις τὸ ταῦξ τιθῇ· ἱστορεῖται γὰρ οὗτος ποταμὸς περὶ σικελίαν.

Ἀσκός. οὐδένα τῶν εἰς κος ληγόντων δισύλλαβα ὀξύνεσθαι θέλει· κέσμος· φύσκος. Ἑκαταῖος, ἴων δὲ πρεσβύτερος λοκρὸς ἦν φύσκου παῖς· ζύσκος ποταμὸς μακεδονίας, ὡς Ἀντιγένης φησί· δίσκος· ἀλλὰ μόνον τὸ ἀσκὸς διοξύλλαβον ὑπάρχον.

Θοός. τὰ εἰς ος καθαρὰ δισύλλαβα τῷ ο̄ παραληγόμενα φιλεῖ βαρύνεσθαι· κόος, σόος, τόος, νόος, γόος, πλόος, ῥόος, θρόος. διὸ καὶ τὸ ξόος παρ' Ἐπιχάρμῳ οἱ πλείους ἐβάρυναν· τρὶς ἀπεδόθη ξόος· ὁμοίως καὶ τὸ ζωός. τὸ μέντοι θοὸς ἄντικρυς ὀξυνόμενον μονῆρες. τὰ δὲ αἴτια τούτων ἐν ἑτέροις δηλοῦμεν.

Βασιλεύτερος. οὐδὲν εἰς τερος λῆγον ὑπὲρ δύο συλλαβὰς τῇ ευ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ *βασιλεύτερός εἰμι.*

Στρουθός. τὰ εἰς θος λήγοντα καθαρὰ μονογενῆ δισύλλαβα, παραληγόμενα φύσει μακρᾷ, βαρύνεσθαι θέλει. θῶκος· οὕτως ὁ κήβιος κωμικός· μῦθος· γῆθος· σῆθος, ποταμὸς σκυθίας, ὡς Φιλοστέφανος· ζοῦθος τὸ κύριον, *δῶρος τε ξοῦθός τε.* βοῦθος πύθια ἐνίκησα, παροιμία· *βοῦθος περιφοίτα, Κρατῖνος χείρωσι.* τάττεται δὲ καὶ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων. νοῦθος κύριον· *ψόφος ἐν οὔδει.* Ἡσίοδος ἐν τρίτῳ,

νοῦθος δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει.

σημειῶδες ἄρα τὸ στρουθὸς ὀξυνόμενον· ἰσίχαρις δέ φησιν Ἀττικοὺς βαρύνειν τὸ ὄνομα, ὡς καὶ Τρύφων μέμνηται ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἴσως μέντοι παρήλλαξε τῶν προκειμένων, ἐπεὶ καὶ ἀρσενικῶς λέγεται, *καλοὶ δὲ ἐσάγον ὠκέες στρουθοί·* καὶ θηλυκῶς,

αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν.

Ἄτη. τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ καθαρὰ, εἰ ἔχοι πρὸ τέλους τὸ ᾱ, συνεσταλμένον αὐτὸ ἔχει· πλάτη· μάτη· ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ, *οὔτι τοι μέτρον μάτας·* βάτη, δῆμος Ἀττικοῖς· ἀδιάφορα γὰρ τὰ τοῦ τόνου. σημειῶδες ἄρα τὸ ἄτη, ἐκτεῖνον τὸ ᾱ. λέγεται δὲ καὶ τρισυλλάβως ἐν συστολῇ τοῦ ᾱ, ὡς παρὰ τῷ Κυρηναίῳ·

εἴτε μὶν ἀργείων χρῆ μὲν καλεῖν ἀάτην.

τὸ δὲ αἴτιον τῆς ἐκτάσεως ἐν τῇ δισυλλάβῳ προφορᾷ ἐν ἑτέροις εἴπωμεν.

Βλαύτη. τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ, εἰ παραλήγοιτο διφθόγγῳ, πάντως τῇ διὰ τοῦ ῑ. βαλίτη, δαλίτη, λοίτη, δροίτη, κοίτη. σημειῶδες οὖν τὸ βλαύτη τῇ αυ διφθόγγῳ παραληγόμενον.

Ἀμῶ. οὐδέποτε τὸ ᾱ πρὸ τοῦ μ̄ κατὰ τὴν κοινὴν διάλεκτον ἐκτεταμένον ἐστὶ ἐν ἀρχῇ, οἷον ἅμα, ἅμυδις, ἀμύσσω, ἄμεινον, ἅμιλλα, ἀμὶς, ἀμύνω, ἄμαθος. τὸ τοίνυν ἀμῶ ῥῆμα σημειῶδες· εἰς ὥρας ἀμῷεν. ᾧ ἀκόλουθα ῥηματικά. οἱ δ' ὥστ' ἀμητῆρες· καὶ, ὀλίγος δ' ἀμητὸς ἦεν. ὅσα γὰρ εἶχεν οὕτω τὸ ᾱ ἐκτεταμένον πρὸ τοῦ μ̄ ἐν ἀρχῇ, ἐκ τροπῆς τοῦ η̄ εἰς ᾱ ἦν, ὡς ἔχει τὸ ἄμερα, ἄμος, ἄμαρ.

Ἐῤῥω. οὐδὲν ῥῆμα λῆγον εἰς ρ̄ δισύλλαβον κατὰ τὴν τῶν ποιητῶν χρῆσιν καὶ τῶν πεζῶν ἔχει τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ̄ καταλήγουσαν, ἀλλὰ μόνον τὸ ἔῤῥω·

ὅτε τ' ἦλυθεν ἐνθάδε ἔῤῥων·

καὶ,

ἔῤῥε νήσου θᾶσσον ἐλέγχιστε ζωόντων.

τὰ δὲ τοιαῦτα Αἰολικὰ ἦν, ἔχοντα κοινὰ, ἱμέρρω, γέρρω, οἰκτέρρω, ὀλοφύρρω. εἴπερ οὖν Αἰολικὸν, ζητητέον τί αὐτοῦ ἦν κοινόν· οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡς οἴονταί τινες.

Δήω. οὐδὲν εἰς ω̄ λῆγον ῥῆμα βαρύτονον καθαρὸν δισύλλαβον τῷ η̄ παραλήγει, ἀλλὰ μόνον τὸ δήω, δήεις·

δήεις τόν γε σύεσσι παρήμενον.

τὸ γὰρ ἐκήου πάντως ἐνεστῶτα τὸν κήω αἰτήσει, ὡς ἀπαιτεῖ Φιλόξενος· ἡ δὲ τοιαύτη παράληξις ἡ περισπωμένη ἐστὶ, ὡς πρὸς τὸ θηῶ, νηῶ. εἴπερ βαρυνόμενα, εἴη πάντως καὶ διαλέκτου, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς, παλήω· καὶ παρ' Αἰολεῦσιν ἐπὶ τῶν ὑπὲρ δύο συλλαβὰς, ἀδικήω, ποθήω, τό τε κλήω ἐκ τοῦ κλαίω γενόμενον.

Ἐσθίω. τὰ εἰς ω̄ λήγοντα ῥήματα ὁριστικὰ ἐνεστῶτος χρόνου, εἰ λάβοι ἐπέκτασιν τοῦ ῑ, περισπᾶσθαι θέλει· χαίρω χαιριῶ, ἐρεύθω ἐρευθιῶ, φλέγω φλεγιῶ, κνήθω κνηθιῶ, κνίφω κνιφιῶ. ἀλλὰ μόνον τὸ ἐσθίω

οὐχ, ὥς τινες οἴονται, ἀπαιτεῖ θέμα τὸ διδειῶ· εἰ δὲ καὶ ἀπαιτήσῃ, ἐκ παρακειμένου ἂν εἴη γενόμενον.

Πιέ̄ξω. τὰ εἰς ξ̄ω̄ λήγοντα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα οὐδέποτε τῷ ε̄ παραλήγεσθαι θέλει· ἑάξω, σκεδάξω, σκεπάξω, ἁρπάξω, λυρίξω, σαλπίξω, βαρύξω, ἀτυχίξω, κιθαρίξω, ἑρπύξω. σημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ τοῖς Ἴωσι λεγόμενον διὰ τοῦ ε̄ τὸ πιέξω, ὥσπερ παρὰ τῷ ποιητῇ. προσέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ ᾱ· τῷ δὲ σκομύνθεα κατ' αν κάρραν μάβως ἐπίαξε. καὶ δῆλον ὅτι πρὸς τὸν χαρακτῆρα ἀναλογωτέρα ἡ χρῆσις ἡ διὰ τοῦ ᾱ. πρόσκειται ὑπὲρ δύο συλλαβὰς τῷ κανόνι, ἐπεὶ δισύλλαβά ἐστι παραληγόμενα τῷ ε̄, ὡς τὸ ἔξω, χέξω, ῥέξω· βαρύτονα δὲ διὰ τὸ τραπεζῶ περισπώμενον δὲ παρ' Ἀττικοῖς.

Ἐσσί. οὐδὲν εἰς σ̄ῑ λῆγον ῥῆμα δεύτερον πρόσωπον, ἀλλὰ μόνον τὸ ἐσσί· ἔχθιστος δέ μοι ἐσσί. ἡ δὲ χρῆσις παρὰ τοῖς ποιηταῖς καὶ συρακουσίοις· διὸ καὶ Σώφρων φησί· ὀδαῖος γε ἐσσί.

Ἦς. οὐδὲν εἰς η̄ς̄ λῆγον δεύτερον πρόσωπον ὀξύνεται, ἀλλὰ μόνον τὸ ἦς·

αἵματος ἦς ἀγαθοῖο.

τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ῥημάτων ἐρῶ.

Ὑφήσφασται. οὐδεὶς Ἀττικὸς παρακείμενος ἀπὸ τοῦ ῡ̄ ἄρχεται, ἀλλὰ μόνος ὁ ὑφήσφασται.

Οἶσθα. ὅσα εἰς θ̄ᾱ λήγει δεύτερα πρόσωπα ἐπεκτεταμένα, ταῦτα ἀποβολῇ τῆς θ̄ᾱ συλλαβῆς καταλείπει ῥητὸν τὸ ῥῆμα, οἷον λέγῃσθα λέγῃς, βάλῃσθα βάλῃς, ἦσθα ἦς· μόνον δὲ τὸ οἶσθα τοιοῦτον οὐκ ἀνεδέξατο· αἴτιον δὲ τὸ πάθος.

Ἦν. οὐδὲν ῥῆμα ὁριστικὸν ἐνικὸν πρῶτον πρόσωπον κατὰ τὸν αὐτὸν χρόνον ὁρᾶται πρῶτον πρόσωπον ἐνικοῦ καὶ τρίτον ἐνικοῦ, καὶ πρῶτον καὶ τρίτον πλη-

θυντικοῦ, ὅτι μὴ μόνον τὸ ἦν. ἦν γὰρ ἐγὼ, Ἀττικοὶ λέγουσι, καὶ, ἦν ἐκεῖνος· καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν τοῖς ἐπιγράμμασιν· ἦν ἑκατὸν φιάλαι δίχα σφίσιν· ἀντὶ γὰρ τοῦ ἦμεν ἦν· τῆς δ' ἦν τρεῖς κεφαλαί· καὶ κωφὸν δ' ἦν προπάροιθεν. οὐκ ἀγνοῶ δὲ ὅτι ἄλλως ποικίλως λέγεται τὸ ῥῆμα.

Ἐδάμην. οὐδὲν εἰς μην λῆγον ῥῆμα, τρέψαν τὸ ν εἰς σ, δεύτερον πρόσωπον ἀποτελεῖ· ἀλλὰ μόνον τὸ ἐδάμην ἐποίησε τὸ ἐδάμης, καὶ ἀποβολῇ τοῦ σ τρίτον ἐδάμη. τὸ δὲ αἴτιον λέγεται ἐν τοῖς περὶ ῥημάτων.

Εἴξασι. οὐδεὶς παρακείμενος, τρίτον πρόσωπον εἰς σι, ἔχει τὴν πρὸ τοῦ τέλους συλλαβὴν διὰ τοῦ ξα, ἀλλὰ μόνον τὸ εἴξασι· τοῖς βιβλίοις εἴξασι.

Ἠγῶ. τὰ εἰς γω λήγοντα ῥήματα ὁριστικὰ δισύλλαβα, εἰ παραλήγοιτο τῷ η, θέλει βαρύνεσθαι· θήγω, λήγω, τμήγω· τὸ δὲ ἠγῶ περισπᾶται, ἔνθεν τὸ ἠγούμην· τὸ δὲ αἴτιον πρόδηλον.

Ἀμφί. οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί. λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπὶ ἐν συνθέσει διὰ τοῦ π, καὶ ἴσως ἀναλογώτερον.

Διά. αἱ εἰς ᾱ λήγουσαι προθέσεις σύμφωνον ἔχουσι πρὸ τοῦ ᾱ· ἀλλὰ μόνη ἡ διὰ τὸ ᾱ καθαρεύει.

Ὑπέρ. οὐδεμία πρόθεσις δισύλλαβος εἰς σύμφωνον καταλήγει, ἀλλὰ μόνη ἡ ὑπέρ. τὸ γὰρ,

ὑπέρτεροί εἰσι θεοὶ κρόνον ἀμφὶς ἐόντες,

οὐ γνήσιον ἔχει τὸ τέλος· ἢ ἴσως ἐνήλλακται μέρος λόγου.

Πρό. οὐδεμία πρόθεσις μονοσύλλαβος εἰς φωνῆεν λήγει, ἀλλὰ μόνον ἡ πρό.

Ἐξ. οὐδεμία πρόθεσις εἰς διπλοῦν λήγει, ἀλλὰ μόνη ἡ ἐξ.

Πρίν. οὐδὲν εἰς ιν μονοσύλλαβον ἐπιῤῥήμα, ἀλλὰ μόνον τὸ πρίν· τὰ δὲ εὑρεθέντα, ὑπὲρ μίαν συλλαβὴν

εὑρέθη, ὡς τὸ πάλιν ἱεροῖσιν. παρ' Ἀττικοῖς αἰὲν, παρὰ Δωριεῦσιν αἰῖν, παρ' Αἰολεῦσι λέγεται ταῦτα ἄνευ τοῦ ν.

Πέριξ. τὰ εἰς ιξ λήγοντα ἐπιῤῥήματα φιλεῖ πῶς ὀξύνεσθαι· κουρὶξ, ἀπρὶξ, ἀναμίξ· ἀλλὰ τὸ πέριξ μόνον βαρύνεται.

Βοτρυδόν. τὰ εἰς δον λήγοντα ἐπιῤῥήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς υς ληγόντων ὀνομάτων παράγεσθαι, καὶ πρὸ τέλους ἔχειν τὸ υ. μονῆρες ἄρα τὸ βοτρυδόν·

βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι.

ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς υς παράγωγον ποιήσας ἐπίῤῥημα, οὐκ ἔδωκε πρὸ τέλους τὸ υ, ἀλλὰ τὸ η· πάντα δὲ οἱ νέκυνα ἐλεύκαινον τὰ πρόσωπα.

Ἄμφουδις. οὐδὲν εἰς δις λῆγον ἐπίῤῥημα τῇ ου διφθόγγῳ παραλήγει, ἀλλὰ μόνον τὸ ἄμφουδις.

Ψό. οὐδὲν ἐπίῤῥημα μονοσύλλαβον εἰς ω λήγει, ἀλλὰ παρὰ Σοφοκλεῖ ἐν ποιμέσι εἴρηται τὸ ψό.

Χαμᾶξε. οὐδὲν εἰς ξε λῆγον ἐπίῤῥημα τῷ α παραληγόμενον προπερισπᾶται, μόνον τὸ χαμᾶξε δὲ τοὺς περισπῶντας τὸ θύραξε.

Μέταξε. οὐδὲν ἐπίῤῥημα διὰ τοῦ αξε ἐκφερόμενον ἐπὶ χρόνου τέθειται, ἀλλὰ μόνον τὸ μέταξε χατίζον.

Ἐγγύθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίῤῥημα τῷ υ παραλήγει, ἀλλὰ μόνον τὸ ἐγγύθεν.

Πάροιθεν. οὐδὲν εἰς θεν ἐπίῤῥημα λῆγον τῇ οι διφθόγγῳ παραλήγειν θέλει, ἀλλὰ μόνον τὸ πάροιθεν.

Νύκτωρ. οὐδὲν εἰς ωρ ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ νύκτωρ· δείκνυται γὰρ ἐπίῤῥημα.

Ἄτερ. οὐδὲν εἰς τερ ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἄτερ. τὸ γὰρ δάματερ κλητικὴ, ὡς τὸ ἥρακλες.

Ἐχθὲς καὶ χθές. οὐδὲν εἰς ες λῆγον ἐπίῤῥημα, ἀλλὰ μόνον τὸ ἐχθὲς καὶ χθές. τὸ γὰρ ἄληθες καὶ ἐπίτηδες καὶ ὅσα τοιαῦτα, ἀπὸ ὀνομάτων μετατεθειμένα. πρόσκειται δὲ μόνον κοινὰ διὰ τὸ θὲς δώριον.

Τοσαῦτα περὶ μονήρων λέξεων ὡς ἐπὶ τὸ πλεῖστον. ἐπειράθημεν δὲ ἐν τῷδε τῷ βιβλίῳ καὶ προθέσεων παράθεσιν ποιήσασθαι, ἐπεὶ καὶ αὐταὶ ὀλίγαι οὖσαι ὁμοιότητα ἔσχον.

LECTIONES CODICIS HAVNIENSIS AD ARCADII LIBRUM DE ACCENTIBUS AB E. H. BARKERO EDITUM.

P. 3. Codex Havniensis, in quo Arcadii nomen non exstat, initium facit a prologo (p. 6. 7.), quem deinde sequitur hic index operis.
— *ΑΡΚΑΔΙΟΥ ΠΕΡΙ ΤΟΝΩΝ.*] Haec absunt.
— 1. 2. *Πίναξ τοῦ ὅλου βιβλίου τοῦ περὶ τόνων.*
— 8. *εἰς ης καταλήγοντα*] *τὴν εἰς ης κατάληξιν.*
— 9. *τὰ*] *τὴν τὰ*
— Paris. not. 6. *)
P. 4, 4. *κος*] *μος*
— 13. *ὀνόματα*] abest.
— Paris. not. 7. 8. 9.
P. 5, 3—6. *Τὸ ις περιέχει τὰ εἰς ω καὶ εἰς μι ῥήματα κατὰ πᾶν πρόσωπον. Τὸ ιξ περιέχει πᾶν ῥῆμα καὶ πᾶσαν μετοχήν.*
— 8. *περιέχει*] abest.
— Quae in annotatione 11. ex libro Parisino afferuntur, habet etiam codex Havniensis his scripturae diversitatibus. l. 4. *ἀκολούθου*] *ἀκολούθως* — l. 8. *τοῦ συνδέσμου*] *τοῦ δε συνδέσμου* — l. 13. *ἐνι*] *ἐνὶ*

*) Hac compendiaria ratione usi sumus ad indicandum codicis Havniensis consensum cum iis quae ex libro Parisino 2603. in imo margine paginarum afferuntur.

P. 6, 1—4. Pro his codex Havniensis haec habet: *Πρόλογος οἶμαι Θεοδοσίου εἰς τοὺς κανόνας τῆς καθολικῆς προσῳδίας τοῦ σοφοῦ Ἡρωδιανοῦ.*

— 18. *ἐπιπολλῆς*] *ἐπὶ πολλοῖς*

P. 7, 4. *τῶν*] *τῶν μὲν*

— 7. *τὸν ἑλληνισμὸν*] *τοῦ ἑλληνισμοῦ*

— 8. *συνιστῶντος*] *συνιστάντος*

— 20. *δὲ τὸ*] *δέ τι*

— — *τοῦ πρὸς*] *τοῦ πρὸ*

— 23. *ἐπικρινεῖς*] *αὐτὸς ἐπικρινεῖς.*

P. 8. Ante initium operis in codice Havniensi haec leguntur rubro scripta: *Κανόνες τῆς καθολικῆς προσῳδίας τοῦ σοφωτάτου Ἡρωδιανοῦ, οὓς περιέτεμε Θεοδόσιος ὁ γραμματικὸς, φυλάξας τὸν ἀριθμὸν τῶν βιβλίων.*

— 1—3. *Περὶ τῶν εἰς ν̄ βιβλίον α̅.*

— 4. Lemma: *εἰς α̅ν̅.* Similiter l. 12. *εἰς η̅ν̅.*

— 14. *εὐχὴν*] *φύχὴν*

— 18. *προσχηματισμὸν*] *παρασχηματισμὸν*

— 19. *ἀπτὴν,*] *ἀπτὴν, αἰτὴν,*

— 22. *παραληγόμενον*] *μὴ παραληγόμενον*

— 25. *ἀξὴν, ἐψήν.*] *ἀψήν.*

P. 9, 2. *σωλλὴν*] *σωλὴν*

— 5. *εἰσσὴν*] *ἐσσὴν*

— 20. *εἰ μὲν*] *εἰ μὴ*

— 25. *εἰρὴν — διπρὴν*] *σιρὴν — δεπρὸν*

— 26. *παραλήγοντα*] *τῷ ε παραλήγοντα*

P. 10, 1. Lemma: *εἰς ο̅ν̅.*

— 1. *εἰς η̅ν̅*] *εἰς ιν̅*

— 5. Lemma: *εἰς υ̅ν̅.*

— 6. *γόρτυν,*] *γόρτυν, μόσυν,*

— 8. Lemma: *εἰς ω̅ν̅ κατὰ τὰ στοιχεῖα.*

— 20. *λάγων*] *εὐάγων* vel *ἐνάγων*

— Paris. not. 9. 11.

P. 11, 15. ἀριδῶν.] ἀηδῶν.
— 18. ᾱ πόλει] ᾱ, ἢ πόλει
— — ὄζων,] ὀΐζων, ὄζων,
— Paris. not. 12.

P. 12, 6. περισπᾶται] περισπᾶται,
— 13. ἑρκών.] ἕρκών.
— 21. αἰολεσίκαν] αἰολοσίκων
— Paris. not. 13. 14.

P. 13. Paris. not. 16.

P. 14, 6. πόλεως] πόλεων
— 7. μέμνων, ἄμφκων,] μένων, ἔφνων,
— 12. κάνων] κόνων
— 13. καμὼν] κανὼν
— — πλαταιὼν] πλαταιὼν
— 16. τάττεσθαι] τίθεσθαι
— 24. ἅβρων] ἄφρων
— 25. λουτρὼν,] λοὐτρων, ἀνδρὼν,
— Paris. not. 17.

P. 15, 1—6. Haec sectio non est nisi plenior repetitio prioris, in codice Havniensi haec modo semel occurrunt. BLOCH.
— 11. προθύρων,] πρόθυρων, θυρῶν,
— 18. κράτων] κρώτων
— 20. ἱστὼν] ἱστῶν
— Paris. not. 19.

P. 16, 3. καλοφῶν] καλοφῶν καὶ κατιφῶν
— 9. ντ] ντ κλινάμενα
— 14. ταγὼν,] σταγὼν,
— — τριή] τρήρων
— 21. μακρὰ] μακρᾷ
— Quae in not. 20. afferuntur, habet etiam cod. Havniensis, ita ut ab *Τὰ εἰς ων* nova sectio incipiat.

P. 17, 4. ἀσκάλων] ἀγκάλων

P. 17, 9. φιλοξενοφᾶν] φιλοξενοφᾶν, φιλοκτησιφῶν·
P. 18, 1. κρέων] κρεῖων
— 8. Τὰ εἰς ων nova sectio
— 24. κιτροβαστὰξ] λητροβαστὰξ
— Paris. not. 24.
P. 19, 6. κωμοπλὴξ] κωμοπλὴξ
— 7. ἀντίσπληξ] ἀντίπληξ
— 12. φυλάξαντα] φυλαρᾶξ· τὸ δὲ φηριδίωξ καὶ αἰγοδίωξ βαρύτονα, ὡς δύο φυλάξαντα
— 14. μίαν,] μίαν συλλαβὴν,
— 17. μάτυρ] μάρτυρ
— 22. ἑξαύτηρ] ἑξάντηρ
— 25. κατὰ τὸ] κατά τι
P. 20, 16. σάπερ] σάπειρ
— 21. πιτύρισμα] ἀποπιτύρισμα
— Paris. not. 25. 26.
P. 21, 3. παρασύνθετα.] παρακειμένου σύνθετα.
— 18. θαδᾶς] θευδᾶς
— 20. ξας] ας
— 22. ἐξῆς] ἐξᾶς
— 26. ιλέας.] ιλᾶς.
— 27. κύλλας, βάλλας,] μύλλας, πάλλας, βάλλας,
P. 22, 9. ἐρπύνας] ἀρπύνας
— 13. ἢ μισμα] ἢ νόμισμα
— — θύρας] θήρας
— 15. βορᾶς] βορρᾶς
— 20. φιλοπελᾶς] φιλοπελλᾶς
— — φικιβορρᾶς] φιλοβορρᾶς
— Paris. not. 30.
P. 23, 8. βαρύης] βρύης
— 9. ῥυῆς] ὑῆς
— 14. κάβης] abest.
— 18. ὅτι] ὅτε
— 19. ἰσοσυλλάβως] ἢ ἰσοσυλλάβως

P. 23, 24. φθογγῆς] φθογγῆς ἐκ τοῦ φθογγήεις,
P. 24, 8. καὶ abest bis.
— 14. ἐπίθετον] ὡς ἐπίθετον
— 19. τὰ] Τὰ
— 26. ὅπλης] ὅπλης
P. 25, 12. ἐπίθετα] ἐπίθετα μὲν
— 17. εἰς εις] εἰς ειης. Recte Blochius εἰς ηεις
— Paris. not. 34. 35.
P. 26, 1. μυριόνης] μηριόνης
— 6. ἀντιφέρνης] ἀρτιφέρνης
— 7. της] στης
— 19. τριτὴς] τριετὴς
— 24. περατὴς] πειρατὴς
P. 27, 1. Ἔτι τὰ] Ἔτι τὰ εἰς
— 12. εὐσεβὴς,] εὐσεβὴς, ἀσεβὴς,
— 15. παρώνυμα] παρ' ὄνομα
— Paris. not. 39. lin. 1. 2.
P. 28, 6. ἀλλὰ] ἀλλὰ παρὰ
— 13. Τὰ — ἔχοντα ἀρσενικά] Τὰ εἰς ῡ συνεσταλμένον ἀρσενικὰ
— 20. φυλάττουσι] φυλάττουσι τὸν τόνον, πῆ δὲ βαρύνονται. καὶ φυλάττουσι μὲν
— ut Paris. not. 40. sic et cod. Havn. praeter ἀδυτὴς.
P. 29, 1. πατρωνυμικοῦ] πατρωνυμικῶν
— 5. γινόμενον] γενόμενον
— 15. λυκανβὶς] λυκαμβὶς
— Paris. not. 43. 44.
P. 30, 5. μενοῦθις] μαινοῦθις
— 13. διὰ τοῦ θ,] διὰ τοῦ θ κλίνεται,
— 19. ἢ ἐν ὅπλοις] ἡ ἔνοπλος
— 26. καὶ μάμις] abest.
P. 31, 22. τὸ] ἢ
— 23. μακρόν.] μακρὸν ἔχει.
— 26. ἄγουλις] ἄδουλις
P. 32, 10. κρίνις] κέρνις

P.33, 3. συμφώνου] συμφώνου ἢ σύμφωνων
— Paris. not. 49. 50.
P.34, 1. ἄγρις] ἄγγρις
— 4. σέβαρις] σύβαρις
— 18. ψένυρις] ψένιρις
— Paris. not. 51. 52.
P.35, 6. λάκτις] λάκτις
— 10. ῥυγὶς] ῥυτὶς
P.36, 4. στραφὶς] σταφὶς
— 5. μέμφις] ἔφις, μέμφις
— 12. ὕδελφις] ὕδελχις
— 18. τοτῖς] τοπῖς
— — ἀτεργατῖς] ἀταργατῖς
P.37, 1. μῶν] ταῶς
— 23. δίχρονον] δίχρονον βραχὺ
P.38, 10. ηος] νος
— — ἠός] ὑός
— Paris. not. 56.
P.39. Paris. not. 60.
P.40, 2. ὀξύνεται] παροξύνεται
— 7. καὶ τρισιβραχέσιν] καὶ ἐν τοῖς βραχέσιν
— 8. φλεγίος] φλογίος
— 13. χλωριὸς] χλωριὸς ὀξύνεται
— 17. φρύγιος, κύριας,] φρύγιος δὲ τὸ κύριον
— Paris. not. 61. 62. 64.
P.41, 1. παροξύνεται] προπαροξύνεται
— 4. σκολιός. φάλιος] σκολιὸς, φαλιὸς
— 5. τρισύλλαβον] τρισύλλαβα
— 8. γινόμενα] γενόμενα
— 10. αἴτιος] αἴτιος, ἁρμόζω ἁρμόδιος, ἀρκῶ ἄρκιος, ἀρτῶ ἄρτιος. τὸ δὲ ἀρτῶ ἀρτίος
— 26. νόσφιος] νοσφίδιος
P.42, 3. κυβίος] κωβίος
— 4. Lemma Ἔτι περὶ τῶν εἰς ος
— 6. τὰ δὲ πολλὰ] τὰ πολλὰ δὲ
— 13. ἀθρόως] ἀθρόος

P. 42, 20. τ' ἄλλα] τ' ἄλλα
— post lin. 21. add. *Τὰ εἰς ος ὑπερδισύλλαβα παραληγόμενα ῡ συνεσταλμένῳ προπαροξύνεται, σίκυος, πέρυος, φάτιος. τὸ δὲ τιτυὸς ὀξύνεται, καὶ τὸ ῡ οὐκ ἔχει συνεσταλμένον.*
— 22. τῇ ῳ̄] τῷ ω̄ μετὰ ι προσγεγραμμένου
P. 43, 22. ἀλκμαῖος] ἀκμαῖος
— 29. in marg. add. ἀραιὸς ὁ μὴ πυκνὸς, ἀραῖος ὁ τῆς ἀρᾶς.
P. 44, 10. κύριον] κύρια
P. 45, 17. πείθραυσος] πείραυος
— 18. ἄραυος] ἄρευος
P. 46, 12. ἄηβος] ἄνηβος
— 16. φόγγος] φθόγγος
— 18. σαγρὸς] σαργὸς
— Paris. not. 65. 66. 67.
P. 47, 22. λάδος] κλάδος
— 26. ὑποδὸς] σποδὸς
P. 48, 2. ξεῦγος] ζεῦδος
— 5. ὄγδοος] ὄγδος
— 14. συμφώνου] σύμφωνον
— 22. τοῶξος] τρῶξος
— Paris. not. 68.
P. 49, 1. κῦθος] κῶθος
— 15. ὄνθος] ὄθος
P. 50, 19. κύκλος] κύκος
— Paris. not. 69.
P. 51, 12. μαίμακος] μαίμαρκος
— 15. ἀλάεκος] ἀλώπεκος
— 20. πάγαικος] *Τὰ εἰς κος παραληγόμενα αι ἢ οι μὴ ἐπιθετικὰ προπαροξύνεται, πάγαικος,*
— 21. ἐπιθετικὸν] ὀξύνεται ἐπιθετικὸν
— Paris. not. 70.
P. 52, 1. βοεικὸς δὲ, κελεικὸς,] βοεικὸς, δεκελεικὸς,
— 10. κάρυκος] κώρυκος
— 11. ἀλυκὸς] ἁλυκὸς

P. 52, 15. ἀρτηκὸς] ἀρτησκὸς
— 22. καὶ] abest.
— 23. μῦθος] μῦλος
— 24. στρογγύλος] γρύλος
— 25. ψιχὸς] ψίλος
P. 53, 8. σαῦλος] δαῦλος
— 13. προσέτι ὀξύνεται] absunt.
— 20. φαλλός.] φαλλὸς, φελλός.
P. 54, 9. μαρώπιον] μαρσίπιον
— 14. δόριλλος] δώριλλος
— 24. post ὀξύνεται add. καὶ τὸ αἰγιαλὸς περιεκτικόν.
— 25. σεσημείωται] Τὰ διὰ τοῦ αλος τριγενῆ ἔχοντα τὴν τρίτην βραχεῖαν ὀξύνεται· ἁπαλὸς, χθαμαλὸς, τροχαλὸς, ἰταλός. σεσημείωται
— 27. τάβακος] τάβαλος
P. 55, 4. διελὸς] δειελὸς
— 10. στρεβελὸς] στροβελὸς
— 14. ῥιγηλὸς] σιγηλὸς
— 23. μίτιλος] μύτιλος
P. 56. 3. περισπᾶται] προπερισπᾶται
— 5. εὔκολος] ἄκολος
— 11. ἀκρύλος] abest.
— 16. ἀγγύλος] ἀγκύλος
— 23. κύλλος] δερκύλος
— 24. κίνδυλος] κόνδυλος
— 26. τόπον] τόνον
P. 57, 1. ἔχοιεν] ἔχοι
— 14. εὐρύσωλος] εὐρύσμωλος
P. 58, 5. ἀλλαγμὸς] ἀλαλαγμὸς
— 6. ῥοιγμὸς] ῥίγμος οὐ
— 11. κύδνος] κύδμος
— 13. ἰσθμὸς,] ἰσθμὸς, ῥυθμὸς,
— 25. πρόκειται] πρόσκειται
P. 59, 2. σύνθετον, ὀφθαλμὸς,] σύνθετον ὄν. Τὰ εἰς μος προσηγορικὰ ἔχοντα τὴν πρὸ τέλους συλ-

λαβὴν εἰς λ̄ καταλήγουσαν ὀξύνεται, ὀφθαλμὸς,

P. 59, 13. τὰ προσηγορικὰ] τὰ δὲ προσηγορικὰ
— 18. τάμος] σάμος
P. 60, 1. ἐρυμὸς] δρυμὸς
— 6. ὁ σωρός] ἡ σωρός
— 11. δῆμος] δεῖμος
— 20. χιαμὸς] χἰαμὸς. Blochius „f. χηραμός.“
P. 61, 1. τὸ] τῷ
— 23. ἰατρὸς] οἰκτρὸς
— Paris. not. 77. 78.
P. 62, 13. κύθνος,] κύκνος, κύθνος,
— 18. ἐπιθετικωτέρου] ἐπιθετικώτερον
— 22. σιμνὸς] σεμνὸς
— Paris. not. 79.
P. 63, 6. προπαροξύνεται] παροξύνεται
— 21. πίνος] πῖνος
— 22. σχίνος] σχῖνος
P. 64, 2. αὔαινος] ἄναινος
— 3. δελφοινὸς] δαφοινὸς
— 18. ἀπιδανὸς, ἐφυλάξατο κανόνα τὸ ρ̄] ἀπιδανός. ἐφυλάξατο δὲ ὁ κανὼν τὸ ρ̄
— 27. παθῶν] παθὸν
P. 65, 1. ηρος] ηνος
— 4. ἀναπεφθέντα] ἀναπεμφθέντα
— 10. ἀρίθινος] κρίθινος
— 16. κατὰ τὸ] καὶ τὸ γυρῖνος
P. 66, 1. ενος] υνος
— 3. βόθυνος] πίσυνος, βόθυνος
— 8. ἄφωνος] εὔφωνος
— — ἄγωνος] εὔωνος
— 21. ἶπος] ἴσπος
— Paris. not. 83.
P. 67, 19. κρίτωπος] κρότωπος

P. 67, 24. [εἰς ρος] εἰς ρος, σος, τος, φος, καὶ τῶν καθεξῆς
P. 68, 4. εὐῆρος] σῆρος
— 18. εἰ ἐπιθετικὰ] ἢ ἐπιθετικὰ
— 22. ὄρος, εἶρω γὰρ, ὀρὸς τὸ] ὅρος, εἶρω γὰρ, ὀρὸς δὲ ὀξυτόνως τὸ
— 24. καὶ ὁ] καὶ
— Paris. not. 85.
P. 69, 1. ὀξύνεται] ὀξύνονται
— Paris. not. 88.
P. 70, 1. εἰ μή τις] εἰ μή τι
— 22. κήτερος] κάντερος (sic)
— 23. κατερὸς] κρτερὸς
— 24. ερος] τερος
P. 71, 5. ὀξύνεται.] ὀξύνεται, ὡς διὰ ερος, καὶ δεξιτερός· τὸ δὲ ἀμφότερος ἐπιθετικόν· τὸ δὲ ἀμφοτερὸς ὡς κύριον ὀξύνεται.
— 10. εἴτε προσηγορικὰ] ἢ προσηγορικὰ
— 16. ἀεὶ] abest.
— 17. ὅταν τὸ] ὅταν τὸν
— 18. ἐπιμόχθηρον] ἐπίμοχθον
— Paris. not. 90.
P. 72, 4. πάρσυρος] πάπυρος
— 8. ἐκυρός.] ἐκυρὸς ὁ πενθερός.
— 14. τὰ δὲ] τὰ δὲ ἄλλα
P. 73, 1. νομίουρος] νομοουρὸς
— 7. δισύλλαβα] τρισύλλαβα
— 10. κρατικός] κρακτικός
P. 74, 9. λαμπρὸς] λαμπρὸς δὲ
— 22. κατὰ] κατὰ τὸ
P. 75, 7. κρωσσὸς] κρωσὸς
— — κνωσσός] κνωσός
— 8. ἀπὸ] σῶσος ἀπὸ
— 12. μεσὸς] μυσὸς
— 16. πραισὸς, ὅτι] πρωσός. ἔτι ὅτι
— Paris. not. 93. 94.

P. 76, 17. ἐστι δὲ καὶ εἴδος τινος ἱματίου] ἔστι δὲ εἶδος ἱματίου
— 19. ος] σος
— 21. βάνανσος] βαύνασος καὶ βάνανσος —
— 25. ἔχον, ἔφεσος,] ἔχον. Τὰ εἰς σός ὑπερδισύλλαβα ἁπλᾶ τῷ ε παραληγόμενα σπάνια ἐν σ ἔχοντα, ἔφεσος („Omissum est προπαροξύνεται.“ BLOCH.) —
P. 77, 4. κάβησσος] κάρησσος
— Paris. not. 98. 99. 1. 2. 3. —
P. 78, 4. ἄμυσος] ἄλωσος
— 9. οἶτος,] οἶτος, κλοῖτος,
— 16. ἐπιθετικὸν εἴη παραλῆγον] ἐπιθετικὰ εἴη παραληγόμενα —
— 26. ὀξύνεται, βατὸς,] ὀξύνεται. Τὰ εἰς τος διβράχεα ἐπιθετικὰ μὴ ἐπὶ ἀριθμοῦ παττόμενα ὀξύνεται, βατὸς,
— Paris. not. 4. —
P. 79, 1. τὸ δὲ] τὸ δὲ τρίτος —
— 14. καρτὸς,] καρτὸς, θικτὸς —
— 18. ἰστὸς] ἱστὸς —
— Paris. not. 7. 9. —
P. 80, 1. μαστὸς] abest.
— 7. πνυκτὸς] πνικτὸς —
— 11. ἕκτος] ἕκτος —
— 18. λαμπρότατος,] λαμπρότατος, ὁσιώτατος,
— 23. ἄατος] ἕνατος
— 25. ἢ] εἰ —
P. 81, 11. μενέτος] μενετὸς
— 23. εἶ προπαροξύτονα] absunt.
P. 82, 2. ᾱ] τοῦ ᾱ
— 21. ἄλυτον] ἄλυτος — —
— — προπαροξύνεται.] προπαροξύνεται. τὰ δὲ τρισύλλαβα ἐκτεταμένον τὸ υ ἔχοντα ὀξύνεται, βηρυτὸς, κωκυτὸς, κανδυτὸς, βουλυτός· τὸ δὲ ἐβέννυτος προπαροξύνεται ὑπερβαῖνον τὴν

τρισυλλαβίαν. Tum incipit nova sectio quae in nota 17. ex Paris. affertur, Τὰ εἰς τος τρισύλλαβα cet.

P. 82, 24. ἀνακινδίμευτος] ἀνακίδωτος

— — Paris. not. 16.

P. 83, 4. ἄλίαρτος] ἄλίαρτος

— 5. τὸ ἐθνικὸν] τὸ δὲ ἐθνικὸν

— 13. πάρακτος] πάνακτος

— 15. δρυφαντὸς] δρυφακτός

— 18—21. una sectio.

— 20. ἀγοστὸς,] ἀγοστὸς ἡ ἀγκάλη,

— Paris. not. 18.

P. 84, 17. στυφὸς] συφὸς

P. 85, 7. μοναχός.] μοναχὸς ὀξύνεται.

P. 86, 2. ὅσα] nova sectio.

— 4. κορυθαίολος] κορυθαιόλος

— 9. τῶν] τῶν εἰς ος

— 14—19. una sectio.

P. 87, 11. μανδαρὸς] μανδανὸς

— 24. τὸ] abest.

P. 88, 9—11. una sectio.

— 13. πρόβολος] πρόβουλος

— 22. πωλῶ] πολῶ

— Paris. not. 20. 21.

P. 89, 6. συνήγορος.] συνήγορος, κατήγορος, προσήγορος. δημηγόρος δὲ παροξύνεται· οὐ γὰρ ἀπὸ προθέσεως. Tum nova sectio: Ἔτι τὰ παρὰ τὸ χέω σύνθετα παροξύνεται, χρυσοχόος, οἰνοχόος. τὸ πρόχοος δὲ ἀπὸ προθέσεως.

— 9. τὸ] τὸ δὲ

— 12. παροξύνεται, εὔτοκος,] παροξύνεται, ἀρτοφάγος, μονοφάγος, παμφάγος. Tum nova sectio: Ὅσα τὸ ευ μόριον κατ' ἀρχὴν ἔχει, προπαροξύνεται, εὔτοκος,

— 22. ξα] καὶ ξα

— 24. ξάητος] ξάκοτος

P. 90, 8. παλίνβολος] παλίμβολος
— — παλίνκοτος.] παλίγκοτος
— 13. γίνεται γὰρ] absunt.
— 14. ἄοχος] ἤοχος
— Paris. not. 24. 25.
P. 91, 4. οἰκονόμος.] οἰκόνομος, θεοτόκος.
— Paris. not. 26. 27.
P. 92. Paris. not. 28. 29.
P. 93, 1. αν] αυς
— Paris. not. 30.
P. 94, 10. βραχέα] βράχεια
— 13. ψόραψ] Θόραψ
P. 95, 27. τάλαινα,] τάλαινα, λάκων, λάκαινα,
P. 96, 19. σπάνια ὄντα] absunt.
— 24. μηνᾶ] μνᾶ
— 27. σφῦρα] σφῦρα
P. 97, 18. ἔμπουσα] ἔμπουσσα
— — συράκουσα] συράκουσσα
— Paris. not. 31. 32.
P. 98, 1. η̄] νι
— 18. δεῖα] δεῖα
— 21. ἀπὸ ευω] ἀπὸ τοῦ ευω
— Paris. not. 34. 35. 36.
P. 99, 5. προδωσία προδωσία.] προδώσω προδωσία.
— 13. μονία] κονία
— 15. χελιδωνιὰ] χελιδονιὰ
— Paris. not. 37. Quae ex eodem libro not. 38. afferuntur habet etiam codex Havniensis, nisi quod τὸ ante ἀντλητήριον omittit, et στειριὰ pro στηριὰ scriptum est.
P. 100, 4. ἁρματροχιά] ἅματροχιά
— 12. ὅα,] ὅα, τὸ δέρμα
— 22. ᾱ] ᾰ μακρὸν
— Paris. not. 39. 40. 42.
P. 101, 1. ἀθηναία] ἀθηνάα
— 17. τρώρα] πρῶρα

P. 102, 1. 2. 3. Pro his codex Havniensis haec habet: *Περὶ τόνου τῶν εἰς η θηλυκῶν βιβλίου ιβ.*
— 18. *κάμπη*] *φάτνη*
— 19. *παντογκύνη*] *παντογύνη*
— 21. *ὑδωρῶν*] *ὑδωρῴη*
— 22. *μετανέστεροι*] *μεταγενέστεροι*
P. 103, 2. *ἀναρῴη*] *ἀναρρῴη*
— 3. *ἀναδεσμός*] *ἀνάδεσμος*
— 24. *γήνη*] *γήρυον*
P. 104, 12. *ταῦτα, φοίβη,*] *ταῦτα, λαβὴ τρίβη, ῥηματικὰ ὄντα. Τὰ εἰς οἰβη κύρια μετόντα βάρυνεται, φοίβη,*
— 21. *πάργη.*] *πέργη.*
P. 105, 26. *ἐπιμέλεια,*] *ἐπιμέλεια, αὐδὴ ἡδονή,*
P. 106, 11. *πεύκη,*] *λεύκη κύριον, πεύκη,*
— 19. *ἰάκη*] *ἀκὴ*
— 27. *διαστολήν*] *ἀντιδιαστολήν*
P. 107, 1. *ἀτάρκη*] *ἀρκάκη*
— 18. *σαβύκη*] *σαμβύκη*
— Paris. not. 46.
P. 108, 5. *πλάνη*] *ἡ πλάνη*
— 8. *ειλη*] *ηλη*
— 19. *δήλη*] *δειλὴ*
— 27. *ῥῦπος*] *ῥύπος*
— Paris. not. 47.
P. 109, 8. *ἀπόξεσμα*] *ἀπόξυσμα*
— Paris. not. 48.
P. 110, 11. *τομή·*] *τομὴ, ταμή.*
P. 111, 2. *μηχειλὴ*] *μηχανὴ*
— 5. *θεναι*] *θενὴ*
— 8. *ὠκένη, ὠλένη, χριμένη*] *ὠλένη, ἐλένη, χυμένη*
— Paris. not. 51.
P. 112, 15. *ἡ τροπὴ*] *ἡ προτροπὴ*
— 18. *δουλωσύνη*] *δουλοσύνη*
— 25. *μεθώνη*] *μοθώνη*

P. 112. Paris. not. 52.
P. 113, 16. καὶ ἀστεροπὴ] καὶ στεροπὴ
— 19. ἄγκρη] ἄσκρη
— 25. τῷ ō] τῷ ῶ
P. 114, 2. τὸ δὲ προσηγόρικὸν] τὰ δὲ προσηγορικὰ
— 4. μέλω] μέλεω
— 17. κραύτη] „Fydeg. βλαύτη." BLOCH.
— 24. βαρύνεται, ὀξύτη,] βαρύνεται καὶ τὸ πέλτη ἡ ἀσπίς. τὰ δὲ κύρια βαρύνεται, ὀξύτη,
— Paris. not. 53.
P. 115, 5. ἀφὴ] ἀφὴ
— 12. ἐνὶ] ἢ ἐνὶ
— 16. παρὰ] παραληγόμενα
— 25. ὀξύνεται, στονακὴ,] ὀξύνεται. Τὰ εἰς χὴ ὑπερδισύλλαβα εἰς χὴ εἰς ω παραληγόμενα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, στονάχη,
— — lακχὴ, ἀλωχὴ,] ἰαχὴ, ἀμυχὴ,
P. 116, 16. φυλάττει] φυλάσσει
P. 117, 7. ἑξαετὴς] ἑξαετὴς
— 8. ἑξαετὲς] ἑξαετὲς
— 9—14. una sectio.
P. 118, 14. τὸ] Τὸ
— Paris. not. 55.
P. 119, 14. σφητίον] σφηκίον
— 15. βούριον] φρούριον
— 19. τρίβλιον] τρύβλιον
P. 120, 26. χαλκουστραῖον] χαλουστραῖον
— 27. ἡλεκταῖον] ἠλεκαταῖον
P. 121, 25. πλοιὸν] πλοῖον
P. 123, 7. ἐνέχυρον,] ἐνέχυρον, πρόθυρον,
— 13. ἄνδερον] ἄνδρυον
— 22. γύντον] γέντον
P. 124, 8. ὅμαργες, τὸ ὁμοσυμφωνοῦν,] ὅμαργες τὸ συμφωνοῦν,
— 11. τὰ] Τὰ
— 12. μῦ, νῦ, ξῦ,] εἶ, μῦ, νῦ, ξῦ,

P. 124, 20. ὧν] ἓν
— 22. Comma abest post πάν et ἄν
— 24. θῶσι] θῶν
P. 125, 1. ἓν, ἓς,] ἓς, ἓν,
— 6. ὅλξ] ὅλξ
— 10. πὰρ] ψὰρ
— 15. γραῦς] γραῦς
— 17. ξὰς] εἰ δὲ περιττοσυλλάβως κλίνοιτο μονογενῆ ὄντα ὀξύνεται, πρὰς, ξὰς.
— Paris. not. 58.
P. 126, 6. ὀξυνόμενον] ὀξύτονον
— 10. καὶ] abest.
— 18. δειλὸς] δαλὸς
— 22. θὼς] abest.
— Paris. not. 60.
P. 127, 9. ἑνικῆς γενικῆς] γενικῆς ἑνικῆς
— 23. οὐ] κοινῶς οὐ
— 25. ἄελαι] ἄελλαι
— 27. εὐθείας] εὐθείας καὶ
P. 128, 16. ἀκολουθήσοι] ἀκολουθήσει
— 18. κέαρος,] κέαρος καὶ κῆρος.
P. 129, 7. δυσυλλαβία] δισυλλαβία
— 15. δυσυλλαβίαν] δισυλλαβίαν
— 24. τῆς] τῆς εὐθείας
P. 130, 3. διότι] διόσι ἡ γενικὴ
— 5. θύγατρα] θυγατέρα καὶ θύγατρα
— Paris. not. 62.
P. 131, 11. εὐθεῖα] εὐθεῖα λήγουσα
P. 132, 8. φασιν] φασι
— 14. Lemma: Περὶ κλητικῆς.
— Paris. not. 63.
P. 133, 19. φίλημα] φίλημα φιλήματος
— 24. χηνῶν,] χηνῶν, μῆνες μηνῶν,
P. 134, 23. συμφώνων] συμφώνου
P. 135, 6. μία] αἱ ῥόδιαι τῶν ῥοδίων, μία

P. 135, 8. *βυζαντίων,*] *βυζαντίων, οἱ ἅγιοι τῶν ἁγίων, αἱ ἅγιαι τῶν ἁγίων.*
— — *αἱ ῥόδιαι τῶν ῥοδίων*] haec absunt.
— 19. *ὄχθοι*] *βάκχαι βάκχων, ὄχθοι*
P. 136, 12. *δαναΐδων*] *δαναϊδῶν*
P. 137. Paris. not. 64.
P. 138, 2. *μηδέσιν.*] *μηδέσιν, καὶ οὐδενὶ οὐδέσιν.*
— — *προσλαλοῦσαι*] *προσλαβοῦσαι*
P. 139, 3. *ῥήμασιν, ἓν*] *ῥήμασι καὶ ἓν*
— 4. *καὶ ὀνόμασι*] *καὶ ἐν ὀνόμασι*
— 13. *συνδέσμοις*] *σύνδεσμοις ἐγκλίνονται*
— 14. *πὲρ, γέ.*] *καὶ περ καὶ γε.*
P. 140, 1. *κῆρυξ*] *κήρυξ*
— 3. *φοῖνιξ*] *φοίνιξ*
— — *κῆρυξ*] *κήρυξ*
— 10. *ξεὺς*] *ξεύς*
— 11. *καλὸς!*] *καλός*
— 16. *ὠκὺς·*] *ὠκύς·*
— 22. *ἐπιφέρον*] *ἐπιφέροντι*
— Paris. not. 66. 67. 68.
P. 141, 2. *φησι, πολλάκις σφέας.*] *σφισι, πολλάκις σφεας.*
— 9. *τινὶ*] *τίνι*
— 15. *κλινόμενα κατὰ*] *κλινόμενα αὐτὰ καθ' ἑαυτὰ θέλουσιν ἔχειν ἐπὶ τέλους τὸν τόνον, ὅτι τὰ ἐγκλινόμενα κατὰ*
— 16. Post *δύναται* additum in margine: *διὸ οὔτε αἱ προθέσεις οὔτε αἱ μετοχαὶ ἐγκλίνεσθαι θέλουσιν.*
P. 142, 18. *ἐσσι*] *σχέτλιός ἐσσι*
— Paris. not. 69. 70.
P. 143, 8. *περισπῶνται*] *προπερισπῶνται*
— 9. *σφῶε*] *σφωε*
— 10. *καὶ*] *Καὶ*
— ad lin. 9. 10. 11. in margine scriptum: *Τὰ ἐγ-*

κλινόμενα καθ' ἑαυτὰ ὀξύνονται, μετὰ δὲ ἑτέρων λέξεων συντιθέμενα ἀναβιβάζουσι τὸν τόνον.

P.143, 18. τε] γε
— 27. ἄλλῳ, ἐμοὶ] ἄλλου, ἐμοὶ
P.144, 12. ἄλλοι] ἄλλαι
— 28. τὲ, καίπερ,] τε, και, περ,
— 27. — 146, 5. una sectio.
P.145, 5. μηδὲ μιᾶς] μηδεμιᾶς
— 9. σπονδειακὴ] σπονδειακὴ τυγχάνοι
— 11. ἐπὶ] ἡ ἐπὶ
— 14. βαρύνεται, οἷον] βαρύνεται, οἷον λέβης τις, ὅπως γε. οὔτε εἰ πυῤῥιχιακὴ τύχοι, βαρύνεται, οἷον
— 17. ἔσσαν] ἔσαν οἱ
— — παμπίκοιλοι] παμποίκιλοι
— 18. Ἀπαραλόγως] παραλόγως
— — ἐγκλίθη ἡ] ἐνεκλίθη ἡ οἱ
— — πυῤῥυχίου] πυῤῥιχίου
— 28. ὡς] ὡς ἐν
P.146, 1. περισπᾶται] περισπᾶτο
— 9. πῶ, πότε,] πῶ πότε,
— 15. εἴπέρ τίς σ' ἔμοί] εἴ πέρ τίς σέ μοί
— 17. διὰ τοῦ] διὰ τὸ
— 19. ὀξείας,] ὀξείας.
— 21. αἱ] Εἱ nov. sect.
— 24. ἐπιφέροι τὸ] ἐπιφέροιτο
— 25. διὰ τοῦ] διὰ τὸ
— 28. ἔστ'] ἔστι
P.147, 1. ὀξεῖα, εἶπου] ὀξεῖα· ἤ που
— 2. ὀξεῖα,] ὀξεῖα·
— 3. μελῳδεῖν,] μελυδρεῖν·
— 4. τῇ ᾱ] τῇ να
— — κἀκεῖνο] Κἀκεῖνο nova sectio.
— 8. που ἴδῃ τις,] που, ἴδῃ τις,
— 14. ἴδιον] τὸν ἴδιον

P. 147, 23. ἢ ὅτε] ἦ, ὅτε
P. 148, 4. ἤρως ἐστὶν,] ἤρως ἐστὶν, ἔρως ἐστὶν,
— 17. δεσμοφορὲν] δασμοφορὲν
— — δεσμοφορεῖν] δασμοφορεῖν
— 25. φασίν] φασί
— 26. φθὲ] φθὶ
P. 149, 2. ὀξύνεται] ὀξύνονται
— 8. — 20. una sectio.
— 22. τὸ ῡ] τῷ ῡ
— 26. γρυπῶ] γνυπῶ
P. 150, 9. ἀφή] ἁφή
— 10. τρυφῶ] τρυφὴ τρυφῶ
— 11. ἀφὴ] ἁφὴ
— 20. Lemma: Δευτέρα συζυγία.
— 24. δὲ] abest.
P. 151, 5. σμαράγω, πλατάγω. τὸ δὲ] σμαραγῶ, πλαταγῶ, λαλαγῶ. καὶ καθόλου τὰ ἔχοντα τὸ ᾱ περισπᾶται, ἀργῶ, παταγῶ. τὸ δὲ
— 15. λεγῶ] λέγω
— 18. καὶ] abest.
— 20. ἔχει] ἔχοι
— 27. ἄργος] ἀργὸς
P. 152, 1. φάγω] φεύγω
— 5. σπείρω] abest.
— 15. πελεκᾶς,] πελεκᾶς·
— 18. σκω] κω
— 22. φρηκῶ] φηκῶ
P. 153, 10. ἀπὸ] ἀρχόμενα ἀπὸ
— 14. τύχω] τεύχω
— 27. τριχῶ] τροχῶ
P. 154, 10. περισπώμενον] περισπᾶται
— 22. Lemma: Τρίτη συζυγία.
P. 155, 10. ἔρδω. τὸ δὲ] ἔρδω, ἀμέρδω τὸ στερίσκω, εὔδω, σπεύδω, φείδω τὸ φοβοῦμαι, εἶδω καὶ εἰδῶ. τὸ δὲ
— post lin. 15. add. Τὰ εἰς δω ἐν τῇ πρὸ τέλους

ἔχοντα τὸ ῑ εἰς ν̄ καταλῆγον βαρύνεται, ἀλίνδω, καταλίνδω, κυλίνδω.

— 20. καὶ] abest.

P.156, 1. ἀκυρέθω] ἀερέθω

— 5. πήθω,] λήθω, πήθω,

— 6. βοηθῶ] βοηθῶ ἀηθῶ

— 17. προκατάρχοι] προκατάρχοιτο

— 18. ὤθω] ὠθῶ

— 25. ὤθω] ὄθω

— Paris. not. 75. 76.

P.157, 10. πέταμαι] πέτομαι

— 12. Lemma: *Τετάρτη συζυγία.*

— 23. πίσσω,] μάσσω, πίσσω,

— 28. μετήχθη, ποιητικῶς δὲ περισπᾶται] μετήχθη ποιητικῶς, περισπᾶται

P.158, 1. Lemma: *Πέμπτη συζυγία.*

— 6. βόλω] βούλω

— 12. πέλω,] πέλω, μέλω,

P.159, 17. ἢ συμφώνου] ἢ ἀπὸ συμφώνου

— 25. τῷ ῡ̄,] τῷ ῡ̄ περισπᾶται,

P.160, 2. φθορῶ] φθονῶ

— 8. αἰολικόν] αἰολέων

— 19. ταχύνω.] ταχύνω, τραχύνω.

P.161, 21. δικάνω] δεικάνω

— Paris. not. 78.

P.162, 27. οἰκτείρω.] οἰκτείρω, θείρω τὸ ἐξ ἔθους τὸ διαπράττομαι.

P.163, 15. Lemma: *Ἕκτη συζυγία.*

— Paris. not. 79.

P.164, 1. σαήσω,] σαώσω,

— 22. ὡς καὶ] ὡς

P.165, 7. ἀλλοίω] ἀλλοιῶ

— 8. ἑταιροιῶ] ἑτεροιῶ

— 21. ἰχθὺς] ἰχθῦς

— 24. ἀρπυίω] ἁπυίω

— Paris. not. 80.

P. 166, 1. κολοὶὸς] κολῳὸς
— 4. αὐξῶ.] αὐξῶ, ἀλεξῶ.
— 15. Lemma: *Περὶ τόνου τῶν προστακτικῶν.*
— 15. προστατικὰ] προστακτικὰ
— 18. εἰς τω εἰς θω] εἴτε εἰς τω, εἴτε εἰς θω,
— 19. λελέχθω] λεγέσθω
— 20. Lemma: *Περὶ τόνου τῶν εὐκτικῶν.*
— 20. πρῶτα] τρίτα
— 23. Lemma: *Περὶ τόνου τῶν ὑποτακτικῶν.*
P. 167, 13. τυφθῶ.] τυφθῶ. διὸ καὶ τὸ, ἐὰν ἐγκαταλιπῶ ἀπὸ σοῦ, περισπᾶται.
— 16. ἡ μετοχὴ] καὶ μετοχὴν
— 19. δραμεῖν καὶ] δραμεῖν γὰρ, καὶ
— 25. ὑποτακτικὸν] ὑποτακτικῶν
— Paris. not. 82. 83.
P. 168, 1. *Περὶ τόνου τῶν εἰς μι.*
— 2. *Βιβλίον ιζ'.*] haec absunt.
— 17. ἦψα] ἧψα
— 18. ἐφοίτας] ἐφοίταε
— Paris. not. 84.
P. 169, 11. προπαραληγούσης] παραληγούσης
— 22. εἰς ην] εἰς ν
P. 170, 1. δίδομαι.] δίδομαι·
— 2. μακρὰ] μακρᾷ
— 3. εἶμαι] ἧμαι
— 13. ἰσοσυλλαβοῦνται] ἰσοσυλλαβοῦντα
— Paris. not. 85.
P. 171, 1. ἔχουσι τοῦ] ἔχουσι τὰ τοῦ
— 19. ἐνικοῦ] ἐνικῶ
— 23. διοίμην διοῖο] δοίμην δοῖο
— 25. διοίμην διοῖο,] absunt.
— Paris. not. 86.
P. 172, 15. περισπῶνται. ὅτε δὲ] περισπῶνται ὅτε
— 18—20. ἧτο δὲ — προπερισπῶνται.] ἧσο δὲ τὸ ἐκαθέζου, καὶ ἧτο τὸ τρίτον, καὶ πλεονασμῷ τοῦ σ ἧστο προπερισπῶνται.

P. 172. Paris. not. 87.
P. 173, 5. καὶ ἐλθὲ] καὶ τὸ ἐλθὲ
— 6. ὀξύνεται] ὀξύνουσι
— 10.—22. una sectio.
— 25. Lemma: Περὶ τῶν συνθέτων ῥημάτων καὶ ἔτι περὶ μετοχῶν βιβλίον ιζ.
P. 174, 10. δὴ] abest.
— 27. ἀτρεὲς] ἀτρεὺς
P. 175, 1. Ἔτι] Ὅτι. Eodem modo in initio quinque sectionum sequentium.
— 23. Περὶ] Ἔτι περὶ
P. 176, 4. συζῶ.] συζῶ, ἀλῶ ἀπὸ τοῦ ᾱ καὶ λῶ.
— 7. πίπτει] πίπτοι
— 12. δίδοτε] δίδοται
— — δίδοται] δίδοτε
— 18. τύπτων, ὅτι τύπτω,] τύπτω τύπτων,
P. 177, 15. ἥσμενος] ἡσμένος
— Paris. not. 88.
P. 178, 1. ποιῆσον] ποιῆσαν
— 5. ἀναβιβάζουσι] ἀναβιβάσωσι
— 7. τοῦ] τῆς
— 13. ὁ] ὃ — οἱ] οἳ — τοὺς,] τοὺς, οὓς,
— Paris. not. 89.
P. 179, 5. σφῶϊ, σφῶϊν] σφωὲ σφωΐν
P. 180, 2. κατὰ] κάτα
— 25.—28. hoc ordine 27. 28. 25. 26.
P. 181, 5. μετὰ σφίσιν] μετά σφισιν
— post lin. 8. add. Ἡ περὶ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.
— 9. γενικῇ.] γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.
— 22. δὰψ] δὰψ, δᾷξ
— Paris. not. 90.
P. 182, 7. ἀντιδοτικὰ] ἀνταποδοτικὰ
— 18. ἀντὶ] ἀντὶ τοῦ
— 19. ἰώ.] ὤ.

P. 182, 22. ἐκδεξιὼν,] ἐκδεξιὼν, ἐξαριστερὼν, τελευτὼν,

— Paris. not. 91. Quae not. 92. ex Paris. afferuntur, his Blochius haec adscripsit: „Haec etiam codex Havniensis, nisi quod recte habet τὸ ῶ. Post παροξύνεται vero rubris literis scriptum est λείπει, et spatium duarum linearum vacuum relictum. Deinde Τὰ εἰς ως μέγα —."

P. 183, 1. τὰ] Τὰ

— 3. τριπλῆ,] τριπλῆ, τριχῆ, τετραχῆ,

— 5. διπλῶς, πεξῶς.] διπλῶς, τριπλῶς, πεξῶς, πανταχοῦ.

— 6. ἦ, ὅπου,] ἦ ἀντὶ τοῦ ὅπου,

— 8. δηλαδὴ, ἀκμήν.] δηλαδή· ὀξύνεται καὶ τὸ ἀκμήν.

— 9. ἀμισθὶ,] ἀμισθὶ, ἀπνευστὶ,

— 11. ναιχιΐ] ναίχι δὲ

— 12. ει] αν

— 13. τὸ ὕθι,] τὸ δὲ

— 14. χαμᾶζε] χαμάζε

— — περισπώμενον] προπερισπώμενον

— 16. ποῖ.] ἰσθμοῖ, ποῖ.

— 17. δὲ] δὲ ἀντὶ τοῦ εἰς τὸν οἶκον

— 23. φεῦ,] φεῦ, ἐλελεῦ,

— 24. πανταχοῦ,] πανταχοῦ, ἀλλαχοῦ,

— 25. αὐτοῦ·] αὐτοῦ, ἀντὶ τοῦ εἰς τὸν τόπον αὐτὸν, καὶ τὰ λοιπά·

— 28. μεσηγὺ,] μεσηγύ· σὺν τούτοις

P. 184, 1. καὶ τὰ] Τὰ

— 2. τετραχθά.] τετραχθὰ, ἀναφανδά.

— 3. λάξ.] λὰξ, διαμπάξ.

— 6. ἦκα] ἦκα

— — ἀντὶ] ἀντὶ τοῦ

— 11. περισπᾶται] προπερισπᾶται

ΒΑΡΙΝΟΥ ΚΑΜΗΡΤΟΣ

ΕΚΛΟΓΑΙ.

Ἐξ ὧν εἰλήφθησαν τάδε γραμματικοί·

Μεθόδιος.	Χοῖος.
Ὧρος.	Ἀσκαλωνίτης.
Ζηνόβιος.	Εὔλογος σχολαστικός.
Ἀρίσταρχος.	Δίδυμος.
Χοιροβοσκός.	Θεόγνωστος.
Ἰωάννης Χάραξ.	Φίλων.
Φιλόξενος.	Ἡρωδιανός.
Παυσανίας.	Πορφύριος.
Ἀθήναιος δειπνοσοφιστής.	Θεοδόσιος.
Τρύφων.	Τεχνικὸς Γεώργιος.
Ζηνόδοτος.	Ὠρίων.
Ἡρακλείδης.	Σιδόνιος Διονύσιος.
Ἀπολλώνιος.	Βησαντῖνος.
Σέλευκος.	Ἀλκμαῖος.
Ἄμβρων.	Ἀριστόνικος.
Αἴλιος Διονύσιος.	Ῥωμανός.

Τυραννίων.


image
not
available

τασκευάζων οὕτως ὅτι ὑφ ἐστὶ ζῶον ἐσθίον τὰ ξύλα, καὶ κλίνεται ἰπός. ἐκ τούτου γίνεται ῥῆμα ἰάπτω, ἐξ οὗ ὄνομα ῥηματικὸν ἰάπτους, καὶ κατὰ στέρησιν ἀϊάπτους, καὶ κατ' ἔλλειψιν τοῦ ῑ ἀάπτους. τὸ δὲ, καθαπτοὺς ἐν πεύκῃσι Παρνασοῦ, ὡς Εὐριπίδης, ἐκ τοῦ καθάπτω γέγονε καθαπτός. οὕτω Φίλων.

Ἀβάκησαν. ἀντὶ τοῦ ἠγνόησαν. ἔστι δὲ ἡ λέξις ῥητορικὴ, οἷον,

Τρώων κατέδυ πόλιν, οἱ δ' ἀβάκησαν,

ἀντὶ τοῦ ἠγνόησαν. σημαίνει δὲ καὶ τὸ ἠσυνέτησαν. παρ' ἄλλοις δὲ τὸ ἠσύχασαν. ἔστι βάζω τὸ λέγω, ὅπερ ἀπὸ τοῦ βοάζω κατὰ συγκοπὴν γίνεται. οἷον, εὖ μὲν βάζουσι, τούτου ὁ παθητικὸς παρακείμενος βέβακται. οἷον, ἔπος δ' εἶπερ τι βέβακται. καὶ ὥσπερ παρὰ τὸ φυλάσσω πεφύλακται, φυλακτὸς, φυλακτέω φυλακτῶ, καὶ τέτακται τακτὸς, ἐξ οὗ καὶ τὸ ἄτακτος ἀτακτέω ἀτακτῶ, οὕτως παρὰ τὸ βέβακται ἀβακτὸς, ἀβακτέω ἀβακτῶ, καὶ ἀφαιρέσει τοῦ τ ἀβακῶ. ὅθεν τὸ ἀβακῆσαι. σημαίνει δὲ τὸ ἀγνοῆσαι. οἱ γὰρ ἀγνοοῦντες οὐκ ἔχουσιν ὅ τι λέγωσιν. ἔστιν οὖν τὸ τοιοῦτον, ὅτι ἄφωνοι δι' ἄγνοιαν ἐγένοντο.

Ἀβέλτερος. ἀνόητος, ὁ τὸ βέλτιον μὴ γινώσκων. γίνεται δὲ ἐκ τοῦ βέλτερος, καὶ μετὰ τοῦ στερητικοῦ ἀ ἀβέλτερος, ἀβελτερία καὶ ἀβελτηρία τὸ θηλυκόν. τὸ βέλτερος ἀπὸ τοῦ βάλλω τύπου συγκριτικοῦ, οὐχὶ δὲ συγκριτικόν. ὥσπερ γὰρ παρὰ τὸ φέρω φέρτερος, οὕτω παρὰ τὸ βάλλω βέλτερος.

Ἀβλῆτα. καινὸν, ἢ τὸν κακόβλητον, παρὰ τὸ βέβληται. ἢ τὸν καινὸν καὶ μήπω βεβλημένον, ἀλλὰ νεοπαγῆ καὶ ἀκέραιον τὸν ἰὸν ἐν αὐτῷ ἔχοντα. κλίνεται δὲ διὰ τοῦ τος, οἷον ἀβλὴς ἀβλῆτος. τὰ γὰρ εἰς ς λήγοντα ὀξύτονα σύνθετα καὶ ἀπὸ ῥημάτων γινόμενα μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου διὰ καθαροῦ τοῦ τος κλίνονται, εἴτε εἰς ως εἰσὶν, εἴτε εἰς ης, εἴτε εἰς ας. οἷον κέκραται

χαλκοκρὰς χαλκοκράτος, ὁ χαλκῷ κεκραμένος, νεοκρὰς νεοκράτος, ὁ νεωστὶ κεκραμένος, βέβληται ἀβλὴς ἀβλῆτος, τέτρωται ἀτρὼς ἀτρῶτος, ὁ μὴ τρωθείς.

Ἀβροτάζομεν. κυρίως ἐπὶ τῶν τοξοτῶν τὸ βροτοῦ ἀποτυχεῖν, ὡς ἐν πολέμῳ. λέγεται δὲ καὶ τὸ ἁπλῶς ἀποτυχεῖν, ἥμβροτες οὐδ' ἔτυχες. τὸ θέμα ἀβροτάζω, ὁ μέλλων ἀβροτάξω καὶ τὰ λοιπὰ δῆλα.

Ἀγαίεται. βασκαίνει, ὀργίζεται, χολοῦται. τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ φθόνου πολλάκις καὶ ἐπὶ τοῦ θαυμάζειν.

Ἀγαπῴην. ῥῆμα εὐκτικὸν ἐκ τοῦ ἀγαπῶ, ἀγαπάων ἀγαπῶν, ἀγαπάοντος ἀγαπῶντος, ἀγαπάοιμι ἀγαπῷμι, ἀγαπάοι ἀγαπῷ. καὶ οἱ Ἴωνες ἐν τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν εἰώθασι προστιθέναι τὸ η, καὶ ἀναλόγως πάλιν τὸ πρῶτον γίνεται ἀγαπῴην. κανὼν γάρ ἐστιν ὁ λέγων, κᾶν τρίτον πρόσωπον εἰς η λῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ πρῶτον.

Ἀγασάμενοι. θαυμάσαντες, παρὰ τὸ ἀγάζω2a τὸ θαυμάζω.

Ἀγηγέρατο. συνηθροισμένοι ἦσαν. ἐκ τοῦ ἀγείρω ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος ἤγερκα, ὁ παθητικὸς ἤγερμαι, τὸ τρίτον ἤγερται, καὶ ἀττικῶς ἀγήγερται, καὶ ἰωνικῇ προσόδῳ τοῦ α ἀγηγέρατα, ὡς ἐσπάραται. ἰστέον δὲ ὅτι καὶ τὸ ρ στοιχεῖον ἓν ἐστι τῶν ἀμεταβόλων. λέγει δὲ ὁ κανὼν, ὅτι εἰ τρίτον τῶν ἑνικῶν ἔχει πρὸ τοῦ τ ψιλὸν, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ πριοῦσιν οἱ Ἴωνες τὸ τρίτον τῶν πληθυντικῶν, καὶ εἰ φήσειέ τις διὰ τὸν κανόνα μὴ δύνασθαι ἀγηγέρατο γενέσθαι, οὐ γάρ ἐστι πρὸ τοῦ τ ρ ψιλὸν, μανθανέτω ὡς κανών ἐστιν ὁ λέγων, ρ μετὰ τῶν δασέων δασύ ἐστι, καὶ μετὰ τῶν ψιλῶν ψιλόν. εἰκότως οὖν ἀγηγέρατο γέγονεν ὡς ἐσπάρατο. ἐδείχθη γὰρ τὸ ρ ψιλόν.

Ἄγη. σημαίνει τὴν ἔκπληξιν καὶ τὸ θαῦμα. γέγονε δὲ παρὰ τὸ ἄζω ἢ ἀγῶ τὸ θαυμάζω. οἱ γὰρ ἐκ-

πληττόμενοι εἰς τὸ ὑπερέχον ἄρονται. ἔστι δὲ ἄκλιτον, ἐπειδὴ τὰ εἰς γη ἰαμβικὰ οὐδέποτε ἀπὸ φωνήεντος ἄρχονται, οἷον στέγη, τεγὴ, φυγή. προσκειται ἰαμβικὰ διὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἀπόκλασιν τοῦ κύματος. τοῦτο γὰρ ἀπὸ φωνήεντος ἄρχεται. οὐ γάρ ἐστιν ἰαμβικὸν, ἀλλὰ σπουδειακόν. τὸ γὰρ ᾱ μακρὸν ἔχει. ἐπεὶ οὖν τὸ ἄγη εἰς γη ἐστὶ σπουδειακὸν καὶ ἀπὸ φωνήεντος ἄρχεται, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἄκλιτον ἔμεινεν.

Ἀγηλάτῳ, εἰ μὲν δασέως, τῷ τοὺς εὐσεβεῖς ἐλαύνοντι· ἐὰν ψιλῶς, τῷ ἄγαν ἐλαυνομένῳ. λέγει δὲ τῷ κεραυνῷ.

Ἀγήοχα. παρὰ τὸ ἄγω ἄξω ἦχα, καὶ τὸ ἀττικὸν ἄγηχα, καὶ ἐν πλεονασμῷ τοῦ ο ἀγήοχα.

Ἀγοράασθαι ἐκ τοῦ ἀγορῶ, καὶ περισπᾶται. τὰ γὰρ εἰς ρω λήγοντα ῥήματα τῷ ο παραληγόμενα περισπῶνται, οἷον δημηγορῶ, ἀλληγορῶ, ἐγρηγορῶ, συνηγορῶ, κατηγορῶ, μακρηγορῶ.

Ἄγχι. παρὰ τὸ ἀγχοῦ ἀγχόθι, καὶ κατὰ συγκοπὴν ἄγχι.

Ἄγχειν. παρὰ τὸ ἄγω ἄγειν τὸ τὸν λάρυγγα συνάγειν, καὶ πλεονασμῷ τοῦ χ ἄγχειν. οὕτως Ὡρίων.

Ἀγείρατον. ἀπὸ τοῦ γέρας ἡ τιμὴ ἀγέρατον καὶ ἀγείρατον κατὰ πλεονασμὸν τοῦ ι.

Ἀγειρέθω. ἐκ τοῦ ἀγείρω τὸ συναθροίζω γίνεται ἀγειρέθω, καὶ οὐχὶ ἀγειράθω, ἐπειδὴ τὰ εἰς θω λήγοντα ῥήματα βαρύτονα εἰ μὲν μακρᾷ παραλήγονται, διὰ τοῦ αθω ποιοῦσι τὴν παραλήγουσαν, οἷον κίω κιάθω, εἶκω εἰκάθω, ἀμύνω ἀμυνάθω, εἴργω εἰργάθω· εἰ δὲ βραχείᾳ, διὰ τοῦ εθω, οἷον φλέγω φλεγέθω, νέμω νεμέθω. ὅθεν τὸ ἀγειρέθω καὶ ἀειρέθω γενόμενον κατὰ παραγωγὴν ἀπέβαλε τὸ ι, ἵνα μὴ εὑρεθῇ διὰ τοῦ αθω γενόμενον μακρᾶς οὔσης τῆς παραληγούσης.

Ἄγρει. ἀντὶ τοῦ ἄγε. Ὅμηρος, ἄγρει δή μοι ὄμοσσον.

Ἀγγελλόντων ἀντὶ τοῦ ἀγγελλέτωσαν οἱ Ἀττικοί φασιν, οἱ γὰρ ἐπὶ τῶν προστακτικῶν τῶν ἀπὸ ὁριστικῶν γινομένων τῶν μὴ ἐχόντων τὸ μ̄ κλιτικὸν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον ποιοῦσι τῷ τρίτῳ τῶν δυϊκῶν, τύπτεσθον τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν, λέγετον λεγέτων, ἀντὶ τοῦ λεγέτωσαν. καὶ ὁ θεολόγος Γρηγόριος· ἀλλὰ ταῦτα μὲν παιζόντων Ἑλλήνων παῖδες, ἀντὶ τοῦ παιζέτωσαν.

Ἀγειρόντων. ἀπὸ τοῦ ἀγειρέτωσαν κατὰ συγκοπὴν ἀγειρέτων, ὡς ἀπὸ ἀφαιρεῖσθωσαν ἀφαιρεῖσθων. εἶτα ἐπεὶ τὰ τρίτα τῶν πληθυντικῶν μακρᾷ θέλουσι παραλήγεσθαι, ἀγειρόντων γίνεται προσθήκῃ τοῦ ν̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄. καὶ ἄλλως· Ἀγειρόντων ἀντὶ τοῦ ἀγειρέτωσαν ἤτοι συναθροιζέτωσαν ἀττικῶς, ὡς τὸ τυπτόντων καὶ λεγόντων ἀντὶ τοῦ τυπτέτωσαν καὶ λεγέτωσαν, ὅπερ δοκεῖ μὲν βάρβαρον διὰ τὸ ἀσυμβίβαστον τῆς πληθυντικῆς γενικῆς τῶν μετοχῶν πρὸς τὰ πληθυντικὰ τρίτα προστακτικά. θεραπεύεται δὲ διὰ ἐλλείψεως ὑπαρκτικοῦ ῥήματος τοῦ ἔστωσαν, ἵνα λέγῃ ἔστωσαν τῶν ἀγειρόντων, ἔστωσαν τῶν τυπτόντων, ἔστωσαν τῶν λεγόντων, ἅπερ συναλειφέντα καὶ στενωθέντα ἐλλειπτικῶς ἐγένοντο ἀγειρόντων, τυπτόντων, ἀντὶ τοῦ ἀγειρέτωσαν, τυπτέτωσαν, λεγέτωσαν. σημείωσαι δὲ ὅτι ἐκδηλοτάτη ἡ ῥηθεῖσα λέξις καὶ ἔλλειψις ἐν τῷ μελλόντων τὸ λῴων ἐν φρεσὶν, οὐ πληθυντικῶς λεχθὲν, ἀλλὰ ἑνικῶς ἀντὶ τοῦ ἔστω τῶν μελλόντων, ἤτοι μελλέτω.

Ἀγάλλεσθαι καὶ ἀγλαΐζεσθαι ταυτόν ἐστιν, ἀλλὰ τὸ ἀγλαΐζεσθαι ἐκ τοῦ ἄλλω παράγεται κατὰ παραγωγὴν καὶ ὑπέρθεσιν τοῦ ἀμεταβόλου.

Ἄγημα. παρὰ Μακεδόσι τάγμα ἀπόλεκτον ἱππέων καὶ ὁπλιτῶν. τοῦτο δὲ ἴσως οὐδὲ ἀπὸ τοῦ ἄγειν,

ἀλλὰ διὰ τὸ ἀγητὸν εἶναι. δῆλον δὲ ὅτι ἄγειν λέγεται καὶ τὸ κλᾶν. ὅθεν καὶ ἄγμα τὸ σύντριμμα καὶ κατειργασμένον ἔριον τὸ παρὰ Σοφοκλεῖ.

Ἀγχίνους διαφέρει ἐχέφρονος, ὡς ἀγχίνοια φρονήσεως. ἡ μὲν γὰρ σκέψις ἐστὶ τοῦ δέοντος ἐν βραχεῖ χρόνῳ ἄγχι νοοῦσα τοῦτ' ἔστιν ἐγγὺς καὶ ἐν ὀλίγῳ χρόνῳ. ἡ δὲ φρόνησις οὐ τοιαύτη, ἀλλ' ἔχει παράτασιν.

Ἀδέκαστος. δίκαιος, παρὰ τὸ δέχω δέδεγμαι δεκαστὸς, καὶ ἀδέκαστος, ὁ μὴ δεχόμενος πρόσωπον ἢ δῶρα.

Ἀδαήμων. ἄπειρος, ἀπὸ τοῦ δαίω τὸ μανθάνω δαῶ δαήσω, δαήμων καὶ ἀδαήμων, κατὰ συστολὴν δὲ τοῦ ῑ, καὶ μετάθεσιν τοῦ τόνου γέγονε τὸ δαίω δαῶ.

Ἀδεῖν. ἀρέσαι, ἀπὸ τοῦ ἄδω τὸ ἀρέσκω ἢ ἤδω, ἤσω, ἄδον ὁ δεύτερος ἀόριστος. ἐξ οὗ καὶ τὸ, ἄδε δ' Ἕκτορι μῦθος. ὁ δεύτερος μέλλων ἀδῶ, καὶ τὸ ἀπαρέμφατον ἀδεῖν.

Ἀδηκότες. κεκμηκότες, δαμασθέντες, ἀδημονοῦντες, τοῦτ' ἔστιν ὑπὸ κόπου ἀηδῶς διακείμενοι. ἀηδῶ οὖν ἀηδήσω συγκοπῇ τοῦ ᾱ ἀδήσω, ἤδηκα, ἡ μετοχὴ ὁ ἀδηκώς.

Ἀδήωτον. ἀπόρθητον, παρὰ τὸ δηῶ τὸ σημαῖνον τὸ πορθῶ. τοῦτο παρὰ τὸ δαίω τὸ κόπτω, τροπῇ τοῦ ᾱ εἰς ᾱ μετὰ περισπωμένης δηῶ, τοῦ ῑ ἀνεκφωνηθέντος.

Ἀδραστεϊδῶν. Ἄδραστος, Ἀδραστίδης, Ἀδραστιδῶν, καὶ πλεονασμῷ τοῦ ε Ἀδραστεϊδῶν. οἷον, Ἀδραστεϊδῶν θάλος. οὕτως ὁ Ἡρωδιανὸς περὶ παθητικῶν.

Ἄδοι, ἀντὶ τοῦ ἀρέσκοι, ἔοικεν ἰωνικὸς δεύτερος ἀόριστος εἶναι τοῦ ἤδω. διὸ συστέλλει μὲν ὡς δεύτερος ἀόριστος τὴν παραλήγουσαν, ψιλοῦται δὲ ἰωνικῶς.

Ἀεθλεύειν. ἀγωνίζεσθαι, ἀπὸ τοῦ ἆεθλον, ὅπερ ἀπὸ τοῦ ἄθλον. τοῦτο παρὰ τὸ τλῶ τὸ καρτερῶ, τλὸν καὶ ἄτλον, καὶ τροπῇ τοῦ τ εἰς θ ἄθλον. τὸ δὲ ἆεθλος ἀρσενικῶς μὲν λεγόμενον σημαίνει τὸν τόπον· δηλονότι δὲ καὶ τὸ ἀγώνισμα· οὗτος μὲν δὴ ἆεθλος ἄατος· οὐδετέρως δὲ τὸ ἐπὶ ἀγῶνος διδόμενον·

νηῶν δ' ἔφερ' ἆεθλα λέβητάς τε τρίποδάς τε.

Ἄησι. παρὰ τὸ ἄω τὸ πνέω παράγωγον εἰς μι ἄημι, οὗ τὸ τρίτον ἄησι, καὶ τὸ δυϊκὸν ἄετον, ἄετον, καὶ τὸ κατ' ἐπίτασιν ἄητον. τὸ γ τῶν πληθυντικῶν ἄεισιν αἰολικώτερον ἐχρῆν ἀεῖσιν εἶναι, ὥσπερ ἰεῖσιν· ἄλλοτε δ' ἄλλη ἀεῖσιν. οὕτω Φίλων ἱστορεῖ αὐτό.

Ἀειρόμενος. ἐκ τοῦ ἀείρω. τοῦτο παρὰ τὸ αἴρω. ἢ παρὰ τὸ ἀὴρ ἀέρος, ἀέρος, ἀέρω, καὶ πλεονασμῷ τοῦ ι ἀείρω.

Ἀελπτέοντες. ἀνελπιστοῦντες, οὐκ ἐλπίζοντες. ἀπὸ τοῦ ἔλπω, ἔλπτω, ἀέλπτω.

Ἀέντες. ἔστιν ἀῶ περισπώμενον. ὅτι δὲ ἐστι περισπώμενον, δῆλον ἐκ τοῦ ἄησις καὶ ἄημι. καὶ οἱ Αἰολεῖς τὴν ἀῶν μετοχὴν, καθὰ ποιῶν καὶ φιλῶν, ἀεὶς λέγουσιν ὡς φιλεὶς καὶ ποιεὶς, καὶ πληθυντικὴ εὐθεῖα ἀέντες, ἡ γενικὴ ἀέντων, ὡς ποιέντων. οἷον, καὶ ἀνέμων μένος ὑγρὸν ἀέντων. εἰ δὲ ἦν βαρύτονον, ἄεντες ἂν ἐῤῥέθη· πνοιῇσι διασκιδνᾶσιν ἀέντες.

Ἀέξει. αὔξει, ἀπὸ τοῦ ἔχω τοῦ σημαίνοντος τὸ ἐλαύνω, ὁ μέλλων ἕξω καὶ ἀέξω, ὡς τὸ,

ἀνδρὶ δὲ κεκμηότι μένος μέγα οἶνος ἀέξει.

Ἄρθεν. ἀείρω ἀερῶ, ἀέρκα ἄρμαι, ὁ ἀόριστος ἀέρθην. τῶν πληθυντικῶν τὸ πρῶτον ἀέρθημεν, καὶ ἐκβολῇ τοῦ η καὶ μ μετάγεται εἰς τρίτον τῶν πλη-

θυντικῶν ἀντὶ τοῦ ἀέρθησαν, ὡς τὸ ἐκοσμήθημεν, καὶ ἰωνικῶς κοσμήθημεν, κόσμηθεν, ἀντὶ τοῦ ἐκοσμήθησαν, ὡς τὸ,

αὐτὰρ ἐπεὶ κόσμηθεν Ἀχαιοί.

4a Ἀεικίσωσιν. ὡς εὐγενὴς εὐγενίζω, οὕτως ἀεικὴς ἀεικίζω, ὅπερ ἀπὸ τοῦ εἴκω, ἢ παρὰ τὸ αἰκίζω ἀεικίζω κατὰ πλεονασμὸν τοῦ ε.

Ἀέκητι. ἀεκάζω, οὗ ἡ μετοχὴ, πόλλ' ἀεκαζομένη. ἐξ αὐτοῦ τὸ ἐπίῤῥημα ἀεκαστι, ὡς δωρίζω
10δωριστὶ, καὶ κατὰ ἀποβολὴν τοῦ σ ἀεκατι, καὶ τροπῇ ἰωνικῇ καὶ ἀναβιβάσει τοῦ τόνου ἀέκητι. αἱ γὰρ ἀποβολαὶ πολλάκις ἀναβιβάζουσι καὶ τοὺς τόνους.

Ἄελλα, ἀπὸ τοῦ ἄειν τὸ πνέειν καὶ τοῦ εἰλεῖν τὸ συστρέφειν, δηλοῖ τὴν ἀνεμοζάλην.

15 Ἀελπέα. ἡ ὀρθὴ ἀελπής. καὶ ἔστι σημειῶδες, εἴ γε τὸ μὲν ἁπλοῦν ἐλπὶς ἐλπίδος, τὸ δὲ σύνθετον ἀελπὴς ἀελπέος. ἔστι δὲ περὶ αὐτοῦ εἰπεῖν, ὅτι ἐκ μὲν τοῦ ἐλπὶς ὁ εὔελπις γίνεται καὶ ὁ δύσελπις, ἐκ δὲ τοῦ ἔλπω ῥήματος ὁ ἀέλπτὸς καὶ ὁ ἀελπὴς, ὡς καὶ
20ἐκ τοῦ τέρπω ἡ παρ' Ὁμήρῳ ἄτερπος οἰξύς, καὶ ὁ ἀτερπὴς χῶρος.

Ἄη. ὥσπερ παρὰ τὸ φιλῶ γίνεται ἐφίλει διὰ τῆς ει διφθόγγου, κατὰ δὲ Αἰολεῖς ἐφίλη διὰ τοῦ η, οὕτως καὶ παρὰ τὸ ἄω ἄει, καὶ κατὰ Αἰολεῖς ἄη· μῆνα
25δὲ πάντα ἄληκτος ἄη νότος.

Ἄη. ὁ βαθὺς δὲ Ἡρακλείδης οὕτω βούλεται, ἵνα ὥσπερ ἐκ τοῦ φιλῶ φίλημι αἰολικῶς, οὕτως εἴη καὶ ἀπὸ τοῦ ἀῶ ἄημι, καὶ ἀκολούθως ὡς φίλη τρίτον ἑνικὸν καὶ δυϊκὸν ἐξ αὐτοῦ φίλητον, οὕτω καὶ ἄη
30ἄητον. συλλαλεῖ δὲ τῇ εἰρημένῃ διὰ τοῦ η γραφῇ καὶ ὁ ἀήτης, ὃς δηλοῖ ἄνεμον, περὶ οὗ λέγει Ἡρακλείδης τοιαῦτα· πεποίηται ὁ ἀήτης ὡς ἀπὸ περισπωμένου τοῦ ἀῶ, ἀήσω, διὸ ἡμάρτηται κατὰ τόνον. τὰ γὰρ τοῖς εἰς ω περισπωμένοις ῥήμασι παρασχηματι-

ξόμενα εἰς τῆς ἀρσενικὰ τῷ ῆ παραληγόμενα ὀξύνονται, οἷον ποιῶ, ποιήσω, ποιητής. ὁμοίως ἠχητὴς, μιμητής. οὐκοῦν καὶ τὸ ἀῶ ἀήσω τοιοῦτον γεννᾷ, ὁ δὲ ἀήτης οὐχ οὕτως, ἀλλὰ βαρύνεται. λέγει δὲ τοιοῦτον ἁμάρτημα εἶναι καὶ ἐν τῷ χηρωσταί. τοῦ γὰρ ῥήμα-5 τος ὄντος περισπωμένου χηρῶ τοὔνομα οὐκ ὀξυτονεῖται, ἅμα δὲ τοῦτο καὶ περισσὸν ἔχει τὸ σ. καὶ σημείωσαι τὸ τοιοῦτον καινὸν παραδοθὲν ὑπὸ τοῦ Ἡρακλείδου. ἡ γὰρ Ἰλιὰς διορθωθεῖσα ὡς ἔοικεν ὕστερον4b οὐ γράφει χηρῶσται προπερισπωμένως, ἀλλ' ὀξύνει,10 οἷον, χηρωσταὶ δὲ διὰ κτῆσιν δατέονται. περὶ δὲ τοῦ εἴτε βαρυτόνως ἄω, εἴτε περισπωμένως ἀῶ προδεδήλωται ἐν τῷ, νᾶον δ' ὁρῶ ἄγγεα πάντα. καὶ οὕτω μὲν ταῦτα.

Ἀήδιζον. ἰστέον ὅτι τὰ ἀπὸ φωνήεντος ἀρχό-15 μενα ῥήματα χρονικῶς αὐξάνονται ἐν τῷ παρατατικῷ, οἷον ἄγω ἦγον, αἴρω ἦρον, αἰτῶ ἤτουν. δεῖ δὲ προσθῆναι χωρὶς τῶν ἰωνικῶν καὶ τῶν ποιητικῶν· οἱ γὰρ ποιηταὶ καὶ οἱ Ἴωνες συνερχομένους πολλάκις ποιοῦσι τοὺς παρωχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, οἷον20 ἄγω ἄγεν, ἄγε δέ ἑ μοῖρα βαρεῖα, καὶ, ἅψατο δ' ἡμιόνων, ἀντὶ τοῦ ἥψατο· καὶ χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, οἷον ἀναγινώσκω ἀνεγίνωσκον, καὶ ἀνέρχομαι ἀνηρχόμην. ἐπὶ τούτων γὰρ ἡ ἀρχὴ τοῦ ἐνεστῶτος ἐφυλάχθη καὶ ἐν τῷ παρατατικῷ·25 καὶ χωρὶς τοῦ ἀηθέσσω ἀήθεσσον· ἀηθέσσω δέ ἐστι τὸ ἀήθης ὑπάρχω· καὶ χωρὶς τῶν ἐν τῇ συνηθείᾳ λεγομένων, ἀηδίζομαι ἀηδιζόμην. λέγεται δὲ ὅτι καὶ τὸ ἀΐω τὸ ἀκούω, ὡς παρὰ τῷ ποιητῇ, οἷον, οὐκ ἀΐεις. καὶ τὸ ἄω τὸ πνέω οὐ τρέπει τὸ ᾱ εἰς ῃ ἐν τῷ πα-30 ρατατικῷ. καὶ ἐπὶ μὲν τοῦ ἀΐω διὰ τοῦτο οὐ τρέπεται τὸ ᾱ εἰς ῃ, ἵνα μὴ συνεμπέσῃ τῷ ἦα τῷ γινομένῳ ἀπὸ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω. τὸ δὲ ἀηθέσσω καὶ ἀηδίζομαι, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ ῃ. ἰστέον ὅτι ἡ ευ δίφθογγος ὡς μὴ ἔχουσα γνή-35 σιον μέγεθος· τὸ γὰρ υ οὐκ ἔστι γνήσιον μέγεθος τοῦ

ε̄, ἀλλὰ το ῑ· τὸ γὰρ ῡ̄ ἔστιν ἴδιον τοῦ ο̄· ὀφείλει τρέπειν τὸ ε̄ εἰς η̄, ὡς ἐν παρατατικῷ. ἠυφράνθην γὰρ λέγουσι καὶ ἠυχόμην, ἀλλ' ἐπεκράτησε κατὰ κοινὴν διάλεκτον ἡ ευ διφθογγος μὴ τρέπεσθαι, εὐφραι-5νόμην, εὐχόμην, εὐχαρίστουν, καὶ ἴσως χάριν εὐφωνίας. ἰστέον δὲ ὅτι τοῖς παρατατικοῖς ἐπὶ τῶν ἀπὸ προθέσεως ἀρχομένων ἔστιν ὅτε ἔξωθεν γίνεται ἡ κλίσις, οἷον ἀντιδικῶ ἠντιδίκουν, ἐδιακόνουν δεδιακόνηκα, ἠντιβόλουν, ἠμφιεννύμην, ἠμφιεζόμην. ἔστι δὲ 5aὅτε καὶ ἔξω καὶ ἐντὸς γίνεται ἡ κλίσις, ἐνοχλῶ ἠνώχλουν, ἠνώρθουν, ἐπαρῄνουν, ἠνειχόμην.

Ἄῆναι. τὸ θέμα οὐκ εὔχρηστον. ἀαίνω γὰρ ὡς τὸ φοραίνω καὶ ὑδραίνω καὶ τὰ τοιαῦτα.

Ἀθήνῃσι, Θήβῃσι ἔχουσι τὸ ῑ προσγεγραμμέ-15νον. ἔστι γὰρ ἡ δοτικὴ τῶν πληθυντικῶν Ἀθήναις καὶ Θήβαις καὶ κατ' ἐπέντεσιν γίνεται Ἀθήναισι καὶ Θήβαισι, καὶ κατὰ τροπὴν ἰωνικὴν ᾱ εἰς η̄ Ἀθήνῃσι καὶ Θήβῃσι, καὶ μένει τὸ ῑ προσγεγραμμένον.

Ἀθρεῖν. τὸ μετ' ἐπιτάσεως θεωρεῖν. θεωρῶ γὰρ 20κατὰ συγκοπὴν καὶ ἐπίτασιν ἀθρῶ. ἢ ἀπὸ τοῦ δρῶ τὸ βλέπω καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀδρῶ καὶ τροπῇ τοῦ δ̄ εἰς θ̄ ἀθρῶ.

Ἀθροίζω. ἐκ τοῦ θροῦς ἢ θρόος, ὃ σημαίνει τὸν θόρυβον, γίνεται θροίζω καὶ κατὰ συναίρεσιν καὶ 25μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀθροίζω.

Ἄθως. ὥσπερ ἀπὸ τοῦ ζῶ ζωὴ χωρὶς τοῦ ῑ καὶ ἀπὸ τοῦ ἴω ἰωὴ, σημαίνει δὲ τὴν ἐκπεμπομένην φωνὴν, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ θῶ τοῦ σημαίνοντος τὸ καταβάλλω γίνεται θωή. ὁ γὰρ ζημιού-30μενος καταβάλλει. οὐκ ὀφείλει ἔχειν τὸ ῑ. παραλόγως γὰρ ἔχει αὐτὸ, ἐπειδὴ εὕρηται θωϊὴ ὡς παρὰ Ἀρχιλόχῳ. τούτου χάριν τὸ ἄθως ἀπὸ τοῦ θωϊὴ γινόμενον ἔχει τὸ ῑ. ὤφειλε δὲ προπαροξυτόνως, ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς η̄ θηλυκὰ εἰς ος̄ γινόμενα ὀνό-35ματα σύνθετα προπαροξύνονται, χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσει, οἷον κεφαλὴ ἀκέφαλος, ψυχὴ ἄψυχος,

ὀδμὴ εὔοδμος, σοφία ἄσοφος. οὕτως οὖν καὶ ἐκ τοῦ θωϊὴ γεγονὼς ὁ ἄθωος ὤφειλε προπαροξύνεσθαι. πρόσκειται ἐν τῷ κανόνι εἰ μὴ χαρακτὴρ κωλύσει διὰ τὸ κάρη ἀκαρός. ὀξύτονον γὰρ ὁμοίως τῷ μαδαρός. προπερισπᾶται δὲ τὸ ἀθῶος διὰ τὸν χαρακτῆρα τοῦτον. τὰ διὰ τοῦ ῳος ἔχοντα τὸ ῑ ὑπὲρ δύο συλλαβὰς προπερισπῶνται χωρὶς τοῦ κολῳὸς, ὃ σημαίνει τὸν θόρυβον. οἷον πατρῷος ἀχελῷος, αἰδῷος, ἠῶος. οὕτως οὖν καὶ ἀθῷος. πρόσκειται ἔχοντα τὸ ῑ διὰ τὸ λαγωὸς καὶ πατρωός. σημαίνει δὲ τὸν ἐν τῇ συνηθείᾳ λεγόμενον πατροιόν. ταῦτα γὰρ ὀξύνονται, ὅτι γράφεται σὺν τῷ ῑ. πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ κλωός. σημαίνει δὲ τὰ σίδηρα ἃ φοροῦσιν οἱ κατάδικοι, ἅπερ ἐν τῇ συνηθείᾳ κλοιὰ λέγεται. οὕτως ὁ Χοῖος.

Ἀθέριζον. ἀπὸ μεταφορᾶς τῶν ἀθέρων τῶν μὴ δυναμένων θερίζεσθαι καρπῶν. οἱ γὰρ λικμῶντες ἐκρίπτουσι τοὺς ἀθέρας τοῦτ' ἔστι τὰ ἄχυρα. ἐκ τοῦ θέρος θερίζω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀθερίζω· οὔποτ' ἔμοιγ' ἀθέριζον, ἀντὶ τοῦ ἀπερρίπτον. τὸ δὲ θέρος παρὰ τὸ θέρω τὸ θερμαίνω, οὗ ὁ μέλλων θερῶ, καὶ θέρσω αἰολικῶς. ἰστέον δὲ ὅτι οἱ Αἰολεῖς ἐπὶ τῆς εἰς ρω ληγούσης πέμπτης συζυγίας τῶν βαρυτόνων ποιοῦσιν ἰδίους μέλλοντας προσῴδῳ τοῦ σ καὶ ἀναβιβάσει τοῦ τόνου, οἷον σπείρω σπερῶ σπέρσω, κείρω κερῶ κέρσω, ὄρω τὸ διεγείρω ὀρῶ ὄρσω, ὅθεν τὸ ὦρτο, θέρω θερῶ θέρσω.

Αἰδέσσεται, αἰδεσθῇ, ἀπὸ τοῦ αἰδέω αἰδῶ αἰδέομαι, ὡς τὸ, αἰδέομαι Τρῶας, καὶ, ὡς μέν τ' αἰδέσσεται. ὁ μέλλων αἰδέσω, ὁ μέσος μέλλων πρῶτος αἰδέσομαι καὶ αἰδέσεται, καὶ πλεονασμῷ τοῦ ἑτέρου σ αἰολικῶς αἰδέσσεται. οἱ γὰρ Αἰολεῖς διπλασιάζουσι τὰ σύμφωνα, οἷον, ὁππότε κέ σφε ὀΐζὺς ἔχει κρυεροῖο λιμοῖο, καὶ τόσον τόσσον.

Αἴθω. τὸ καίω, παρὰ τὸ δαίω τὸ καίω, ὑπερβιβασμῷ αἴδω καὶ τροπῇ τοῦ δ εἰς θ αἴθω. ἀφ' οὗ αἴθος ὁ μέγας ἢ μέλας. καὶ αἴθων ἀνδρεῖος καὶ πολεμικός.

Αἰολοπώλους. ταχυπώλους, ἢ ποικίλως ἱππαζομένους. γίνεται δὲ ἐκ τοῦ αἰόλλω, ὃ σημαίνει τὸ κινῶ, καὶ τοῦ πῶλος. τοῦτο παρὰ τὸ ἐν τῇ πόᾳ ἄλλεσθαι πόλλος καὶ πῶλος. καὶ προπερισπᾶται, ἐπειδὴ τὰ εἰς ος δισύλλαβα προπερισπῶνται, ἐν δὲ τῇ συνθέσει προπαροξύνονται, οἷον οἶκος ἄοικος, κοῦρος ἐπίκουρος. οὕτω καὶ πῶλος αἰολόπωλος.

Αἴρας. ὡς εἶδον τὸν νέκυν ἀείραντας Ἀχαιούς. ἔστιν ἀείρω, ὁ μέλλων ἀερῶ, ὁ ἀόριστος ἤειρα, ἡ μετοχὴ ὁ ἀείρας καὶ κράσει τοῦ ᾱ καὶ ε εἰς ᾱ μακρὸν ἄρας. καὶ μένει τὸ ῑ μὴ ἐκφωνούμενον διὰ τὸ μέγεθος τοῦ ᾱ.

Αἰρεύμενον. λαμβάνοντα, αἴροντα. Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις περὶ τῆς ἐργασίας προτρέπων·

ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια, καί σε ἔολπα
γηθήσειν βιότοιο ἐρεύμενον ἔνδον ἐόντος.

παρὰ τὸ αἰρῶ, ὃ σημαίνει τὸ λαμβάνω. αἰρῶ οὖν, αἰροῦμαι, αἰρούμενον, καὶ τροπῇ δωρικῇ αἰρεύμενος. τοσαῦτα γάρ φησι ποιήσεις γεννήματα ὥστε μὴ εὑρεθῆναι ἐν τοῖς ἀγγείοις σου ἀράχνια. ὅλα γὰρ πληρώσειας. τὰ γὰρ ἀράχνια ἐν τόποις γίνονται κούφοις.

Αἱρήσειν. ἀπὸ τοῦ ἁλῶ τὸ πορθῶ πλεονασμῷ τοῦ ῑ καὶ τροπῇ τοῦ ἀμεταβόλου αἱρῶ, ὁ μέλλων αἱρήσω, καὶ τὸ ἀπαρέμφατον αἱρήσειν. συντάσσεται αἰτιατικῇ καὶ σημαίνει τὸ διαχωρίζω, ἐξ οὗ τὸ διαιρῶ, συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς, αἱρῶ τὸ καταλαμβάνω. ἔστι καὶ ἄρω τὸ κουφίζω, καὶ αἴρω τὸ προσφέρω, ἐξ οὗ καὶ ἄρτος.

Αἰχμάλωτος. παρὰ τὴν αἰχμὴν, τοῦτ' ἔστι τὸ ξίφος, καὶ τοῦ ἁλῶ τὸ πορθῶ, ἢ ἅλωμι. τὸ δὲ αἰχμὴ παρὰ τὸ ἀΐσσω, ὡς δράσσω δραχμὴ, τὸ λεπτὸν νόμισμα.

Ἀϊστῶσαι. ἀπὸ τοῦ ἀϊστῶ τοῦ σημαίνοντος τὸ ἀφανίζω. τοῦτο παρὰ τὸ ἰστῶ. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀϊστῶ, καὶ ἀϊστῶσαι, καὶ ἀϊστώσειαν, ὥσπερ τύψειαν. τὰ γὰρ μὴ ἱστάμενα ἀφανῆ εἰσιν.

Ἄϊσθων. ἐκ τοῦ ἀΐω ὁ μέλλων ἀΐσω καὶ πλεονασμῷ τοῦ θ ἀΐσθω, ἡ μετοχὴ ἀΐσθων, καὶ κατὰ συναίρεσιν αἴσθων. καὶ μετάγεται εἰς ἐνεστῶτα τὸ ἀΐσθω.

Ἄϊστος. ἄγνωστος καὶ ἀφανής. καὶ εἰ μὲν σημαίνει τὸν ἀφανῆ, ἔστιν ἀπὸ τοῦ εἶδω τὸ βλέπω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἶσμαι, καὶ ἐκ τοῦ τρίτου προσώπου ἵστος καὶ ἄϊστος· εἰ δὲ ἄγνωστον, ἀπὸ τοῦ εἶδω τὸ γινώσκω.

Αἶ σημαίνει τὸ εἶθε, οἷον,

αἶ γὰρ δὴ οὕτως εἶη φίλος ὧ Μενέλαε.

ἰστέον ὅτι τὸ αἶ ἐκ τοῦ εἰ γέγονεν εὐκτικοῦ ἐπιῤῥήματος, τραπέντος τοῦ ῑ εἰς α. ἔστι γὰρ εἶ, ὃ σημαίνει τὸ εἶθε, οἷον,

οὗτος ὁ πατὴρ τοῦ παιδὸς, εἶ γὰρ ὤφειλεν,

ἀντὶ τοῦ εἶθε. καὶ πάλιν,

εἶ μοι γένοιτο φθόγγος ἐν βραχίοσι
καὶ χερσὶ καὶ κόμησι καὶ ποδῶν βάσει.

ἀντὶ τοῦ εἶθε. καὶ πάλιν,

εἶ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα.

Αἰδοῖος. ἀπὸ τοῦ αἰδὼς γίνεται αἰδῷος καὶ κατὰ τὴν τροπὴν βοιωτικὴν τῆς ῳ διφθόγγου εἰς τὴν οι διφθογγον αἰδοῖος καὶ ἠοῖος ἔχει τὸ ῑ. τὰ γὰρ ἀπὸ τῶν εἰς ως παράγωγα σὺν τῷ ῑ γράφεται καὶ προπερισπῶνται, Μίνως Μινῷος, ἥρως ἡρῷος, πάτρως πατρῷος, ἠὼς ἠῷος, καὶ αἰδὼς αἰδῷος, καὶ κατὰ τροπὴν βοιωτικὴν τῆς ῳ διφθόγγου εἰς τὴν οι διφθογγον αἰδοῖος, ἠοῖος. οὕτως ὁ Χοιροβοσκός.

Αἰδοιέστατον. ἰστέον ὅτι τὸ ἀρχέστατον, ὡς παρ' Αἰσχύλῳ ἐν τῇ Πηνελόπῃ, οἷον,

ἐγὼ γένος μὲν εἰμὶ μικρῆς ἀρχέστατον,

καὶ τὸ αἰδοιέστατον, καὶ ἀφθονέστατον, ποιητικόν ἐστι κατ' ἔθος γινόμενον Ἰώνων. τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ οὗτοι διὰ τοῦ εσ προσφέρουσιν, οἷον δικαιέστερος, ἀρχέστερος, καὶ ἀφθονέστερος. ὤφειλε γὰρ τὰ τοιαῦτα δικαιότερος, αἰδοιότερος, ἀφθονότερος, καὶ ἀρχαιότερος εἶναι. οὕτως Φιλόξενος.

Αἴνυμαι. τὸ ἀφαιροῦμαι ἢ τὸ λαμβάνω. Ὅμηρος, ὅδ' ἐξαίνυτο καμπύλα τόξα. καὶ αἰνύμενος καὶ ἐπαινύμενος παρὰ τὸ ἄρω ἀρνῶ, ὡς παρὰ τὸ περῶ περνῶ. ἀφ' οὗ, περνὰς νήσων ἐπὶ τηλεδαπάων. ἄννυμι παράγωγον καὶ ἄρνυμαι ἀποβολῇ τοῦ ρ καὶ πλεονασμῷ τοῦ ι αἴνυμαι. οὕτω Μεθόδιος.

Ἄϊδι Σέλευκός φησιν ἀπὸ τῆς ἄϊς εὐθείας. ἀλλὰ τὰ εἰς δος λήγοντα ὀνόματα ἀποβάλλοντα εὑρίσκομεν παρ' Ἴωσι τὸ δ. οἷον μήνιδος μήνιος, Πάριδος Πάριος. τὴν δὲ ἄϊδος γενικὴν οὐδεὶς Ἰώνων ἄϊος εἶπεν. οὐκ ἄρα ἡ εὐθεῖα ἄϊς, ἀλλὰ γέγονεν ἀπὸ τοῦ εἶδω ἴδης, καὶ κατὰ στέρησιν ἄϊδης ὁ ἀγνώστους ποιῶν. ἡ γενικὴ ἄϊδου καὶ δοτικὴ ἄϊδῃ καὶ ἄϊδι, ὥσπερ ἀπὸ τῆς ὑσμίνη δοτικῆς κατὰ μεταπλασμὸν ὑσμίνι, καὶ λητῷ λητί. τὸ δὲ ἀϊδὴς ἐπιθετικὸν ὀξύνεται, οὗ τὸ οὐδέτερον ἀϊδές. οὕτως εὗρον ἐν Ἐπιμερισμοῖς.

Αἰδῶ, ὅτε ἐστὶν εὐθεῖα, ὀξύνεται, ὡς Λητώ, Σαπφώ· ὅτε δέ ἐστιν αἰτιατικὴ, περισπᾶται, οἷον αἰδῶ, Λητῶ.

Αἰδεσθείς. κανόνισον αἰδέξω, ὁ μέλλων αἰδέσω, ὁ παρακείμενος ᾔδεκα, ὁ παθητικὸς ᾔδεσμαι, ὁ ἀόριστος ᾐδέσθην, ἡ μετοχὴ ὁ αἰδεσθείς.

Αἰσθέσθαι. κανόνισον αἰσθῶ, ὁ μέλλων αἰσθήσω, ὁ δεύτερος ἀόριστος ἦσθον, ὁ μέσος ἠσθόμην ἤσθου ἤσθετο, καὶ τὸ ἀπαρέμφατον αἰσθέσθαι.

Αἱρεἰσθωσαν. ἐκ τοῦ αἱρέω αἱρῶ καὶ τὸ παθητικὸν αἱροῦμαι, καὶ ὁ παρατατικὸς ἡρεόμην ἡρούμην, ἡρέου ἡροῦ, καὶ τὸ προστακτικὸν αἱρεέσθω αἱρεἰσθω, αἱρεέσθωσαν αἱρεἰσθωσαν.

Αἵρω ἐνεστὼς, ἐμετεώριζον παρατατικὸς, αἱροῦμαι μέλλων ἀντὶ τοῦ λήψομαι, ἀρθήσομαι δὲ ἀντὶ τοῦ μετεωρισθήσομαι, ἠράμην ἀόριστος ἀντὶ τοῦ ἔλαβον, ἤρθην δὲ ἀντὶ τοῦ ἐμετεωρίσθην. λέγεται καὶ ἐπηρκὼς ἐπὶ τοῦ ἐνεργητικοῦ παρακειμένου, καὶ ἐπηρμένος ἐπὶ τοῦ παθητικοῦ.

Αἱ κέ ποθι. ποῦ καὶ πῆ κοινῶς, τὸ μὲν ἐπὶ στάσεως, τὸ δὲ ἐπὶ κινήσεως, πόθι καὶ πότε ποιητικῶς. λέγεται δὲ τὸ ποῦ ἐνίοτε μὲν ἐπὶ τόπου, ἐνίοτε δὲ ἀντὶ τοῦ ἴσθι. ἔστι δ' ὅτε καὶ περισσῶς κεῖται. ὅτε δὲ ἐπὶ τόπου λέγεται, ἐνίοτε μὲν κατ' ἐρώτησιν προφέρεται, ἐνίοτε δὲ χωρὶς ἐρωτήσεως. ἐπὶ μὲν οὖν τῶν ἄλλων πάντων ἐγκλίνεται, ὅτε δὲ κατ' ἐρώτησιν λέγεται, οὐ δύναται ἐγκλίνεσθαι.

Αἰνίζομαι ὁμοίως παρῆκται τῷ πολεμίζω, προκαλίζω, νεμεσίζω.

Ἄϊστος καὶ ἄπυστος τὸν τελείως ἀφανῆ σημαίνει περὶ οὗ μηδὲν εἴσῃ τις.

Ἀΐω. ἀκούω, καὶ ὁ παρατατικὸς ἄϊον ἄϊεν, ἐπήκουεν.

Ἀκαχίζεο. ἄχθου, λυποῦ, ἀπὸ τοῦ ἄχος ἀχίζω καὶ ἀκαχίζω, ἀκαχίζομαι ἀκαχίζου ἀκαχίζεο.

Ἀκαχείατο ἀπὸ τοῦ ἀκαχῶ, ἀκαχήσω, ἠκάχηκα, ἠκαχήμην, ἰωνικῶς ἀκαχέατο, καὶ πλεονασμῷ τοῦ ι ἀκαχείατο. οὕτω Ζηνόβιος.

Ἀκαχήμενος. ἰστέον ὅτι τὸ ἀκαχήμενος οὐκ ἔστι παρακείμενος, ἐπεὶ ὤφειλε παροξύνεσθαι ὡς τὸ πεποιημένος, ἀλλ' ἔστιν ἀκαχῶ ἀκάχημι, ὁ παθητικὸς ἐνεστὼς ἀκάχημαι, οἱ γὰρ Αἰολεῖς τὴν παραλήγουσαν οὐ συστέλλουσι, καὶ ἡ μετοχὴ ὁ ἀκαχήμενος. ἰστέον ὅτι ἡ τοῦ παρακειμένου μετοχὴ ἀεὶ παροξύνεται, τῶν

ἄλλων ἁπασῶν προπαροξυνομένων, οἷον τυπτόμενος, τυφθησόμενος, δεῖ προσθῆναι χωρὶς εἰ μὴ πάθωσιν, ἐὰν γὰρ πάθωσιν αἱ εἰς μενος μετοχαὶ τοῦ παρακειμένου, οὖσαι ὑπὸ τρίτην συλλαβὴν, ἐπειδὴ ἐὰν ὦσιν ὑπὸ τρίτην συλλαβὴν καὶ πάθωσι, τὸν αὐτὸν τόνον φυλάττουσι ταῖς ἄλλαις μετοχαῖς, οἷον ἀκαχῶ ἀκαχήσω, ἠκάχηκα ἠκάχημαι ἠκαχημένος, καὶ κατὰ πάθος ἠκάχμενος. τὸ γὰρ οὐτάμενος καὶ ἐληλάμενος ὁ Ἡρωδιανὸς οὐ δοξάζει κατὰ πάθος ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλασμένος, ἐπειδὴ ὡς ὄντα ὑπὸ τρίτην συλλαβὴν καὶ πάθωσι, τὸν αὐτὸν τόνον φυλάττειν, ἀλλ' ἀπὸ τῶν εἰς μι λέγει ταῦτα, ἀπὸ οὔτημι καὶ ἐλήλαμι, ἵνα ὦσιν ἐνεστῶτες παθητικοὶ ὡς τὸ ἵστημι, ἵσταμαι, ἱστάμενος.

Ἀκηχέδαται. λυποῦνται. παρὰ νηυσὶν ἀκηχέδαται. παρὰ τὸ ἀχῶ ἀχάζω, ὡς ἀνιῶ ἀνιάζω, ἤχακα, ὁ μέσος παρακείμενος ἤχαδα, ἤχασμαι ἤχασται, καὶ ἰωνικῶς ἠχάδαται, καὶ μετὰ ἀναδιπλασιασμοῦ ἀττικοῦ καὶ τροπῇ τοῦ ᾱ εἰς ε̄ ἀκηχέδαται, ὡς πέφρασται πεφράδαται. ὁ κανών· εἰ μέντοι εἴη τὸ κοινὸν τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου διὰ τοῦ στ βαρυτόνως, τότε τὸ ἰωνικὸν ἔχει πρὸ τοῦ αται, τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου, οἷον πέφρασται πεφράδαται, ὅτι πέφραδα ὁ μέσος παρακείμενος, ἤχασται ἠχάδαται, ὅτι ἤχαδα ὁ μέσος παρακείμενος, καὶ ἀκηχέδαται. οὕτω Μεθόδιος.

Ἀκκίζεσθαι. ἐπὶ τοῖς ὅπλοις ἀκκίζεται, ἔτι τῆς ὕβρεως ἔχεται, ἐπαίρεται, γυναικίζεται, θρύπτεται, ἢ μωραίνει. σημαίνει δὲ καὶ τὸν θέλοντα μὲν, προσποιούμενον δὲ μὴ θέλειν. ἀκκισμοὶ γὰρ προσποιήσεις εἰσὶ καὶ ὑποκρίσεις ἀπὸ Ἄκκοῦς τινος Σαμίας, ἥτις ἱστορεῖται μωροτάτη γενέσθαι, ὡς καὶ τῷ κατόπτρῳ διαλέγεσθαι.

Ἀκέοντο. ἀπὸ τοῦ ἀκῶ τὸ θεραπεύω·

ἱδρῷ ἀπεψύχοντο πίοντο τ' ἀκέοντό τε δίψαν.

καὶ ὄνομα ἀκεστὴς παρὰ τὸ ἄχος ἀχοῦμαι καὶ ἀκοῦμαι, ἵν' ᾖ τὸ ἄχος ἰῶμαι, ἢ παρὰ τὸ ἀκὴν τὸ δι' ὀξυνομένου σιδήρου θεραπεύειν. οὐ γὰρ τὰς δι' ὀξυτάτων ῥαφίδων ἰωμένας τὰς λαβίδας τῶν ἱματίων ἀκέστριάς φασι, καὶ ἀκέστωρ ὁ ἰατρὸς, καὶ ἀκεστορίδης καὶ ἀκεστορικῶς. οὕτω Μεθόδιος.

Ἀκράαντος. ἀτελείωτος, ἀπλήρωτος. κραίνω γὰρ τὸ ἐπιτελῶ, κρανῶ ὁ μέλλων, κέκραγκα ὁ παρακείμενος, κέκραμμαι κέκρανται, κραντὸς καὶ ἀκράαντος. τοῦτο παρὰ τὸ καραίνω καὶ ἐν συγκοπῇ κραίνω, πλεονασμῷ τοῦ ᾱ ποιητικῶς.

Ἄκρητος. ἐκ τοῦ κερῶ τὸ ἐπιχέω, ὁ μέλλων κεράσω, κατὰ συγκοπὴν κράσω. κρητὴρ καὶ κρατήρ. ἐκ δὲ τοῦ κεράσω γίνεται κρατὸς, ἄκρατος καὶ ἄκρητος.

Ἄκρατον. ἔστι ῥῆμα κεράω κερῶ κεράσω ὁ μέλλων κατὰ συγκοπὴν κράσω, ὁ παρακείμενος κέκρακα, ὁ παθητικὸς κέκραμαι κέκρασαι κέκραται. καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κρατὸς, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄκρατος. ἐξ οὗ καὶ κρατὴρ, ἐφ' οὗ ὁ οἶνος κιρνᾶται.

Ἀκτάζων. ἀντὶ τοῦ ἐξανιστάμενος. ἀπὸ τοῦ ἄττω ἀττάζω καὶ τροπῇ τοῦ τ̄ εἰς κ̄ ἀκτάζων, ὡς ἀττικὴ ἀκτικὴ γίνεται παρὰ τὴν ἀκτήν.

Ἀκταίνειν. τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι καὶ γαυριᾶν. παρὰ τὸ ἧκται τρίτον πρόσωπον γίνεται ἀκτὸς, ἀφ' οὗ καὶ ῥῆμα ἀκτῶ, ἀφ' οὗ ἀκταίνω, ἡ μετοχὴ ἀκταίνων, καὶ ἀκταῖνον μένος τὸ ἀνάγον καὶ δυνάμενον ἀνορθοῦν.

Ἀκαχμένον. ἀπὸ τοῦ ἀκὴ γίνεται ἀκάζω τὸ ἀκονῶ, ὁ μέλλων ἀκάσω, ὁ παρακείμενος ἧκακα, ὁ παθητικὸς ἧκασμαι ἠκασμένον καὶ τροπῇ τοῦ σ̄ εἰς χ ἠκαχμένον καὶ κατ' Ἴωνας ἀκαχμένον.

Ἀκευμένον. ἀκῶ τὸ θεραπεύω ἀκέομαι ἀκοῦμαι, ἀκεόμενος ἀκούμενος καὶ κράσει δωρικῇ τοῦ εο εἰς τὴν ευ δίφθογγον ἀκευμένος.

Ἀκερσεκόμης. παρὰ τὸ κείρω ὁ μέλλων κερῶ, αἰολικῶς κέρσω. ἀπὸ τοῦ κέρσω γοῦν καὶ κόμη γίνεται κερσεκόμης διὰ τοῦ ο μικροῦ. πᾶς γὰρ ἐνεστὼς ἢ μέλλων ἐν πρώτῳ προσώπῳ λαβὸν σύνθετον τρέπει τὸ ω εἰς ο, λείπω λειποτάκτης, μίξω μιξοπόλιος.

Ακέων. ἡσύχως.

βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.

παρὰ τὸ μὴ χαίνειν γίνεται ἀχὴν καὶ ἀκήν. οἷον, πάντες ἀκὴν δ' ἐγένοντο σιωπῇ. καὶ ἐξ αὐτοῦ ἀκέων, ἀλλ' ἀκέων δὴν ἦστο· ἀπὸ μεταφορᾶς τῆς ὀξύτητος τοῦ σιδήρου. ἀκὴ γὰρ ἡ ὀξύτης. οὕτως Ὧρος. ἢ παρὰ τὸ κέω τὸ κοιμῶμαι κέων ἡ μετοχὴ, κέων ὦ ξεῖνε, πλεονασμῷ τοῦ ᾱ ἀκέων.

8b *Ἀκήν.* ἐπ' ἄκρας ἡσυχίας. οἷον,

ὡς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.

παρὰ τὴν ἄγην ὃ σημαίνει τὴν ἔκπληξιν. ἡ γὰρ ἔκπληξις ἀφωνίαν οἶδε ποιεῖν, γίνεται ἀκὴν κατὰ τροπὴν τοῦ γ̄ εἰς κ̄. ἢ παρὰ τὸ μὴ χαίνειν γέγονεν ἀχὴν καὶ ἀκὴν, ἀχή τις οὖσα.

Ἀκονιτί. ἀπὸ τοῦ κόνις κονιτὶ καὶ ἀκονιτὶ, ἄνευ ἀγῶνος καὶ μάχης, ἢ ἀκονητὶ ἄνευ πόνου, οὗ τὸ ἐναντίον ἐγκονητὶ μετὰ πόνου, κατὰ τροπὴν τοῦ π̄ εἰς κ̄ ἀπονητὶ καὶ ἰωνικῶς ἀκονητὶ, ὡς τὸ πῶς κῶς, πότε κότε.

Ἀκοστήσας. κριθιάσας. Ὅμηρος·

ὡς δ' ὅτε τις ἵππος σταθεὶς ἀκοστήσας ἐπὶ φάτνῃ.

ἀκοστήσας, τοῦτ' ἔστιν ἐπὶ τῇ στάσει δυσχεράνας, ὅθεν ἐπιφέρει,

δεσμὰ διαῤῥήξας θέλει πεδίοιο κροαίνων.

ἢ ἀπὸ τοῦ ἀκόσται αἱ κριθαὶ παρὰ τὸ ἄκος ἐμποιεῖν τοῖς ὀστέοις, ἵν' ᾖ κριθιάσας καὶ ἀπὸ τῆς τροφῆς ἀκρατὴς ὢν ἢ ὑψαυχενήσας καὶ ἀτιμαγεθὴς γεγονὼς, παρὰ

τὸ ἄγω ἄγος, ἀγοστὴς καὶ ἀκοστὴς τροπῇ τοῦ γ̄ εἰς κ̄, ὁ ἔμπροσθεν εἶναι θέλων καὶ προηγεῖσθαι.

Ἀκριτόμυθε. ἄκριτε τοὺς λόγους καὶ ἄτακτε. παρὰ τὸ κρίνω κρινῶ, κέκρικα κέκριμαι κέκριται, κριτὸς καὶ τοῦ μῦθος γίνεται ἀκριτόμυθος, καὶ ἀναβιβάζει τὸν τόνον. τὰ γὰρ εἰς ος δισύλλαβα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον.

Ἀκροῶ. παρὰ τὸ ἀκούω ἀκοῶ καὶ ἀκροῶ, ὥσπερ σύρω συρῶ, κύρω κυρῶ.

Ἀκραιφνής. ὁ καθαρός. κυρίως δὲ ὁ περιφανὴς παρὰ τὸ ἀκέραιον καὶ τὸ φαίνω ἀκραιοφανὴς καὶ συγκοπῇ ἀκραιφνής. Ἡρωδιανός φησι μὴ γίνεσθαι συλλαβῆς σύγκοπήν. ἢ ἀκροφανὴς καὶ ἀκραιφνὴς τοῦ ο εἰς αι τραπέντος, ὡς ἐπὶ τοῦ μεσοπόλιος μεσαιπόλιος.

Ἄκην γίνεται ἀπὸ τοῦ στερητικοῦ μορίου καὶ τοῦ χαίνω. ὁ γὰρ λαλῶν χαίνει. τὸ δὲ ἄκην ἐγένοντο σιωπῇ τρόπος ἐτυμολογίας.

Ἀκηδεῖν θέμα ἔχει τὸ ἀκηδῶ, ἐξ οὗ καὶ τὸ ἀκηδέστως ἐπιῤῥῆμα, καὶ τὸ ἀκηδεστὸς καὶ ὁ κηδεμών. ἀπ' αὐτοῦ δὲ καὶ τὸ ἀκηδιᾶν, ὡς καὶ ἐκ τοῦ μειδῶ καὶ κατηφῶ τὸ μειδιᾶν καὶ κατηφιᾶν.

Ἀκάμας, Ἀκάμαντος, καὶ ἡ κλητικὴ ὦ Ἀκάμα διχα τοῦ ν. οὕτω καὶ Λαοδάμας Λαοδάμαντος ὦ Λαοδάμα, οἷον,

Λαοδάμα μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπας.

Ἀλαζών. ὁ ἀπατεών, ἢ κομπαστής, ὁ ἐν ἄλῃ καὶ πλάνῃ ζῶν, ὁ ἐκ τοῦ ἀλᾶν ζῶν, οὐκ ἐξ ἐπιτηδεύματος, ἀλλ' ἐξ ἀπάτης.

Ἀλαλύκτημαι. τὸ ἀδημονῶ καὶ πεπλάνημαι, καὶ οἱ μὲν παρακείμενον, οἱ δὲ ἐνεστῶτά φασι· οὐδέ μοι ἦτορ ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι. ἔστιν οὖν ἀλῶ, ἀφ' οὗ ἀλύω, ὡς ἀνῶ ἀνύω, ἀφ' οὗ ἀλύσσω, ὡς ὀρύσσω, καὶ ὥσπερ ὀρύσσω ὀρυκτὸς, οὕτως ἀλύσσω ἀλυκτὸς, καὶ ὡς ἄτακτος ἀτακτῶ, οὕτως ἄλυ-

κτος ἀλυκτῶ, οὗ ὁ παρακείμενος ἠλύκτημαι καὶ ἀττικῷ ἀναδιπλασιασμῷ ἀλαλύκτημαι, συστολῇ τοῦ η̄ εἰς ᾱ. ἔθος δὲ τῷ ποιητῇ ποιεῖσθαι ἐπὶ τοῦ ῥήματος τούτου ἀττικώτερον, ὡς τὸ ἀλαλῆσθαι. καὶ οὕτως μὲν παρακείμενος. εἰς ἐνεστῶτα δὲ οὕτως λαμβάνεται. ἔστιν, ὡς δέδεικται, ἀλυκτῶ, οὗ παράγωγον εἰς μι ἀλύκτημι, οὗ ὁ παθητικὸς ἐνεστὼς ἀλύκτημαι αἰολικῶς. ἐκεῖνοι γὰρ οὕτως κλίνουσιν, ποίημαι λέγοντες καὶ νόημαι, καὶ ἐν διπλασιασμῷ ἀττικῷ ἀλαλύκτημαι, ἐπειδὴ ὁ ποιητὴς πολλοῖς χρῆται αἰολικοῖς, καὶ μάλιστα ἐν μετοχῇ ἀκαχήμενος ἀκάχμενος. δύναται δὲ καὶ αὐτὸ ἀπὸ τοῦ θορυβεῖσθαι παρὰ τὴν ἀλάλην, ἣ σημαίνει τὸν θόρυβον, ἀλαλῶ, ἀφ' οὗ ἀλαλύσσω, ἀφ' οὗ ὄνομα ῥηματικὸν ἀλαλυκτὸς καὶ ἀλαλυκτῶ καὶ ἀλαλύκτημαι τὸ τεθορύβημαι. οὕτω Μεθόδιος.

Ἀλαπάξαι. ἐκπορθῆσαι. κυρίως δὲ τὸ κενῶσαι. ἀλαπάξω ἀλαπάξω παρὰ τὴν λάπαθον βοτάνην, ἥ ἐστι κενωτικὴ γαστρός. καὶ Δημόκριτος τοὺς βόθρους τοὺς παρὰ τῶν κυνηγετῶν γινομένους λαπάθους καλεῖ διὰ τὸ κεκενῶσθαι, παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ πάθος. ἐτυμολογεῖται δὲ παρὰ τὸ λίαν ἄποθεν ἡμῶν ποιεῖν τὰ πάθη.

Ἀλαῶσαι. τυφλῶσαι. παρὰ τὸ ἄλην ἤγουν τὴν πλάνην. οἱ γὰρ τυφλώττοντες ἀλῶνται κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. οὕτως Ὡρίων.

Ἀλαλκεῖν καὶ ἐνεστὼς καὶ μέλλων δεύτερος. ἔστι γὰρ ἀλάλκω βαρύτονον, οὗ ὁ μέλλων ἀλάλξω, ὁ δεύτερος ἀόριστος ἤλαλκον, ἀφ' οὗ ἀλαλκών, ὁ ἐπαμύνας καὶ βοηθήσας, μετοχὴ δευτέρου ἀορίστου, ὁ μέλλων δεύτερος ἀλαλκῶ, τὸ τρίτον ἀλαλκεῖ, καὶ ἀλαλκεῖν. ἔστι δὲ καὶ περισπώμενον ἀλαλκέω ἀλαλκῶ, τὸ ἀπαρέμφατον ἀλαλκεῖν, ὡς ποιεῖν. γίνεται δὲ ἀπὸ τοῦ ἀλκὴ ἀλκῶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλκῶ καὶ ἀλάλκω.

Ἀλδήσκω. ὡσεί τε περὶ σταχύεσσιν ἔέρση ληΐου ἀλδήσκοντος. καὶ, ἀναλδήσκοντες

ἀπὸ χθονὸς, ἀντὶ τοῦ ἀναδιδόμενοι, αὐξόμενοι. εἴρηται παρὰ τὸ ἀλῶ ἀλήσω ἀλδήσκω κατὰ πλεονασμὸν τοῦ δ καὶ κ κατὰ μεταφοράν. τὸ γὰρ ἀληλεσμένον αὐξάνει. ἢ παρὰ τὸ ἄλλεσθαι βλαστάνειν καὶ ἀδρύνεσθαι.

Ἀλδαίνειν. τὸ αὐξάνειν, παρὰ τὸ ἄλλεσθαι, τοῦτ' ἔστι πηδᾶν κατὰ τὴν αὔξην.

Ἀλέγω. τὸ φροντίζω, παρὰ τὸ λέγω φροντίζω, ἀφ' οὗ λόγος ἡ φροντὶς καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀλέγω, καὶ οὐκ ἀλέγω τὸ οὐ φροντίζω. καὶ ἐπὶ κυρίου ὀνόματος, ὡς τὸ, Ἀλέγων τε καὶ Ἀντήνωρ. ἀλέγω ἀλεγίζω παράγωγον ἀλεγύνω.

Ἀλεώμεθα. ἐκκλίνωμεν, φεύγωμεν. Διὸς ἀλεώμεθα μῆνιν. παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι. οἱ γὰρ φεύγοντες πλανῶνται. οὕτω Μεθόδιος.

Ἀλεύατο καὶ ἄλδατο πολλὺν ὅμιλον. τὸ ἀλεύατο ἀντὶ τοῦ ἐφυλάξατο. εἴρηται δὲ ἀπὸ τοῦ χεύω χεύατο, καὶ τροπῇ καὶ στερήσει, ἀλεύατο μεταφορικῶς.

Ἀλεγίζω. σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω. παρὰ τὸ ἀλέγω ἀλεγίζω.

Ἀλεείνων. ἐκκλίνων, ἐκφεύγων. ἔστιν ἀλέα ἡ θερμασία. ἐκ τούτου γίνεται ἀλεείνω, οἱονεὶ ἀπὸ ψύχους εἰς τὴν θερμασίαν ἐκφεύγων. τὰ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γράφεται, ἀλεείνω, ἐρεείνω, φαείνω, πλὴν τοῦ ὁρίνω, καὶ ἕως τοῦ παρατατικοῦ κλίνονται. ἀλεύω σημαίνει ἀποφεύγω. παρὰ τὴν ἀλέαν τὴν θερμασίαν γίνεται ἀλέω καὶ ἀλεύω, κυρίως τὸ ἀπὸ ψύχους εἰς θερμασίαν ἀποφεύγω. Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις,

δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γὰρ κακὴ πέλεται κούφη μὲν ἀεῖραι,
ῥεῖα μάλ' ἀργαλέη φερέμεν, χαλεπὴ δ' ἀποθέσθαι.

Ἀλεύας μετοχή. ἀλέω ἀλεύω. τὸ δὲ ἀλέω παρὰ τὸ ἀλῶ. οἱ γὰρ φεύγοντες πλανῶνται. ἡ μετοχὴ ἀλεύας καὶ ἀλεύατο κῆρα μέλαιναν. οὕτως Ἡρωδιανὸς περὶ παθητικῶν.

Ἀλήθω. τὸ ἐπὶ τοῦ μύλου σῖτον ἢ κριθὰς ἀλευροποιεῖν. παρὰ τὸ ἀλῶ ἀλήθω, ὡς πρῶ πρήθω, νῶ νήθω, κνῶ κνήθω. ἀλήθω τὸ αὐτὸ σημαίνει τῷ πρωτοτύπῳ. οὕτω Μεθόδιος.

Ἁλίσκεσθαι ἐν συμφοραῖς καὶ ὑπὸ συμφορᾶς καὶ συμφορᾷ.

Ἀλοκίζειν. ἀροτριᾶν. ἄλοξ γὰρ αὖλαξ. μὴ σπεῖρε τέκνων ἄλοκα, Λάϊε, βίᾳ δαιμόνων.

Ἁλῶναι ὑπὸ τούτων καὶ ἁλῶναι εἰς τοὺς πολεμίους, καὶ ἑάλωμεν εἰς τοὺς βαρβάρους.

Ἀλιβδύειν. τὸ εἰς τὴν θάλασσαν καταδύειν. μεταφορικῶς δὲ τὸ κρύπτειν καὶ ἀφανίζειν, παρὰ τὴν ἅλα καὶ τὸ βδύειν, αἰολικῶς πλεονασμῷ τοῦ β, ὡς σίδη σίβδη, ἁλιδύειν ἁλιβδύειν. Λυκόφρων, εἰρκτῆς λιβδύσασα λυγαίας δέμας.

Ἁλινδεῖσθαι. ἔστι κυλίω, καὶ τροπῇ τοῦ ῡ εἰς ᾱ καὶ ἀποβολῇ τοῦ κ ἁλίω ἁλίσω ἤλισα ἁλίσαι, ὥσπερ Ἀριστοφάνης·

ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.

ἀντὶ τοῦ ἐάσας κυλισθῆναι. ἐκ δὲ τοῦ ἁλίω ἁλίνδω, ὡς κυλίω κυλίνδω, καὶ ἐν περισπάσει ἁλινδῶ ἁλινδήσω, ἁλινδήθρα, ὡς κολυμβῶ κολυμβήσω κολυμβήθρα, οὐρήσω οὐρήθρα. ἁλινδήθρα δὲ ἡ κυλίστρα.

Ἁλίωσεν. ἐκ τοῦ ἅλιον τὸ μάταιον γίνεται περισπώμενον ῥῆμα ἁλιῶ ἁλιώσω ἡλίωσα, συστολῇ ἰωνικῇ τοῦ η̄ εἰς ᾱ ἁλίωσα, τὸ τρίτον ἁλίωσεν.

Ἀλλάσσω. παρὰ τὸ ἄλλω ἀλλάσσω.

Ἀλλοδαπός. ὁ ἀπὸ ἄλλου δαπέδου ἥγουν γῆς ὤν.

Ἀλογήσει. λόγον οὐ ποιήσει. ἀλογῶ ἀλογήσω. ἰστέον ὅτι τὸ λέγω ἐν συνθέσει τρέπει τὸ ε̄ εἰς ο̄ καὶ

περισπᾶται, εἰ μὴ ἐν προθέσει συντεθῇ, οἷον ἀλο- 10b
γῶ, πολυλογῶ, κακολογῶ, ἑτερολογῶ, μακρολογῶ. πρόκειται εἰ μὴ ἐν προθέσει συντεθῇ διὰ τὸ ἐκλέγω, διαλέγω, ἐπιλέγω, ἀντιλέγω, καταλέγω, προλέγω. συνηριθμηται τούτοις καὶ τὸ ἀλέγω τὸ φροντίζω. 5

Ἅλτο. ἄλλω τὸ πηδῶ, ὁ μέλλων ἀλῶ, ὁ ἀόριστος ἦλα, ὁ μέσος ἠλάμην ἦλω ἦλατο, καὶ ἐν συγκοπῇ ἅλτο, συστολῇ τοῦ η εἰς α ἰωνικῶς, οὐ γὰρ αὔξουσιν ἐν τοῖς παρῳχημένοις οἱ Ἴωνες, καὶ ψιλοῦνται. τὰ γὰρ κατὰ συγκοπὴν γινόμενα ψιλοῦνται, ἅλατο, ἁρμόσαντες ἅρσαντες. ἢ ὅτι οἱ Ἴωνες ψιλωταί εἰσιν, οἷον ἀφηλιώτης ἀπηλιώτης, ἄνεμος ἀνατολικὸς, ἀνθ' ἅδου ἀντ' ἅδου. 10

Ἁλύσκω. οὐκ ἔστιν ἐκ τοῦ ἀλύω, ὃ σημαίνει τὸ ἀδημονῶ καὶ ἀπορῶ ἢ τὸ χαίρω, ἀλλὰ ἀλύσκειν τὸ ἐκκλίνειν καὶ ἐκφεύγειν δηλονότι. ἔστιν οὖν ἐκ τοῦ λύω καὶ τοῦ α ἢ κατὰ πλεονασμὸν, ἢ κατ' ἐπαύξησιν λαμβανομένου, ὁ μέλλων ἀλύσω καὶ πλεονασμῷ τοῦ κ ἀλύσκω, ὡς μεθύω μεθύσω μεθύσκω. ἄλλος μέλλων ἀλύξω ὑπερθέσει τοῦ κ, ἤλυξα καὶ ἀλύξαι τὸ ἐκφυγεῖν. 15 20

Ἁλύσσω. τὸ ἀδημονῶ, παρὰ τὸ ἀλῶ ἀλύσσω, ὡς ὀρύσσω. ἐξ οὗ καὶ ἄλυς ἡ πλάνη τῆς διανοίας. λύσσω οὖν βαρύτονον ὡς νύσσω, καὶ ἐν ἐπιτάσει ἀλύσσω. 25

Ἁλωτός. ληπτὸς, χειρωτός. ἁλῶ τὸ κρατῶ, καὶ ἅλωμι παράγωγον, ἁλώσω, ἧλωκα, ἧλωμαι ἧλωσαι ἧλωται, ἁλωτός.

Ἅλῶναι. ἅλωμι, ἁλώσω, ἧλων, τὸ πρῶτον τῶν πληθυντικῶν ἧλωμεν, καὶ τὸ ἀπαρέμφατον ἁλῶναι. 30

Ἁμαρτάνειν τοῦ παντὸς καὶ παντός. τοῦτο συντάσσουσιν ἐπὶ τοῦ κατὰ πᾶν ἥμαρτεν, ἤγουν παντὸς ἀπέτυχεν, οἷον ἢ παντὸς ἁμαρτεῖν, καὶ πάλιν ὅτι ἡμάρτηκε τοῦ παντός.

Ἀλευάδα εἴρηται ὡς φεύδα. οἱ γὰρ Δωριεῖς τὴν γῆν γᾶν καὶ δᾶν λέγουσιν καὶ δίαν, ὡς καὶ τὸν γνόφον δνόφον. φεύδα οὖν φεύγη, οὕτως οὖν καὶ ἀλευάδα ἀλέου δῆ, τοῦ δῆ ἀντὶ τοῦ γῆ κειμένου.

11a Ἄλεες. ἔστιν ἀολλέες, ὃ σημαίνει τὸ ὁμοῦ, καὶ κράσει τοῦ α καὶ ο εἰς ᾱ μακρὸν καὶ ἀποβολῇ τοῦ ἑνὸς λ̄ ἀλέες καὶ ἄλεες, ὡς παρὰ Καλλιμάχῳ ἐν χωλιάμβοις, ἐς τὸ προστείχεσθ' ἱερὸν ἄλεες δεῦτε, ἀντὶ τοῦ εἰς τὸ προστείχεσθαι ἱερὸν ὁμοῦ δεῦτε.
10οὕτως ὁ Χοιροβοσκός.

Ἄλεντε εἰς ἵππους ψιλοῦται, εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάσσεται, ὡς φησὶν ὁ Ἀσκαλωνίτης, εἴτε ἐπὶ τοῦ συστραφῆναι, ὃ καὶ μᾶλλον συγκατατίθεμαι. ἔστι δὲ δευτέρου ἀορίστου ἁλῶ τὸ πλανῶ. ὁ δεύτερος ἀόρι-
15στος ἦλον καὶ ἅλον, ὁ παθητικὸς ἤλην καὶ ἅλην, ὁ μέσος δεύτερος ἀόριστος ἠλόμην καὶ ἀλόμην, τὸ ὑποτακτικὸν ἐὰν ἅλωμαι ἅλῃ ἅληται, τὸ δεύτερον πρόσωπον τοῦ δευτέρου ἀορίστου ἦλες ἅλες, τὸ τρίτον ἦλε καὶ ἅλε, τὸ πρῶτον τῶν πληθυντικῶν ἤλομεν καὶ
20ἅλομεν, καὶ κατὰ συγκοπὴν ἅλεν, ὡς τὸ κόσμηθεν, οἷον, οἱ δ' ἤτοι εἰς ἄστυ ἅλεν, τοῦ δευτέρου ἀορίστου ἡ μετοχὴ ἁλεὶς ἁλέντος.

Ἀλείπτης. ἀπὸ τοῦ ἀλείφω ἤλειπται ἀλείπτης, διὰ τῆς εῑ διφθόγγου. ὅσα γὰρ ὀνόματα ἐκ τοῦ ἀλεί-
25φω γίνονται, εἰ μὲν διὰ τοῦ πτ̄ ἐκφέρονται, φυλάττουσι τὴν εῑ δίφθογγον, ἀλείπτω, ἀλείπτης, ἀλειπτὸν φάρμακον, ἀνήλειπτος, ὁ μὴ ἀλειφθείς, πλὴν τοῦ ἅλιπτα, αἰολικῶς τὸ ἄλειμμα. εἰ δὲ διὰ τοῦ φ̄ ἐκφέρονται σύνθετα ὄντα, οὐ φυλάττουσι τὴν εῑ δίφθογ-
30γον, ἀλλὰ διὰ τοῦ ῑ̄ γράφεται, ὑπηλιφὴς, ἀνυπηλιφής. σημαίνει δὲ τὴν ναῦν τὴν μὴ ἀλειφθεῖσαν πίσσῃ. πρόσκειται σύνθετα διὰ τὸ ἄλειφαρ τὸ σημαινόμενον τὸ ἄλειμμα, διὰ τοῦ φ̄ ἐκφερόμενον καὶ γραφόμενον διὰ τῆς εῑ διφθόγγου, ἀλλ' οὐκ ἔστι σύνθετον. ἁπλοῦν
35γάρ ἐστιν ἀπὸ τοῦ ἀλείφω ἄλειφαρ, ὡς ἀπὸ τοῦ δέλω

δέλεαρ. δεῖ δὲ γινώσκειν ὅτι ἐπιγέγραπται Διφίλῳ τῷ κωμικῷ δρᾶμα ἐπιγεγραμμένον ἀλείπτρια. τὸ δὲ ἀλείπτης ἀρσενικὸν ἀπηγορεύεται, ἀπὸ ἀλείπτης δὲ παιδοτριβὴς εἰώθασι λέγειν. ὁ δὲ θεολόγος Γρηγόριος ἀλείπτης ἀρσενικῶς γράφει ἐν τῷ εἰς τὸν μέγαν βασιλέα ἐπιταφίῳ λόγῳ, ὑπολειφθῆναι τοῖς ἄλλοις ἀλείπταις τῆς ἀρετῆς. ἐκ δὲ τοῦ ἀλείπτης φιλαλειπτῶ, οἷον, οὐκ ἀπίστις καὶ ἀνδρὶ φιλαλειπτοῦντι καὶ περὶ παλαίστρας ἔχοντι, καὶ πολυπραγμονοῦντι ὅτι ἕκαστον τῶν μειρακείων, καὶ τὰ λιπά.

Ἀλιτήμων. ἀλίτω βαρύτονον καὶ ἀλιτῶ περισπώμενον. ἀπὸ γοῦν τοῦ ἀλιτῶ περισπωμένου ἀλιτήσω, ἠλίτημαι, ἀλιτήμων, ὡς φιλῶ φιλήσω πεφίληκα πεφίλημαι φιλήμων, καὶ νενόημαι νοήμων. Ὅμηρος· οὐ γάρ τοι θεοὺς ἀλιτήμονας. καὶ οἷον, οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων. ἀπὸ γοῦν τοῦ ἀλιτῶ ἀλιτήσω ἠλίτηκα ἠλίτημαι ἠλίτησαι ἠλίτηται ἀλιτὴρ ἀλιτῆρος ἀλιτήριος καὶ ἀλιτρὸς καὶ ἀλιτραίνω καὶ ἀλιταίνω, ὡς φῶ φαίνω καὶ δρῶ δραίνω.

Ἀλκαῖος. ὃν τρόπον οἱ Ἴωνες ἐκβάλλουσι τὸ ι τῶν κτητικῶν τῆς ει διφθόγγου, τὸν αὐτὸν τρόπον καὶ οἱ Αἰολεῖς τῆς αι διφθόγγου ἐκβάλλουσι τὸ ι, οἷον Θηβαῖος Θηβᾶος, ἀρχαῖος ἀρχᾶος, ἀλκαῖος ἀλκᾶος.

Ἀλοία. ἔτυπτε. παρὰ τὴν ἀλοιῶ δευτέραν συζυγίαν τῶν περισπωμένων ὁ παρατατικὸς ἠλοίαον ἠλοίων, ἠλοίαες ἠλοίας, ἠλοίαε ἠλοία, καὶ συστολῇ ἀλοία.

Ἀλοίη. κανόνισον ἀλόω ἀλῶ, συζυγίας τρίτης τῶν περισπωμένων ὁ δεύτερος ἀόριστος ἤλων, καὶ ἀττικῶς ἑάλων, ἡ μετοχὴ ὁ ἁλοὺς τοῦ ἁλόντος, τὸ εὐκτικὸν ἅλοιμι, καὶ τροπῇ τῆς μι εἰς ην ἀττικῶς ἁλοίην ἁλοίης ἁλοίη. τὸ δὲ ἐὰν ἀλῶ κανονίζεται οὕτως· ἀλόω συζυγίας τρίτης τῶν περισπωμένων. ἐξ οὗ παράγωγον ῥῆμα τὸ ἅλωμι συζυγίας τρίτης τῶν εἰς

μι. ἔστι δὲ ἄχρηστον. ὁ δεύτερος ἀόριστος ἥλων ἄχρηστον, καὶ ἀττικῶς ἐάλων εὔχρηστον, ἡ μετοχὴ ὁ ἁλοὺς τοῦ ἁλόντος, καὶ τὸ ὑποτακτικὸν ἐὰν ἁλῶ.

Ἁλίσκομαι ἐνεστὼς, ἡλισκόμην παρατατικὸς, ἁλώσομαι μέλλων, ἐάλωκα παρακείμενος, ἐάλων ἀόριστος δεύτερος.

Ἁλοιῶ τὸ τύπτω. ὁ μέλλων ἁλοιήσω ἑτεροκλίτως, ὡς τύπτω τυπτήσω, καὶ δέομαι δεήσομαι, καὶ ἄλλα πλεῖστα. ἔστι δὲ τοῦτο τῶν Ἀττικῶν.

Ἁλῳὴ ψιλοῦται, ὡς δῆλον ἐκ τῆς συναλοιφῆς. γράφουσι δὲ οἱ παλαιοὶ μετὰ προσγεγραμμένου τοῦ ῑ. ἐκ τοῦ ἁλλοίω τὸ ἁλλοιῶ τὸ συντρίβω κατ' ἔκτασιν τοῦ ο̄ εἰς ω̄. ἁλωὴ δὲ σημαίνει ἄνευ τοῦ ῑ τὸ σύμφυτον χωρίον καὶ σύνδενδρον τόπον παρὰ τὴν ἄλσιν τὴν αὔξησιν. ἄλδω οὖν ἁλωὴ, χωρὶς τοῦ ῑ.

Ἁλαπαδνὰ ἀπὸ τοῦ ἁλαπάζω τὸ κενῶ. κενωτικὸν γὰρ τὸ βότανον τὸ κοινῶς λεγόμενον λάπαθον.

Ἁλιτρός. ἄδικος. ὁ ἐνεστὼς ἁλείτω τῇ ει διφθόγγῳ παραληγόμενος, οὗ δεύτερος ἀόριστος ἥλιτον. ὅθεν ἁλιτρός. ἴσως δὲ καὶ ἁλιτήριος καὶ συγκοπῇ ἁλιτρός.

Ἁληθείην ἀμφιβόλως ἔχω εἴτε ἀπὸ προπαροξυτόνου τοῦ ἀλήθειαν, εἴτε ἀπὸ παροξυτόνου τοῦ ἀληθείαν γέγονεν ἰωνικῶς. οἱ γὰρ παλαιοὶ Ἀττικοὶ κατὰ Αἴλιον Διονύσιον ἐξέτεινον τὰς τῶν τοιούτων ὀνομάτων ληγούσας. διὸ καὶ παρώξυναν αὐτά. ἡ ἀγνοία δέ, φησι, καὶ ἡ προνοία, ὧν πάντων ἐκτείνεται ἡ τελευταία, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται.

Ἁλητήριος ὅ ἐστιν ἁλιτρός. σημαίνει δὲ τὸν ἁμάρτολον.

Ἁμαθύνειν παρὰ τὴν ἄμαθον κόνιν ποιεῖν. Ὅμηρος,

ἄνδρα μὲν κτείνουσι πόλις καὶ πῦρ ἀμαθύνει.

Ἀμφέχυτο. ἀπὸ τῆς ἀμφὶ προθέσεως καὶ τοῦ χύω ῥήματος τὸ παράγωγον χῦμι χῦμαι, ἐχύμην ἔχυσο ἔχυτο, καὶ ἀμφέχυτο.

Ἀμαλδῦναι. κυρίως μὲν τὸ διὰ τοῦ πυρὸς ἀφανίσαι, ἀπὸ τοῦ μαίρω τὸ λάμπω, ὁ μέλλων μαρῶ, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀμαρῶ, καὶ τροπῇ τοῦ ρ εἰς λ ἀμαλῶ, καὶ κατὰ παραγωγὴν ἀμαλύνω, καὶ πλεονασμῷ τοῦ δ ἀμαλδύνω. ἢ τὸ ἁπλῶς ἀφανίσαι, ἢ τὸ ὁμαλίσαι, οἷον τεῖχος ἀμαλδῦναι. ὡς παρὰ τὴν ἄμμον, οἷον ἄμμος ἀμμῶ, ὡς δοῦλος δουλῶ, καὶ φίλος φιλῶ, παράγωγον ἀμύνω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς καὶ τοῦ δ ἀμαλδύνω. οὕτως Ὡρίων. ὁ δὲ Μεθόδιος παρὰ τὸ ὁμαλὸς ὁμαλῶ ὁμαλύνω, ὡς κακὸς κακῶ κακύνω, καὶ ἐπενθέσει τοῦ δ καὶ τροπῇ τοῦ ο εἰς ᾱ ἀμαλδύνω.

Ἀμᾶν τὸ θερίζειν, ἀπὸ τοῦ ὁμοῦ ἐπισπᾶν, οἷον ἀμασπᾶν.

Ἀμβλυώττειν τὸ μὴ ὀξυδερκεῖν, παρὰ τὸ 12b ἀμβλεῖς ἔχειν τοὺς ὄσσους.

Ἀμβλῶσαι τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν. καὶ τὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν ἰατροὶ ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὁπόταν γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποκεύθειεν, λέγεται αὐτὰς ἀμβλυώττειν, ἀντὶ τοῦ οὐ τελεσφοροῦσι καρπόν. καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἀτελῆ τὰ βρέφη τικτουσῶν λέγεται ἀμβλυώττειν καὶ κατὰ συγκοπὴν ἀμβλώττειν, παρὰ τὸ βάλλω βλῶ. ἀμβλωθρίδιον ἐκ τοῦ ἀμβλῶ καὶ τοῦ θορῶ τὸ πηδῶ.

Ἀμβλὺς ὁ μὴ ὀξὺς σίδηρος, παρὰ τὸ μῶλος, ὅς ἐστιν ἐγχρονισμὸς τῆς μάχης, γέγονε μωλὺς, ὡς ἵππος ἵππυς, καὶ κατὰ στέρησιν ἀμωλὺς, ὁ μὴ ἐπὶ πόλεμον καὶ μῶλον ἐπιτήδειος, συγκοπῇ καὶ πλεονασμῷ τοῦ β ἀμβλύς.

Ἀμβατός. ἐκ τοῦ βαίνω βανῶ βέβακα βέβαμαι βέβαται βατὸς καὶ ἀναβατὸς, καὶ ἐν συγκοπῇ ἀμβατός.

Ἀμέλω παρὰ τὸ ἅμα ἕλκειν.

Ἀμέρδω κυρίως τὸ στερῶ μέρος, καταχρηστικῶς δὲ ἐπὶ τοῦ στεροῦμαι, ὥσπερ ἀπὸ τοῦ σκαίρω σκαρῶ γίνεται σκαρίζω, καὶ εἴρω ἐρῶ ἐρίζω, οὕτως καὶ μείρω μερῶ μερίζω, καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ξ εἰς δ μέρδω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀμέρδω, παρὰ δὲ τὸ μείρω τὸ μερίζω γίνεται αἰολικῶς μερῶ καὶ αἰολικῶς μέρσω, ὡς φθείρω φθερῶ φθέρσω, καὶ κείρω κερῶ κέρσω, καὶ σπείρω σπερῶ σπέρσω.

Ἀμείνων. παρὰ τὸ μείων καὶ πλεονασμῷ τοῦ ν̄ ἀμείνων, οἱονεὶ ὁ μὴ ἐλάσσων τινός. ἢ παρὰ τὸ μένω γέγονεν ἀμένων καὶ πλεονασμῷ τοῦ ῑ ἀμείνων, τοῦτ' ἔστιν ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων αἰρόμενος. τὸν γὰρ κρείττονα πάντες αἴρουσιν.

Ἀμορμεύεσκε. συνωδοιπόρει. σὺν δ' ἡμῖν ὁ πελαργὸς ἀμορμεύεσκε. παρὰ τὸ ἀμορμεύειν. τοῦτο παρὰ τὸ ἅμα ὁρμᾶν καὶ πορεύεσθαι.

Ἀμπνύθη. ἀναπνύω ἀναπνύσω ἀνέπνυκα ἀνέπνυμαι ἀνεπνύθην, καὶ πλεονασμῷ τοῦ μ̄ καὶ συγκοπῇ ἀμπνύθη, ὡς τὸ ἀρτύνθη.

13a Ἀμπείραντες καὶ ἀναπείραντες καὶ διαπείραντες ἀπὸ τῆς ἀνά προθέσεως καὶ τοῦ πείρω τὸ κεντῶ κατὰ συγκοπήν.

Ἀμῦναι τὸ ἀποσοβῆσαι, οἷον, βούλεται ἀντιάσας ἀμῦναι. ἢ τὸ βοηθῆσαι, ὅφρ' ἐπαμύνω Τρώεσσι. παρὰ τὴν μῦνιν τὴν πρόφασιν. ἀλλ' ἄγε μὴ μύνησι παρέλκετε. ἀμῦναι οὖν κυρίως τὸ ἀπροφασίστως βοηθῆσαι. γίνεται δὲ παρὰ τὸ ἀμεύω τὸ πορεύομαι, ἀμεύνω, ὡς δύο δύνω, καὶ ἐνδείᾳ τοῦ ε̄ ἀμύνω τὸ μετὰ δρόμου βοηθῶ. ἢ παρὰ τὸ ἀμείβω, ἀμεύω καὶ προσθέσει τοῦ ν̄ καὶ ἀποβολῇ τοῦ ε̄ ἀμύνω. Ἀμεύω τὸ πορεύομαι, παρὰ τὸ ἅμα καὶ τὸ σεύω τὸ ὁρμῶ, ἢ παρὰ τὸ νεύω καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἀνεύω καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον

ἀμεύω· ἢ παρὰ τὸ ἀμείβω ἀμεύω τροπῇ τοῦ ῑ εἰς ῡ, ὡς τριφάλεια τρυφάλεια.

Ἀμύσσω παρὰ τὸ αἷμα αἱμάσσω, τροπῇ τοῦ ᾰ εἰς ῡ καὶ ἀποβολῇ τοῦ ῑ ἀμύσσω, ὡς μάθω μάθος μῦθος, ἄδω ὕδω τὸ ὑμνῶ. σημαίνει δὲ τὸ αἱματῶ καὶ ξέω.

Ἀμφανδὸν καὶ ἀμφαδίην. φαίνω φανδὸν, ὡς χαίνω χανδὸν, καὶ ἀναφανδὸν καὶ ἀμφαδὸν καὶ ἀμφαδίην ἀντὶ τοῦ φανερῶς.

Ἀμφιγυήεις ὁ Ἥφαιστος ὃ βραδὺς ἐν τῷ περυέσθαι, παρὰ τὸ γύα ὅ ἐστιν ἄκρα χεῖρες καὶ πόδες. ἢ ὁ ἀμφοτέροις τοῖς γύοις ἤγουν τοῖς ποσὶ χωλός.

Ἀμφίδρυφοι. δρύπτω τὸ σπαράττω τὸ ξαίνω. οἱ ἀμφοτέρωθεν ἐξεσμένοι. δρύπτω δρύψω δέδρυφα δρύφος.

Ἀμφὶς. ἀπὸ τῆς ἀμφὶ προθέσεως ἀμφὶς ἐπίῤῥημα, ὃ σημαίνει τὸ χωρὶς καὶ δασμόν. οὐ γὰρ δυνάμεθα λέγειν πρόσθεσιν ἢ πλεονασμὸν τοῦ σ̄.

Ἀμφισβητεῖν. ἀπὸ τοῦ ἀμφὶς καὶ τοῦ βάζειν, ἵν' ᾖ τὸ ἀμφιλογεῖν. πολλάκις δὲ πλεονασμῷ τοῦ β̄, ὡς ἐν τῷ ἀδὴς ἀβδὴς, δύω βδύω, σίδα σίβδα. ἢ παρὰ τὸ ἀμφὶς ἐπίῤῥημα, τὸ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διστάζοντες.

Ἀμφιέννυται. παρὰ τὸ ἕω τὸ ἐνδύομαι πλεονασμῷ τοῦ ν̄ ἕνω ἐνύω καὶ εἰνύτω, καὶ ἐπεὶ ἔθος ἔχουσιν οἱ Αἰολεῖς τὸ ῑ πρὸς τὸ ἐπιφερόμενον σύμφωνον τρέπειν, οἷον φθείρω φθερῥῶ, γείνω γεννῶ, κτείνω κτεννῶ, ὡς τὸ ἰλὴμ ἡ ἀποκτέννουσα τοὺς προφήτας, τὸν αὐτὸν τρόπον τρέπει τὸ ῑ εἰς ν καὶ γίνεται ἐννύω καὶ ἀμφιεννύω, καὶ ἐξ αὐτοῦ παράγωγον ἀμφιέννυμι, τὸ παθητικὸν ἀμφιέννυμαι, ἢ ὥσπερ ἀπὸ τοῦ τίω τὸ ἀνταποδίδωμι, τίνω τιννύω καὶ τίννυμι, καὶ σβέω σβένω σβεννύω καὶ σβέννυμι, οὕτως ἕω ἕνω ἐννύω καὶ ἔννυμι καὶ ἀμφιέννυμι.

Ἀμφικύπελον ποτήριον παρὰ τὸ κύφον κύφελον καὶ κύπελον καὶ μετὰ τῆς ἀμφὶ ἀμφικύπελον πλεονασμῷ τοῦ ἑτέρου λ̄, τὸ ἐκ περιφερείας κύφον, ὅθεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη κύφελλα λέγουσιν. ἢ παρὰ τὸ χέω χύπελον, ὅπου ὁ πηλὸς ἤγουν ὁ οἶνος χεῖται. Ἀρίσταρχος δέ φησι σημαίνειν τὴν λέξιν τὴν διὰ τῶν ὥτων ἑκατέρωθεν περιφέρειαν, ἐφ' ὧν καὶ Ῥητῶς ἀποδιδοὺς λέγει,

ἤτοι ὃ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
χρύσεον ἄμφωτον,

οἷον ἀμφίκυρτον.

Ἀμφιειμένος δύναμιν, δύναμιν ἐνδεδυμένος, παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα εἷμαι, εἱμένος ἡ μετοχὴ, καὶ ἐν συνθέσει ἀμφιειμένος.

Ἀμφίβληστρον τὸ δίκτυον παρὰ τὸ βλῶ βλήσω βέβλημαι βέβλησται βλῆτρον, ὡς πέπλεκται πλῆκτρον, πλεονασμῷ τοῦ σ καὶ συνθέσει τῆς ἀμφὶ ἀμφίβληστρον.

Ἀμφιρεφέα τὴν τῶν βελῶν θήκην. συνετέθη δὲ ἀπὸ τοῦ ἐρέφω, ὃ σημαίνει τὸ σκέπω, καὶ τῆς ἀμφί.

Ἀμφίπολος θεραπαινὶς παρὰ τὴν ἀμφὶ πρόθεσιν καὶ τὸ πολῶ τὸ ἀναστρέφομαι. τὰ δὲ παρὰ τὸ πολῶ καὶ χέω μὴ μετὰ προθέσεως συντεθειμένα προὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον οἰωνοπόλος, ὀνειροπόλος, οἰοπόλος, οἰνοχόος, χρυσοχόος, τὰ δὲ μετὰ προθέσεως προπαροξύνονται, οἷον ἀμφίπολος, πρόσπολος.

14 a Ἄμφω. τὸ ἄμφω καὶ δύω θεματικά εἰσι, τοῦτ' ἔστιν οὐκ ἐγένετο ἀπὸ ἐνικῶν, ἐπεὶ τὸ σημαινόμενον κωλύει. πῶς γὰρ καὶ ὁ δύω ἀριθμηθῇ, εἰ ἐν ἑνικῷ δύναται θεωρεῖσθαι ἀριθμῷ; διαφέρει δὲ τὸ ἄμφω τοῦ δύω, ὅτι τὸ μὲν δύο πρὸς τὴν γνῶσιν τίθεται τοῦ ἀριθμοῦ, τὸ δὲ ἄμφω ἀναφορὰν ὑπισχνεῖται δυάδος, ὥστε ὃ πέρ ἐστιν οἱ δύο, τοῦτό ἐστιν ἄμφω.

διὰ τοῦτο τὸ δύο λαμβάνει ἄρθρου παράθεσιν οἱ δύο τῶν δύω, τὸ δὲ ἄμφω οὐ λαμβάνει. οὐδὲ γὰρ λέγομεν οἱ ἄμφω, ἤδη γὰρ τὴν ἀναφορὰν ἔχει. παρὰ τὸ ἄμφω ἀμφότερος, οἷον, ἀμφότεροι μαίμασαν, ἀμφοτέροισι δ' ἀρήγεται. εἶτα δυϊκὸν ἀμφοτέρω, καὶ κατὰ συγκοπὴν ἄμφω.

Ἀμφοτέρωθεν. τὰ εἰς θεν ἐπιῤῥήματα ἀπὸ τῶν ὀνομάτων γινόμενα διὰ τοῦ ο μικροῦ γράφεται, οἷον κυκλόθεν, ἰλιόθεν, οὐρανόθεν, πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν.

Ἀμωσγέπως, ὁπωσδήποτε, καθ' ὅντινα οὖν τρόπον. ἔστι δὲ ῥηματικὴ ἡ λέξις. ἔστιν οὖν ὄνομα ἀμὸς ἰσοδυναμοῦν τῷ τις δωρικῶς, ὥς φησιν Ὅμηρος, τῶν ἀμόθεν γε θεὰ θύγατερ Διός, ἀντὶ τοῦ ἀπό τινος μέρους, καὶ ὥσπερ ἀπὸ τοῦ καλὸς γίνεται καλῶς ἐπίῤῥημα, οὕτω καὶ ἀπὸ τοῦ ἀμὸς ἐπίῤῥημα ἀμῶς, καὶ ἐν συνθέσει ἀμωσγέπως. ἀπὸ δὲ τοῦ ἀμὸς γίνεται ἀμόθεν, ἐξ οὗ καὶ τὸ οὐδαμόθεν ἐπίῤῥημα. ὥσπερ ἀπὸ τοῦ καλῶς ἐπιῤῥήματος γίνεται καλὰ ἐπίῤῥημα, οὕτως ἀπὸ τοῦ οὐδαμῶς οὐδαμὰ ἀντὶ τοῦ οὐδαμῶς.

Ἀμοθεί. τὰ εἰς πτι διὰ τοῦ ι, οἷον ἀστρεπτί, καὶ τὰ εἰς κτι, ἀσκαρδαμυκτί, πλὴν τοῦ ἀκηρυκτεί, καὶ τὰ εἰς στι, νεωστὶ ἀπὸ τοῦ νεάζω, μεγαληστὶ ἀπὸ τοῦ μεγαλίζω, καὶ τὰ εἰς τι λήγοντα ἐπιῤῥήματα ἅπαντα διὰ τοῦ ι γράφεται, οἷον ἀναιμωστί, ἀνωϊστί, ἱερωστὶ δίκην ἱερέως, ἀλογιστί, ἀφοριστί, ποδιστί, ἀμυστί, καὶ τὰ ἔχοντα τὸ β γ μ κ ν διὰ τοῦ ι, ἀβλαβὶ ἄνευ βλάβης, ἀποταγὶ, πανοικὶ, εὐδοκὶ, ποινὶ, νωνυμὶ ἀντὶ τοῦ ἀνωνύμως. σεσημείωται τὸ πανθοινεί. τὰ δὲ καθαρὰ ἢ ἔχοντα δ θ λ ξ μ ῥ χ διὰ διφθόγγου γράφεται, σπονδεῖ, σπουδεῖ, ἀμοθεῖ, ἀμοχθεῖ. σεσημείωται τὸ ἀμισθὶ, ἀσυλεὶ, ἀδμωλεὶ, πανωμιλεὶ, ἀναολεί. τοιοῦτον καὶ τὸ ἀμέλει, ἀναιμεὶ, πανδημεὶ, νηνεμεὶ, ἀτρεμεὶ, ἠρεμεὶ, αὐτολεξεὶ, ἀμε-

τρεὶ, ἀμερμηρεί. σεσημείωται τὸ αὐτοχειρὶ, ἀμαχεὶ, παμμαχεὶ, τριστοιχεὶ, τὸ πρωΐ, οὐκ ἐναντιοῦται ἀκαρεί. ἀωρὶ δὲ διὰ τοῦ ῑ. τὸ τριχῇ, τετραχῇ, καὶ διπλῇ, τετραπλῇ, τριπλῇ, καὶ ἑκασταχῇ, καὶ πανταχῇ, καὶ ἄλλη, καὶ πάντη, διὰ τοῦ ῃ.

Ἀμβάλλου, ὡς τὸ ἀμβαλλόμεθα.

Ἀμπεπαλὼν μετοχὴ δευτέρου ἀορίστου. οἱ γὰρ Ἴωνες ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς εἰώθασιν ἀναδιπλασιάζειν, λάχωσι λελάχωσι, λάθη, λελάθη δ' ὀδυνέων, παλὼν πεπαλὼν καὶ ἀμπεπαλών. Ὅμηρος,

ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.

Ἀμφιμέλαινα, ἐκ τοῦ μέλας μέλαντος. τὰ εἰς ας ὀνόματα περιττοσυλλάβως κλινόμενα τριγενῆ διὰ τοῦ ντ κλίνονται, οἷον μέλας μέλαντος, μελάντερον ἤ ὕτε πίσσα. τὰ δὲ σύνθετα ἐπεκράτησε διὰ μόνου τοῦ ν. πρόσκειται τὸ περιττοσυλλάβως διὰ τὸ μέγας μέγα καὶ λάας λάα. τὸ λαι δίφθογγον. τὰ διὰ τοῦ αινα θηλυκὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τῆς αι διφθόγγου γράφεται, οἷον μέλαινα, θεράπαινα, λέαινα, δράκαινα, μέλαινα. σημαίνει τρία, τὸ συνετὸν, μένεος δὲ φρένες ἀμφιμέλαιναι, τὸ βαθὺ, ὡς τὸ κρήνη μελάνυδρος, καὶ τὸ σκοτεινὸν, ἕλκων νύκτα μέλαιναν.

Ἀμολγῷ, τῷ μεσονυκτίῳ, καθ' ὃ οὐκ ἀμέλγουσι, ἢ παρὰ τὸ μολῶ πλεονασμῷ τοῦ γ μολγῶ, καὶ μετὰ τοῦ στερητικοῦ ᾰ ἀμολγῶ, ἐν ᾧ οὐδεὶς μολίσκει, ἢ ἐν καιρῷ ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ πρόβατα.

Ἀμὸς, ὁ ἡμέτερος, ὥσπερ ἀπὸ τοῦ σφέτερος γίνεται σφὸς δωρικῇ διαλέκτῳ, καὶ ἀπὸ τοῦ ὑμέτερος ὑμὸς, οὕτως καὶ ἀπὸ τοῦ ἀμέτερος ἀμός.

Ἀμύξεις. κινήσεις, λυπήσεις. ἀμύσσω ἀμύξω. τὸ δὲ ἀμύσσω γίνεται ἀπὸ τοῦ μυ ἐπιῤῥήματος, μύξω καὶ ἀμύζω, τὸ λίαν οἰμώζω. τὸ δὲ ξ τρέπεται

αἰολικῶς εἰς δύο σσ, καὶ γίνεται ἀμύσσω. ἢ παρὰ τὸ μυζεῖν τὸ ἐκθλίβειν τὴν ψυχήν.

Ἄμφηκες. ἀπὸ τοῦ ἧκω τὸ ἔρχομαι ἥκης καὶ ἀμφήκης, τὸ οὐδέτερον ἄμφηκες.

Ἀμφιλαφὲς, τὸ δασὺ, ἀμφιλαβὲς τι ὄν, τὸ ἑκατέρωθεν ληπτὸν, τροπῇ τοῦ β εἰς φ, ἢ παρὰ τὴν ἀφήν.

Ἄμφις. τοῦτο οὐ συγκοπὴ, ἀλλὰ μετασχηματισμός. ἀπὸ γὰρ τοῦ Ἀμφιάραος Ἄμφις παρ' Αἰσχύλῳ, ὥσπερ ἀπὸ τοῦ ἀστράγαλος ἄστρις, καὶ Ἰφιάνασσα Ἴφις, καὶ Θρασυκλῆς Θράσυλλος, καὶ Βαθυκλῆς Βάθυλλος ὑποκοριστικά. ταῦτα γὰρ μετασχηματισμοὶ καλοῦνται. ἐπεὶ οὖν συμφωνεῖ ἡ κατάληξις, οὐδέποτε τρισύλλαβος γίνεται συγκοπὴ, ἀλλ' οὐδὲ πάλιν ἀποκοπὴ, ἐπεὶ τὸ σ ἔχει τῆς τελευταίας συλλαβῆς. ὅπου γὰρ τῆς τελευταίας συλλαβῆς τηρηθῇ τὸ στοιχεῖον, οὐ λέγομεν ἀποκοπὴν, μετασχηματισμὸς δέ.

Ἄμβροτον. παρὰ τὸ ἀμαρτῶ ἀμαρτήσω ἥμαρτον καὶ ἐν ὑπερθέσει τοῦ ρ καὶ πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ α εἰς ο ἄμβροτον.

Ἁμαρτάνω ἐνεστὼς, ἡμάρτανον παρατατικὸς, ἁμαρτήσομαι μέλλων, ἡμάρτηκα παρακείμενος, ἥμαρτον δεύτερος ἀόριστος, ἀφ' οὗ μετοχὴ ὁ ἁμαρτών.

Ἀμφιαχυῖαν. ἰαχέω ἰαχῶ ἐνεστὼς, ἰαχήσω ὁ μέλλων, ἴαχον δεύτερος ἀόριστος, ἰαχὰ μέσος παρακείμενος, ἀφ' οὗ ἰαχυῖαν καὶ μετὰ τῆς ἀμφί ἀμφιαχυῖα.

Ἀμύγμων καὶ ἐν ἀφαιρέσει τοῦ γ ἀμύμων. ἀμύγμων δὲ λέγεται ὁ μὴ ἔχων τι τῆς μυγμῆς. μυγμὴ δὲ λέγεται ὁ διὰ τῶν μυκτήρων ἦχος ἤγουν τῶν ὑβριστῶν.

Ἄμμε αἰολικόν ἐστιν, ὡς δῆλον ἐκ τῆς βαρυτονήσεως καὶ τῆς ψιλώσεως καὶ τῆς τῶν ἀμεταβόλων διπλώσεως.

Ἀμβροσία ἢ ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ βροτὸς, ἣν οὐδεὶς ἔχει βροτὸς, πλεονάσαντος τοῦ ν
15b πρὸ τοῦ β διὰ ὄγκον φωνῆς, ὡς ἐν πολλοῖς γίνεται, ἢ μάλιστα ἐκ τοῦ ὑπεραναβαίνειν ῥοὴν, ἤγουν ὑπὲρ ἄνω εἶναι φθορᾶς. ὅτι δὲ καὶ ἀνάπαλιν νέκταρ μὲν παρά τισι λέγεται ἡ ξηρὰ ἐν θεοῖς τροφὴ, ἀμβροσία δὲ ἡ ὑγρὰ, ἀλλαχοῦ ἔστιν εὑρεῖν.

Ἄμμιν λέγουσιν οἱ Αἰολεῖς βαρύνοντες αὐτὸ καὶ συστέλλοντες τὴν λήγουσαν. Ἀπολλώνιος,

10 ἄμμι γε μὴν νόον ἔνδον ἀτύζεται.

Δωριεῖς δὲ ἁμὶν συστέλλοντες τὸ ῑ καὶ ὀξύνοντες. Θεόκριτος,

πολλαὶ δ' ἁμὶ κατὰ κρατὸς δονέοντο.

Ἴωνες δὲ, πολλάκις δὲ καὶ Ἀθηναῖοι, προπερισπῶσιν
15ἐν συστολῇ τοῦ ῑ. Ὅμηρος,

ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι.

Σοφοκλῆς Οἰδίποδι,

ὅπως λύσιν τινὰ ἧμιν ἐναγῆ πόροις.

Φρύνιχος Μύστῃ,

20 ἐβουλόμην ἂν ἧμιν ὥσπερ καὶ πρὸ τοῦ.

Ἀττικὰ δὲ παραδείγματα ταῦτα τὰ δύο. οἱ δ' αὐτοὶ παλαιοὶ φασι καὶ ὅτι τὸ ἡμεῖς ἅμες λέγουσιν οἱ Δωριεῖς, ἄμμες οἱ Αἰολεῖς. χρῆσις δὲ τοῦ ῥηθέντος ἧμιν καὶ ἐν Ὀδυσσείᾳ.

25 Ἀνακωχεύειν. τὸ ἐν πελάγει χειμῶνος ὄντος συστέλλαντος τὰ ὀθόνια σαλεύειν. σημαίνει καὶ τὸ ἀναχωρεῖν.

Ἀνακογχυλίσαι ὕδωρ καὶ ὕδατι. οἷον, ὕδωρ μοι τὶς δότω ἀνακογχυλίσαι. καὶ πάλιν, ἀνα-
30κογχύλισον ὕδατι.

Ἀνταναγνῶναι καὶ ἀντεξετάσαι βιβλίον. τὸ γὰρ ἀντιβάλλειν βάρβαρον.

Ἀνάρσιος ὁ σκληρὸς καὶ ἀνελεήμων. αἴρω τὸ ἐπαίρω, ὁ μέλλων ἀρῶ, αἰολικῶς ἄρσω, ἄρσιος καὶ

ἀνάρσιος, ὁ μὴ συναιρόμενος, μηδὲ συναντιλαμβανόμενος κατά τι.

Ἀναχασάμενος ἀπὸ τοῦ ἀναχάζω, ὃ σημαίνει τὸ ὑποχωρῶ.

Ἀναβέβρυκα, ἀναπέπωκα. εἰ δὲ ἀναβέβρυχέν ἐστιν ἀντὶ ἀναβρύει.

Ἀνδρόγεώ, ἀνδρόγεως. ἡ γενικὴ ἀνδρόγεω ὡς Μενέλεως Μενέλεω.

Ἀναψύχειν τοῦδε καὶ τόδε. οἷον, ἕλκος ἀναψύχοντα καὶ μακρὰν ἐλθών. τοῦ δὲ ἀναψύξαι θέλω.

Ἀναζυγῶσαι, τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης, τὴν θύραν ἀναζυγώσας.

Ἀναθέσθαι, τὸ μεταθέσθαι, ἀπὸ τῶν πετ- 16a
τόντων, καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούν-
των. Πλάτων δὲ τὸ μεταβουλεύσασθαι καὶ μεταγνῶναι. ἀναβὰς ἐπὶ τὸν ἵππον, καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, κατεδίωκε τὸν πατέρα.

Ἀναμνησθεὶς τοῦτο καὶ τούτου. οἷον, ταῦτ' ἂν ἐμνήσθητε. καὶ, τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθείς.

Ἀνέωγεν ἡ θύρα οὐχ Ἑλληνικὸν, ἀλλὰ ἀνέωγε τὴν θύραν ὅδε, ἢ ἀνέωκται ἡ θύρα. τὸ γὰρ ἀνέωγεν ἐνεργητικῷ ἰσοδυναμεῖ.

Ἀνέωγε μέσος παρακείμενος. ἀνοίγω ἀνοίξω ἤνῳχα, ὁ μέσος ἤνωγα, ὡς ἠνώρθουν καὶ ἠνώχλουν ἐπαυξήσει διπλῇ, προσθήκῃ τοῦ ε καὶ συστολῇ τοῦ η ἀνέωγα, ἀνέωγεν. εἰ δέ ἐστιν ἀπὸ τοῦ οἴγω καὶ οὐκ ἀπὸ τοῦ ἀνοίγω, κανόνισον οὕτως· οἴγω οἴξω ᾠχα ᾠγα, ἀττικῶς ἔωγα καὶ συνθέσει τῆς ἀνα ἀνέωγα.

Ἀνέχεσθαι τούτων καὶ τούτους καὶ ταῦτα. οἷον, μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθαι. καὶ, τίς δὲ ἀναχθήσεται ταῦτα.

Ἀνεῖλεν ἀντὶ ἐμαντεύσατο. σημαίνει δὲ καὶ τὸ ἐφόνευσεν. ἀνελεῖν δὲ τὸ μαντεύεσθαι ἢ ἀπὸ τοῦ ἄνω-

θεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. ἐπὶ δὲ τοῦ φονεύειν ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ ἐν βάθει πνεῦμα τοῦ ἀνδρὸς, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν γνῶσιν. λέγεται δὲ ἀνελεῖν τὸ ἀναλαβεῖν καὶ τὰ ἔκθετα βρέφη.

Ἀναποδίζειν, τὸ ἐξετάζειν καὶ ὡσανεὶ συγκρούειν. Ἡρωδιανὸς, ἀνερετῶν τε καὶ ἀναποδίζων τὸν κήρυκα. τὸ δ' αὐτὸ καὶ ποδίζειν ἔλεγον. ποδίζειν δὲ κυρίως τὸ τοῖς ποσὶ μετρεῖν τι χωρίον, καὶ τὸ σκιὰν μετρεῖν πρὸς ἣν ἐπὶ τὸ δεῖπνον ἐβάδιζον.

Ἀπεχρήσαντο, ἀντὶ τοῦ διέφθειραν. Πλάτων, ἐμαυτὸν οὐ διεχρησάμην.

Ἀνέχειν, τὸ ἐξέχειν καὶ προέχειν. Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ ἀνατέλλειν, καὶ ἀνέχοντας ἀντὶ κωλύοντας. Ἀριστοφάνης,

16b σὺ δ' οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.

Ἀναθέσθαι, ἀναλαβεῖν τὰ λελεγμένα καὶ μηκέτι ταῦτα λέγειν.

20 Ἀνηνέχθη ἀντὶ τοῦ ἀνήνεγμεν. Ἡρωδιανὸς, ἐκπλαγεὶς δὲ τούτοισιν ἐπὶ χρόνον ἄφθογγος ἦν, μόλις δὲ ἀνενεχθεὶς εἶπεν. Ὅμηρος,

μνησάμενος δ' ἀδινῶς ἀνενείκατο φώνησέν τε.

ἀντὶ τοῦ ἀθρόα καὶ ἐλεεινῶς ἀνεστέναξε καὶ ἀνέπνευσεν.

Ἀντιόωσαν ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, καί ἐστιν ὁμώνυμος ἡ λέξις. ὅτε γὰρ δηλοῖ τὸ ἀπολαύω, γενικῇ συντάσσεται, οἷον, ἀντιόων ταύρων τε καὶ αἰγῶν. ὅταν δὲ τὸ διοικῶ καὶ λαμβάνω, αἰτιατικῇ, ἐμὸν λέχος ἀντιόωσαν. ὅτε δὲ τὸ συναντῶ, δοτικῇ. ἔστι δὲ πλεονασμὸς τοῦ ω ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων κατὰ ποιητὰς βοάω βοῶ βοόω, κομάω κομῶ κομόω, ἀντιάω ἀντιῶ ἀντιόω.

Ἀνιῶμαι διὰ ταύτας καὶ ἐπὶ ταύταις καὶ τούτων ἕνεκα.

Ἀνιστάμενος ἔωθεν. καιτοὶ φησὶ μὴ λέγεσθαι ἀνίστασθαι ἐπὶ τῶν ἀφυπνισμένων, ἀλλὰ μόνως ἐγείρεσθαι, εἰ μὴ ἄρα προσυπακουστέον ἀνιστάμενος ἐκ τῆς κλίνης.

Ἄνακοι, οἱ Διόσκουροι παρὰ τοῖς Ἀττικοῖς παρὰ τὸ ἀνάσσω ἄνακος, ὡς φυλάσσω φύλακος, μαλάσσω μάλακος, ἢ ὅτι ἀνακῶς ὅ ἐστι φιλανθρώπως ἐχρήσαντο τοῖς Ἀθηναίοις, ἢ ὅτι τοὺς πλέοντας σώζουσιν ἀστέρες ὄντες ἄνω καὶ ἑκὰς ἡμῶν ὄντες. καὶ τὸ ἄνω δὲ συνθέτως εἴωθεν ἀττικῶς ἀνακῶς καλεῖν.

Ἀνακῶς, ἐπιμελῶς καὶ πεφροντισμένως καὶ πεφυλαγμένως, ἀπὸ τῆς γενικῆς εἰς εὐθεῖαν ἐνεχθείσης, ὡς φύλαξ φύλακος ὁ φύλακος, ἀπὸ τῶν ἀνάκτων, οἷς φροντίδες εἰσὶ τῶν ὑπηκόων. ἀπὸ τῆς ἄνακος δὲ εὐθείας σχηματίζεται, ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων ἀρσενικῶν οὐ ποιεῖ ἐπίῤῥημα εἰς ως, οὔτε γὰρ ἀπὸ τοῦ φύλαξ ἢ ἅρπαξ ἢ ἄναξ γίνεται ἐπίῤῥημα.

Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον, σημαίνει δὲ τὸ πορθῶ καὶ δαπανῶ, ἐξ οὗ καὶ ἀνάλωμα. ἔστιν οὖν ἄλεν, ὃ σημαίνει τὸ ἀθροῦν, οἷον, ἢ χειμέριον ὕδωρ ἄλεν. ἐξ οὗ ῥῆμα ἀλῶ, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀαλῶ, τοῦτ' ἔστι τὰ συνηθροισμένα διασκορπίζω, καὶ πλεονασμῷ τοῦ ν ἀναλῶ, ὡς αἴτιος ἀναίτιος. ἐκ δὲ τοῦ ἀναλῶ παράγωγον ἀναλίσκω. ἢ παρὰ τὸ ἅλις ἐπίῤῥημα.

Ἀναθηλήσει παρὰ τὸ ἀναθηλῶ, ἢ παρὰ τὸ θάλλω, ὁ μέλλων θαλῶ καὶ θαλήσω.

Ἀναπνεύσουσιν. πνέω, ὁ μέλλων πνεύσω καὶ ἀναπνεύσω πλεονασμῷ τοῦ υ κατὰ τὸν μέλλοντα. ἔστι δ' ὅτε κατὰ τὸν ἐνεστῶτα, ὡς τὸ χεύω καὶ θεύω τὸ τρέχω.

Ἀνασχέσθαι. ἀνέχω, ἀνέξω, ὁ δεύτερος ἀόριστος ἀνέσχον πλεονασμῷ τοῦ σ, ὁ μέσος δεύτερος ἀόριστος ἀνεσχόμην ἀνέσχου ἀνέσχετο, ἀνασχέσθαι.

Ἀναδούμενος. δέω, δέομαι, δεόμενος, κατὰ συναίρεσιν ἀναδούμενος.

Ἀναῤῥιχᾶσθαι. ἀναῤῥιχάω, ἀναῤῥιχῶ, ἀνηῤῥίχαον ἀνηῤῥίχων. σημαίνει δὲ τὸ ἀναδίδοσθαι τὸ ὕδωρ καὶ οἱονεὶ τρόπον ἀράχνης ταῖς χερσὶ καὶ τοῖς ποσὶ ἀντιλαμβανόμενον ἀνιέναι πρὸς τὸ πρόσαντες. ἀραχνιῶ οὖν ἀραχνιᾶσθαι καὶ ἀναῤῥιχᾶσθαι. ἢ ὅτι ῥίον τὸ ἀκρωτήριον, ἐκ τούτου γίνεται ῥιᾶσθαι ἀναῤῥιᾶσθαι καὶ ἀναῤῥιχᾶσθαι.

Ἀναίνετο. ἀπηρνεῖτο. ὥσπερ παρὰ τὸ λιπῶ λιπαίνω, καὶ ὁρμῶ ὁρμαίνω, καὶ ὑφῶ ὑφαίνω, οὕτω καὶ παρὰ τὸ ἀρνῶ, ἐξ οὗ καὶ τὸ ἀρνοῦμαι, γίνεται ἀρναίνω, καὶ ἐνδείᾳ τοῦ ρ ἀναίνω ἀναίνομαι. ἢ παρὰ τὸ ναιὸν καταφαντικὸν ἐπίῤῥημα ναίνω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀναίνω. ἢ παρὰ τὸ αἰνῶ ἀναίνω, τὸ οὐκ ἐπαινῶ οὐδὲ συγκατατίθεμαι.

Ἄνεται, τελειοῦται. ἐκ τοῦ ἄνω τοῦ σημαίνοντος τὸ πράττω καὶ τελείω, τὸ παθητικὸν ἄνομαι, τὸ τρίτον ἄνεται.

17b Ἀνέργεν. ἐκ τοῦ εἴργω εἶργον εἶργεν ἐν διαλύσει τῆς ει διφθόγγου ἔεργε ἔεργεν καὶ ἀνέεργε τὸ ἐκώλυεν.

Ἀνέπαλτο. πάλλω τὸ πηδῶ, πάλλομαι, ἐπαλλόμην ἐπάλλου ἐπάλλετο, καὶ συγκοπῇ ἔπαλτο καὶ ἀνέπαλτο.

Ἀνέδεντο. δέω, δέσω, δέδεκα, ἐδεδέμην, ἐδέδεντο, καὶ συγκοπῇ τοῦ δε ἀνέδεντο.

Ἀνεωγμένος. οἴγω, οἴξω, ᾠχα, ᾠγμαι, καὶ πλεονασμῷ τοῦ ε ἀττικῶς ἔωγμαι, ὡς ὠνημένος ἐωνημένος, καὶ ἐν συνθέσει ἀνέωγμαι ἀνεωγμένος.

Ἀνέσχεθεν. ἀνέτεινε. σχέθω τὸ κωλύω, ἔσχεθον ἔσχεθε καὶ ἀνέσχεθεν.

Ἀνέσταν. ἵστημι, ὁ δεύτερος ἀόριστος ἔστην, τὸ τρίτον τῶν πληθυντικῶν ἔστησαν, καὶ κατὰ συγκοπὴν αἰολικῶς ἔσταν καὶ ἀνέσταν.

Ἀνεκτὰ, ἀνασχετά. ἐκ τοῦ ἀνέχω, ἀνέξω, ἀνεῖχα, ἀνεῖγμαι ἀνεῖξαι ἀνεῖκται, καὶ ἀφαιρέσει τοῦ ῑ ἀνεκτὸς καὶ ἀνεκτά.

Ἀνήνηται. ἀναίνω ἀνανῶ, ὁ ἀόριστος ἤνηνα, ὁ μέσος ἠνηνάμην, τὸ ὑποτακτικὸν ἐὰν ἀνήνωμαι παθητικόν. ὁ κανὼν, πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ πρώτου προσώπου τὸ μ̄ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μαι̯, καὶ ἐν τῇ παραληγούσῃ προσλαμβάνον τὸ ω̄ μέγα, ὑποτακτικὸν παθητικὸν ποιεῖ.

Ἀνῆμεν. ἵημι, μέλλων ἥσω, ἀόριστος ἧκα καὶ ἀνῆκα. σεσημείωται τὸ ἔθηκα, ἔδωκα, ἧκα. τῶν πληθυντικῶν τὸ πρῶτον ἀνήκαμεν, συγκοπῇ ἀνῆμεν, ἢ ὁ δεύτερος ἀόριστος ἀνῆν, τὸ πληθυντικὸν ἀνῆμεν.

Ἀνήη. μελίφρων ὕπνος ἀνήη. ἀνίημι, ὁ δεύτερος ἀόριστος ἀνῆν, ἡ μετοχὴ ἀνεὶς ἀέντος, τὸ ὑποτακτικὸν ἐὰν ἀνῶ, τὸ τρίτον ἐὰν ἀνῇ, πλεονασμῷ τοῦ η̄ ἀνήῃ.

Ἀνοχλίζω, τὸ ἀνέχω, παρὰ τὸ ὄχλος. τοῦτο παρὰ τὸ εἰλῶ τὸ συστρέφω.

Ἀναστὰς καὶ ἀνστὰς, ἀναστάντες καὶ ἀνστάντες.

Ἄνωγε. τὸ θέμα ἀνωγῶ συζυγίας πρώτης τῶν περισπωμένων. γίνεται δὲ παρὰ τὸ ανα̯ τὸ ἐγκε- 18a λευσματικὸν ἐπίρρημα, ἢ παρὰ τὸ ἄγω, ἀγὴ, ἀγωγὴ, καὶ ἀνωγὴ, ἡ ἐγκέλευσις, δι' οὗ ἄγομέν τι καὶ φέρομεν. ἀνωγῶ οὖν, ὁ παρατατικὸς ἠνώγουν, τὸ τρίτον ἠνώγει, ὁ ἀόριστος ἠνώγησα, ὁ δεύτερος ἀόριστος ἤνωγον ἤνωγε, κατὰ συστολὴν ἰωνικὴν ἄνωγε.

Ἄνωχθι, ἐνεστῶτος καὶ παρατατικοῦ παρὰ τὸ ἀνωγῶ ἀνώγημι, τὸ προστακτικὸν ἀνώγηθι. τροπῇ οὖν τοῦ γ̄ εἰς χ̄ καὶ συγκοπῇ ἄνωχθι.

Ἀναπεμπάζεσθαι. ἐπαναλαμβάνεσθαι ἢ ἀναλέγεσθαι. ἐκ τοῦ πέμπω.

Ἀνόρουσεν. ἀνώρμησεν, ἀνέστη. ἔστιν ὄρω τὸ διεγείρομαι, οὗ ὁ μέλλων αἰολικῶς ὄρσω, οἷον, ὄρσεο Λαομεδοντιάδη. τοῦτο τὸ ὄρω γίνεται κατὰ παραγωγὴν ὀρύω καὶ πλεονασμῷ τοῦ ō ὀρούω, ὁ μέλλων ὀρούσω, ὁ ἀόριστος ὄρουσα ποιητικῶς, καὶ ἐν συνθέσει ἀνόρουσα. οἱ γὰρ Ἴωνες συναρχομένους ποιοῦσι τοῖς ἐνεστῶσι τοὺς παρῳχημένους.

Ἀντικρὺ, τὸ ἐξεναντίας. παρὰ τὸ ἀντί πρόθεσιν καὶ τὸ κάρα, ἀντικαρὺ, καὶ ἀντικρὺ κατὰ συγκοπήν.

Ἀντίπαλος. ὁ ἐναντίος, ἢ ὁ ἀντιπαλαίων ἢ ὁ κατὰ πάλον τοῦτ' ἔστι κλῆρον ἐναντιούμενος.

Ἀντιβολῆσαι. ἀπαντῆσαι, μετασχεῖν. μολῶ τὸ ἔρχομαι, μολήσω, μολῆσαι, καὶ μετὰ τῆς ἀντί ἀντιμολῆσαι, καὶ τροπῇ τοῦ μ̄ εἰς β̄ ἀντιβολῆσαι. σημαίνει δὲ καὶ τὸ ἱκετεύω καὶ δυσωπῶ, καὶ γίνεται παρὰ τὸ βάλλω καὶ τὴν ἀντί πρόθεσιν. ἢ μᾶλλον παρὰ τὸ ἀντίος. ἔξωθεν δὲ κλίνεται, ἐπειδὴ τούτου τὸ ἁπλοῦν οὐκ ἔστι ῥητόν.

Ἄντα. ὥσπερ ἀπὸ τοῦ ὠκέα γίνεται ὦκα, καὶ κραταιὰ κράτα, καὶ καθ' ὑπερβιβασμὸν κάρτα, καὶ σαφέα σάφα, οὕτως καὶ ἀντία, οἷον,

ἀντία Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα,

καὶ κατὰ συγκοπὴν ἄντα. ἢ παρὰ τὸ ἀντῶ ἄντα, ὡς ἠρεμῶ ἠρέμα, καὶ σιγῶ σίγα.

18b Ἀνωϊστί. ἀπροσδοκήτως παρὰ τὸ οἴω, ὅπερ καὶ οἴω λέγεται, οἰόμενον θανέεσθαι, καὶ, οἴσατο θεὸν εἶναι, γίνεται οἴστι καὶ ἐκτάσει τοῦ ō εἰς ω̄ ὠϊστι, καὶ ἐν συνθέσει ἀνωϊστί. ἐκ δὲ τοῦ οἴω οἴστὸς καὶ ἀνώϊστος κατ' ἔκτασιν. ἢ ἐκ τοῦ ὤϊσμαι ὠϊστι καὶ ἀνωϊστι, ἵν' ἔχῃ μέγα τὸ ō, ὡς κεκύλισται κυλιστὶ κατακυλιστί.

Ἄνα.

ἀλλ' ἄνα, εἰ μέμονάς γε, καὶ ὀψέ περ υἷας Ἀχαιῶν.

ἀπὸ τοῦ ἀνάστηθι ὅλη ἡ λέξις ἀπεσπάσθη, οὐκ ἔστιν ἀποκοπὴ ἐπὶ τῶν τοιούτων.

Ἄνεται. τελειοῦται. ἐκ τοῦ ἄνω τοῦ σημαίνοντος τὸ πράττω καὶ τελειῶ τὸ παθητικὸν ἄνομαι, τὸ τρίτον ἄνεται.

Ἀνελίννυον. ἐνδίδωμι, ἀναπαύομαι, παρὰ τὸ εἰλῶ, ἵν' ᾖ τὸ ἐν αὐτῷ εἰλῆσθαι, εἰλῶ, εἰλίνω, καὶ ἐλίνω καὶ ἐλιννύω. εἰς δὲ τὸ ῥῆμα εὗρον σημαίνειν τὴν λέξιν τὸ στρατεύειν διατρίβοντας ἢ ἐγχρονίζοντας. ἐλίννυον, διέτριβον, ἀνεστρέφοντο, περιεφέροντο, ἀπὸ τοῦ λίνου εἴρηται·

δηρὸν δ' ἀνελίννυον αὖθι μένοντες.

Ἀνῃρήσθω. κανόνισον ἀναιρέω ἀναιρῶ, ὁ μέλλων ἀναιρήσω, ὁ παρακείμενος ἀνῄρηκα, ὁ παθητικὸς ἀνῄρημαι, ὁ ὑπερσυντέλικος ἀνῃρήμην ἀνῄρησο ἀνῄρητο, καὶ τὸ προστακτικὸν ἀνῃρήσθω ἀνῃρήσθω.

Ἄνεργε. ἀπὸ τοῦ εἴργε, καὶ ἐν διαιρέσει ἔεργε καὶ μετὰ τῆς ἀνά προθέσεως ἀνέργε ἄνεργε.

Ἄναξ, ἄνακτος, ἄνακτι. ἐκ πλεονασμοῦ κεῖται τὸ τ, ὡς καὶ ἀλλαχοῦ φαίνεται. Ἡρακλείδης δηλῶν εἶπε ὅτι Κύπριοι καὶ Ἀττικοὶ παρεντιθέασι ῥήμασι καὶ ὀνόμασι τὸ τ. τὴν πόλιν πτόλιν λέγουσι καὶ τὸν πόλεμον πτόλεμον. οἱ αὐτοὶ καὶ ἐν τῷ ἄνακτος καὶ νυκτὸς, καὶ ἐν τῷ ἀνύω ἀνύτω, ὅθεν καὶ Ἄνυτος κυρίως, καὶ ἐν τῷ ἀρύω ἀρύτω.

Ἀναβαίνειν. οὕτω καὶ ἀνάγεσθαι τὸ ἐκ τοῦ λιμένος ἀναπλέειν, οὗ τὸ ἀνάπαλιν καταπλέειν τε καὶ κατάγεσθαι, ὡς ἄνω γῆς κειμένου, καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος διὰ τὸ ὑψοῦ κεῖσθαι.

Ἀνακλῖναί ἐστιν ἀνοῖξαι, ἐπεὶ κλῖναι τὸ κλεῖσαί ἐστιν. 19a

Ἀνδάνειν. ἀπὸ τοῦ ἄδω γίνεται καθ' ὁμοιότητα τοῦ λάβω λαμβάνω καὶ τῶν ὁμοίων, οὗ δὴ ἄδω χρῆσις καὶ παρ' Ὁμήρῳ ἐν τῷ ἄδε δ' Ἕκτορι μῦθος ἀπήμων.

Ἀναίνεσθαι ταυτόν ἐστι τῷ μὴ αἰνεῖν ἤγουν συναινεῖν καὶ συγκατατίθεσθαι, ἢ παρὰ τὸ ἀ στερητικὸν καὶ τὸν αἶνον, ὃ δηλοῖ συγκατάθεσιν, ὅθεν συναίνεσις.

Ἀνήνασθαι δηλοῖ μὲν τὸ ἀρνήσασθαι, γίνεται δὲ ἀπὸ τοῦ ἀναίνω. αὐτὸ δὲ κατὰ μέν τινας ἀπὸ τοῦ ἀ στερητικοῦ καὶ τοῦ ναὶ, ἵνα εἴη ἀναίνεσθαι τὸ μὴ διὰ τοῦ ναι ἐπιῤῥήματος κατατίθεσθαι. κατὰ δὲ ἑτέρους ἀπὸ τῆς ἀ στερήσεως καὶ τοῦ αἶνος, ὃ δηλοῖ τὴν συγκατάθεσιν.

Ἄξετε ἀντὶ τοῦ ἀγάγετε, οἷον,

ἄξετε δὲ Πριάμοιο βίην, ὅφρ' ὅρκια τάμνῃ.

αὐτὸς ὁ ἄξω μέλλων ἀνέδραμεν εἰς ἐνεστῶτα, ὡς τὸ ἀπεβήσετο παρατατικὸς ἐκ τοῦ βήσω, ἐνεστὼς βήσω καὶ βήσομαι, καὶ ὡς τὸ νίω νίσω ἐνεστὼς, οἷον, κεινὴ τῇ κεφαλῇ τῇ νίσεται, ἀντὶ τοῦ ἐκεῖ πορεύεται, οὕτως ἄξετε ἀντὶ τοῦ ἄγετε.

Ἄξον. ἄγω τὸ κλάω, ὁ μέλλων ἄξω, ἦξα, καὶ τὸ προστακτικὸν ἄξον.

Ἀοιδὸς ἀειδέμεναι. προκατάρχει ῥῆμα τὸ ἀείδω. ἔφαμεν δὲ ὅτι ἔθος ἔχουσιν οἱ ποιηταὶ παρατιθέναι τὰ ὀνόματα τοῖς ἀφ' ὧν γεγόνασι, οἷον πόλις πεπόλιστο, μάχην ἐμάχοντο, βοῦς βουκολέεσκεν, οὕτω καὶ ἐνταῦθα ἀοιδὸς ἀειδέμεναι. ἀείδω ἀοιδὸς, ἀπὸ τούτου καὶ τὸ ἀοιδὴ θηλυκὸν, ἀοιδός. ἐκεῖνο μὲν γὰρ ἐπιθετικὸν, τοῦτο δὲ ἐπιγράμματος. ἐπεὶ δ' ἅπαξ πέπονθε συναλοιφὴν τὸ ἀείδω γενόμενον ἄδω, οὕτω καὶ τὸ ἀοιδὸς ᾠδὸς καὶ ἀοιδὴ ᾠδή. ἀπὸ τούτου τὸ ἀοιδῶ, εἶτα ὡς τὸ κνήθω κνηθιῶ, ἀτῶ ἀτιῶ, μείδω μειδιῶ, οὕτως ἀείδω ἀοιδῶ ἀοιδιῶ. Ὅμηρος,

ἡ δ' ἔνδον ἀοιδάουσ' ὀπὶ καλῇ ἱστὸν ἐποιχομένη χρυσείη κέρκιδ' ὕφαινεν.

καὶ, καλὸν ἀοιδάει. πεποίηκε καὶ ἄλλο παράγωγον διὰ τοῦ ιμος τὸ ἀοίδιμος. τὸ δὲ ἀειδέμεναι ποιη- 19b
τικὴ παραγωγὴ, οὐ δωρικὴ διάλεκτος. τὸ γὰρ λακωνικόν ἐστιν ἀείδειν, οὐ ἀείδεν, μὴ δ' ἐμ' ἀείδειν ἀπέρυκε. κατὰ δὲ τὸν ἐνεστῶτα τὰ εἰς ν λήγοντα5
οὐ ποιοῦσι παραγωγὴν Δωριεῖς.

Ἀοσσητήρ. ὁ σπουδαῖος βοηθὸς καὶ δίχα ὄσσης ἀρήγων.

Ἀπαμείρεται. ἀποκεχώρισται ἐκ τοῦ μείρω τὸ μερίζω καὶ μετὰ τοῦ ᾱ ἐπιτατικοῦ ἀμείρω καὶ ἐν συν-10
θέσει ἀπαμείρω.

Ἀπέκτατο. κτῶ τὸ φονεύω, παράγωγον κτῆμι, ἔκταμαι, ἐκτάμην ἔκτασο ἔκτατο καὶ ἀπέκτατο.

Ἀπεμυθεόμην. ἀπηγόρευον, ἐκώλυον. μυθέω μυθῶ. 15

Ἀπεμόρξατο. ἐκ τοῦ ἀμέλγω ἀμέλξω ἤμελξα ἠμέλξατο τροπῇ τοῦ ε̄ εἰς ο̄ καὶ τοῦ λ̄ εἰς ρ̄ ἀπεμόρξατο.

Ἀπεστύπαζον. τύπτω τυπτάζω, ὡς κύπτω κυπτάζω, ἀποβολῇ τοῦ τ̄ καὶ πλεονασμῷ τοῦ σ̄ στυ-20
πάζω καὶ ἀπεστύπαζον.

Ἀπεβήσατο. βῶ βῆμι, βήσω, εἶτα μετάγεται εἰς ἐνεστῶτα βήσω βήσομαι ἐβησόμην ἐβήσετο καὶ ἀπεβήσετο.

Ἀπέκτονε. κτείνω, κτενῶ, ὁ δεύτερος παρα-25
κείμενος ἔκτονα καὶ ἀπέκτονα καὶ ἀπέκτονεν.

Ἀπέχθηται. ἀπέχθω, ἀπῆχθον, ἐὰν ἀπέχθωμαι ἐὰν ἀπέχθῃ ἐὰν ἀπέχθηται.

Ἀπέφθιθον. ἀπὸ τοῦ φθίθω ὁ παρατατικὸς ἔφθιθον καὶ ἀπέφθιθον. 30

Ἀπεκαίνυτο. καίνω καινύω καίνυμι καίνυμαι, ἐκαινύμην ἐκαίνυσο ἐκαίνυτο, ἀπεκαίνυτο, ὡς ὄρω ὄρνω ὀρνύω ὄρνυμι.

Ἀπέστη τούτων, καὶ ἀπέστη τούτους, καὶ ἀπέστη ἀπὸ τούτων, οἷον, ἀπέστη Μεσήνη ἀπὸ Ἀθη-35

νῶν, καὶ, ἀπέστη Εὔβοια Ἀθηνῶν, καὶ, μεσημβρίας τούτους ἀφεστήκασιν.

Ἀπεβουκόλησα. παρὰ τὸ βουκολῶ. τοῦτο παρὰ τὸ βουκόλος. τοῦτο παρὰ τὸ βοῦς καὶ τοῦ κονῶ, ὃ σημαίνει τὸ ἐνεργῶ. σημαίνει δὲ τὸ ἀποπλανῶ.

20a Ἀπέδου. κανόνισον, δίδωμι, ὁ μέλλων δώσω, ὁ δεύτερος ἀόριστος ἔδων, ὁ μέσος παθητικὸς ἐδόμην, τὸ δεύτερον ἔδοσο καὶ ἔδου καὶ μετὰ τῆς ἀπό προθέσεως ἀπέδου.

Ἀπενίζοντο. ἔστι νίπτω. τοῦτο κατὰ τροπὴν δωρικὴν γίνεται νίζω. οἱ γὰρ Δωριεῖς τὰ εἰς πτω λήγοντα ῥήματα ποτὲ μὲν εἰς δύο σσ, ποτὲ δὲ εἰς ζ τρέπουσιν.

Ἀπένεικας. ἐνέγκω τροπῇ τοῦ γ εἰς ι ἐνείκω, ἔνεικα ἔνεικας καὶ ἀπένεικας.

Ἀπεχθήρω. ἐχθαίρω, ἐχθαρῶ, ἤχθηρα, ἐὰν ἐχθήρω, καὶ ἀπεχθήρω.

Ἀπηνήνατο. ἀναίνω, ἀνανῶ, ἤνηνα, ἠνηνάμην ἠνήνατο καὶ ἀπηνήνατο.

Ἀπῆμεν. ἀπὸ τοῦ εἶω τὸ πορεύομαι ὁ μέσος παρακείμενας εἶα, ἐν διαλύσει καὶ τροπῇ τοῦ ε εἰς η ἦα, τὸ πληθυντικὸν ἦαμεν καὶ συγκοπῇ ἦμεν καὶ ἀπῆμεν καὶ προῆμεν, οἷον, προῆμεν τῇ βουλῇ. τὸ δὲ δεύτερον ἦτε καὶ ἀπῆτε. καὶ ταῦτα βεβουλευμένοι ἀπὸ τῶν ἐχθρῶν ἀπῆτε. τούτου τοῦ ἦα ὁ ὑπερσυντέλικος ἤειν. ἐξ οὗ τὸ ἀπήειν, ἐξήειν, παρήειν. τὸ τρίτον τῶν πληθυντικῶν ἤεισαν καὶ συστολῇ ἦεσαν καὶ ἀπήεσαν καὶ ἐξήεσαν. οὕτω καὶ τὸ εἰώθεσαν καὶ ἤθεσαν ἰωνικῶς. τὸ δὲ ἤομεν παρατατικὸς καὶ οὐχ ὑπερσυντέλικος.

Ἀπήχθετο. ἐμισεῖτο. ἔχω ἔχθω ἔχθομαι, ἤχθετο καὶ ἀπήχθετο.

Ἀπηνήνατο. ἔστιν ἐπίῤῥημα καταφάσεως ναί, καὶ ἐξ αὐτοῦ ῥῆμα ναίνω καὶ μετὰ τοῦ στερητικοῦ α ἀναίνω τὸ ἀπαρνοῦμαι καὶ ὁ ἀόριστος ἐνεργητικὸς

ἤνηνα καὶ ὁ μέσος ἠνηνάμην ἠνήνατο, καὶ μετὰ τῆς ἀπό προθέσεως ἀπηνήνατο.

Ἀποφθίμενος. φθίω φθίσω, τὸ παθητικὸν φθίομαι φθίμενος κατὰ συγκοπὴν καὶ ἀποφθίμενος.

Ἀποβλύζω. ἀπεμῶ. τὸ βλύζω ἐκ τοῦ βάλλω βλῶ βλύζω.

Ἀπόερσεν. ἀπένιξε, διέφθειρεν. ἔῤῥω τὸ φθείρω, ὁ μέλλων ἐρῶ, ὁ αἰολικὸς ἔρσω, ὁ ἀόριστος ἔρσα, ἔρσας, ἔρσε καὶ ἀπόερσεν.

Ἀπομηνίσας. μηνίω, μηνίσω, ἐμήνισα, μηνίσας, ἀπὸ τοῦ μῆνις.

Ἀπολαύω. τὸ θέλω παράγωγον λαύω, ὡς χρῶ χράω, ψῶ ψάω, καὶ ἀπολαύω.

Ἀπὸ ἔθεν. ἐμὲ σὲ ἓ τρίτον πρόσωπον καὶ πλεονασμῷ τοῦ θεν ἀττικῶς ἐμέθεν σέθεν ἕθεν. ἐπεὶ οὐ ἕθεν ἐστὶ χερείων.

Ἀπολυμαίνεσθαι. λύματα τὰ καθάρσια ἢ καὶ αὐτὸ τὸ ῥύπος παρὰ τὸ λυμαίνω τὸ ὑποκείμενον. ἀπὸ γοῦν τοῦ λύμα λυμαίνω καὶ ἀπολυμαίνω. φύσει γοῦν ὕδωρ τῆς θαλάσσης καθαρτικόν ἐστι, καὶ τὰ περιττώματα εἰς τὴν ἀπέριττον θάλασσαν βάλλεται. τὸ δὲ λυμῶ ἐκ τοῦ ῥύττω, αἰολικῶς ῥύσσω, ἔρυμαι, ῥύμα καὶ λύμα.

Ἀπόφασθε. φημὶ τὸ λέγω, φήσω, πέφηκα, πέφαμαι, ἐφάμην ἔφασο ἔφατο. ἐκ δὲ τοῦ ἔφασο τὸ προστακτικὸν φάσο, φάσθω, φάσθε καὶ ἀπόφασθε.

Ἀποσχήσει. ἀποχωρίσει, ἀποδιώξει. ἔχω, ἔσχον, σχῶ, σχήσω, μεταβαλλομένου εἰς ἐνεστῶτα τοῦ δευτέρου μέλλοντος, καὶ ἀποσχήσω, τῆς ἀπό χωρισμὸν δηλούσης.

Ἀπόστιχε. ἀπαλλάσσου, ἀναχώρει, στίχω, ἔστιχον ἔστιχες ἔστιχε, τὸ προστακτικὸν στίχε καὶ ἀπόστιχε.

Ἀποκαίνυμαι. νικῶ ἀπὸ τοῦ καίνω τὸ φονεύω, καινύω καίνυμαι καὶ ἀποκαίνυμαι. μεταφορικῇ

ἡ λέξις. ἢ παρὰ τὸ αἴνυμι τὸ λαμβάνω. αἴνυνται γὰρ καὶ λαμβάνουσιν ἆθλον οἱ νικῶντες.

Ἀποφθίσθω. φθίω, φθίσω, ἔφθικα ἔφθιμαι, ἐφθίμην ἔφθισο. τὸ προστακτικὸν φθίσω φθίσθω καὶ ἀποφθίσθω.

Ἀπώνατο. ἀπὸ τοῦ ὀνῶ ὀνήσω, ὤνησα ὠνησάμην, ὠνάμην, κατὰ συγκοπὴν, ὤνω ὤνατο καὶ ἀπώνατο. ἢ ὄνημι συζυγίας δευτέρας τῶν περισπωμένων, ὡς ἵστημι, τὸ παθητικὸν ὄναμαι, ὁ παρατατικὸς ὠνάμην ὤνασο ὤνατο, καὶ συνθέσει ἀπώνατο.

Ἀπάνευθεν. ἄνευ, ἄνευθεν, καὶ ἀπάνευθεν.

Ἀπάτερθεν. ἄποθεν καὶ χωρίς. ἀπὸ τοῦ ἄτερ ἐπιῤῥήματος ἄτερθεν ἀπάτερθεν. 21 a

Ἀποπτύω. ἀπὸ τοῦ πέτω πετύω καὶ συγκοπῇ πτύω.

Ἀπόχρη σημαίνει τὸ ἀρκεῖ, ἀπὸ τοῦ χρῶ ῥήματος τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται χρῆμι χρῆς χρῆσι καὶ κατὰ ἀποκοπὴν χρή. οὐ χρὴ παννύχιον εὕδειν. καὶ ἐν συνθέσει ἀπόχρη.

Ἀπούρας. ἀφελόμενος. ἔστιν αὐρῶ τὸ ἀπολαύω, αὐρήσω, ἠύρησα, ὁ αὐρήσας, καὶ κατὰ συγκοπὴν αὔρας, τροπῇ τοῦ ᾱ εἰς ō καὶ ἐν συνθέσει ἀπούρας. οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ὅρους τινῶν ἀπουρίσας καὶ ἐν συγκοπῇ ἀπούρας.

Ἀπεοικότα. ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ.

Ἀπερωήσειαν, καὶ λῦσαι ποιήσειας. ἀπὸ τοῦ ἐρωή. τοῦτο παρὰ τὸ ἐρωῶ ἐρωήσω.

Ἄπεσαν. ἀπέβαλον. διὰ τί προπαροξύνεται; πᾶν ῥῆμα εἰς αν λῆγον χρόνῳ βραχεῖ παραλήγει, ἁπλοῦν ἢ σύνθετον, ὅ ἐστι ῥῆμα δισύλλαβον, παροξύνεται, εἰ μὴ δωρικὸν εἴη. προπεπερισπᾶται δὲ μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἄπεσαν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, τὸ δὲ ἀπεῖσαν οὐκέτι.

Ἀποσφήλειε. μέγα δὲ σφέας ἀποσφήλειε πόνοιο, οἷον ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιήσῃ.

τοῦ ἔργου. σφάλλω, ἔσφηλα καὶ ἔσφαλα, ἡ μετοχὴ ο σφήλας τοῦ σφήλαντος. τὸ εὐκτικὸν σφήλαιμι σφήλαις σφήλαι καὶ σφήλειεν. ἢ οὕτως· σφάλλω σφαλῶ ἔσφηλα, ἰωνικῶς σφήλεια. ἀπὸ γὰρ τῶν ἐνεργητικῶν ὁριστικῶν πρώτων ἀορίστων οἱ Ἴωνες προσόδῳ τῆς ει διφθόγγου καὶ συστολῇ τῆς ἀρχούσης ἴδιον εὐκτικὸν ποιοῦσιν, ἔτυψα τύψεια, ἔσφηλα σφήλεια, καὶ σφήλειε καὶ ἀποσφήλειεν.

Ἀποθρέξῃ. κανόνισον· τρέχω, ὁ μέλλων θρέξω, καὶ ὁ μέσος μέλλων πρῶτος θρέξομαι θρέξῃ θρέξεται, καὶ μετὰ τῆς ἀπό προθέσεως ἀποθρέξῃ.

Ἀποφῆναι. κανόνισον· ἀποφαίνω, οὗ ὁ μέλλων ἀποφανῶ, ὁ ἀόριστος ἀπέφηνα, καὶ τὸ ἀπαρέμφατον ἀποφῆναι.

Ἀποκεκόψονται. κανόνισον· ἀποκόπτω, ὁ μέλλων ἀποκόψω, ὁ παρακείμενος ἀποκέκοφα, ὁ παθητικὸς ἀποκέκομμαι, ὁ μετὰ ταῦτα μέλλων ἀποκεκόψομαι. 21b

Ἀπηλλάγην. κανόνισον· ἀπαλλάττω, ὁ μέλλων ἀπαλλάξω, ὁ ἀόριστος ἀπήλλαξα, ὁ δεύτερος ἀπήλαγον, ὁ παθητικὸς ἀπηλλάγην.

Ἀπηωρεῖσθαι. κανόνισον· αἰωρέω αἰωρῶ, ὁ μέλλων αἰωρήσω, ὁ παρακείμενος ἠώρηκα, ὁ παθητικὸς ἠώρημαι ἠώρησαι ἠώρηται, καὶ τὸ ἀπαρέμφατον ἠωρεῖσθαι καὶ ἀπηωρεῖσθαι.

Ἀποθέσθαι. ἀποβαλεῖν. διὰ τί μὴ ἦν ἀπόθεσθαι; πᾶν ἀπαρέμφατον φυλάττει τὸν ἴδιον τόνον.

Ἀπονάιατο. κανόνισον· ὀνάω ὀνῶ τὸ ὠφελῶ συζυγίας δευτέρας τῶν περισπωμένων, ὁ μέλλων ὀνήσω, ὁ ἀόριστος ὤνησα, ἡ μετοχὴ ὁ ὀνήσας τοῦ ὀνήσαντος, καὶ εὐκτικὸν ὀνήσαιμι, καὶ κατὰ συγκοπὴν ὄναιμι, καὶ μετὰ τῆς ἀπό προθέσεως καὶ κατὰ συγκοπὴν ἀπόναιμι, καὶ τὸ τρίτον πρόσωπον παθητικὸν τῶν πληθυντικῶν ὄναιντο καὶ ἰωνικῶς κατὰ τροπὴν τοῦ ν εἰς α ἀπονάιατο.

Ἀπόσχου. κανόνισον· ἔχω, ὁ μέλλων ἕξω, ὁ δεύτερος ἀόριστος ἔσχον, ὁ μέσος ἐσχόμην ἔσχου, καὶ τὸ προστακτικὸν σχοῦ, καὶ μετὰ τῆς ἀπό προθέσεως ἀπόσχου.

Ἀπάκτου. ἄγω, ἄξω, ἀγήοχα, ἦγμαι ἤξαι ἦκται, ἀκτὸν ὄνομα, καὶ ἀπὸ τούτου ἀπακτόω ἀπακτῶ ῥῆμα.

Ἀποπτάμενος. ἵπταμαι ἐνεστὼς, ἱπτάμην παρατατικὸς, πτήσομαι μέλλων, ἔπτην ἀόριστος δεύτερος, μέσος ἐπτάμην, ἀφ' οὗ μετοχὴ πτάμενος.

Ἀπούρας. ἀπουρίζω ἐνεστὼς, ἀντὶ ἀφορίζω καὶ ἀλλοτριῶ, ἀπὸ τῆς ἀπό προθέσεως καὶ τοῦ ὅρος τὸ ὁροθέσιον, ὃ δασυνόμενον, εἰ προλάβοι τὸ ῡ, ψιλοῦται, ὡς τὸ εὔκηλος ἀπὸ τοῦ ἔκηλος ὁ ἥσυχος. μέλλων ἀπουρίσω, ἀόριστος ἀπούρισα, ἀφ' οὗ μετοχὴ ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας.

Ἀπερείσια, ἤγουν κατὰ μετάθεσιν εἰπεῖν ἀπειρέσια, ἤτοι λαμπρὰ καὶ ὡς Ὅμηρος ἐρεῖ ἀγλαὰ, πρὸς ἅπερ ἀπερείσιεν ἄν τις λογισμὸν ἢ καὶ ἄλλως καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῦ Ἀπόλλωνος ἐρεῖ στέμμα.

Ἀπιθεῖν ἀεὶ παρ' Ὁμήρῳ γράφεται διὰ τοῦ ῑ, ὡς ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντος γενόμενον, παρ' ἡμῖν δὲ διὰ διφθόγγου γράφεται ἐκ τοῦ ἀπειθὴς ὀνόματος, καθὰ καὶ τὸ ἀφειδῶ ῥῆμα ἐκ τοῦ ἀφειδής.

Ἀποδαρθεῖν. μήτ' ἄρτον αἱρεῖσθαι, μήτ' ἀποδαρθεῖν, τοῦτ' ἔστι κοιμηθῆναι. ἔστι ῥῆμα δρήθω τὸ κοιμῶμαι, ὁ δεύτερος ἀόριστος ἔδραθον, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ᾰ ἔδαρθον, καὶ ὁ μέλλων δεύτερος δαρθῶ, καὶ ἀττικῶς ἐδάρθην, καὶ ὁ μέλλων δεύτερος δαρθῶ, τὸ ἀπαρέμφατον δαρθεῖν κατὰ ἀντίφρασιν. δρῶ γὰρ τὸ ἐνεργῶ, οὗ παράγωγον δρήθω. οἱ γὰρ κοιμώμενοι οὐδὲν ἐνεργοῦσι. συντάσσεται τὸ δρῶ μετὰ δοτικῆς.

Ἀπονίζεσθαι, ὃ καὶ νίπτεσθαι λέγεται, ὡς δηλοῖ τὸ νίψεν ἀπὸ χρωτός. φασὶν οἱ παλαιοὶ ὡς

οἱ Ταραντῖνοι τὰ εἰς ξω λήγοντα ῥήματα βαρύτονα διὰ δύο σσ προφέρουσιν, οἷον σαλπίξω σαλπίσσω, λακτίζω λακτίσσω, φράζω φράσσω, ὅπερ ἡ Κόριννα φράττω λέγει βοιωτικῶς. πάλιν δὲ τὰ παρ' ἡμῖν διὰ δύο σσ αὐτοὶ διὰ τοῦ ξ προφέρουσι, τὸ πλάσσω πλάζω λέγοντες καὶ τὸ ἀνάσσω ἀνάζω, καὶ τὸ νίπτω οὖν παρ' Αἰολεῦσι νίσσω λεγόμενον, ὡς πέπτω πέσσω, οἱ Ταραντῖνοι μεταθέσει τῶν δύο σσ εἰς ξ νίζω λέγουσι.

Ἀποτμότατος δὲ ὁ δυστυχής. πότμος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, παρὰ τὸ πετεῖν, ὅ ἐστι πεσεῖν. ἀφ' οὗ καὶ ἡ περιπέτεια. τὰ γὰρ ἀπὸ τύχης συμπίπτειν λέγονται ἤγουν συμβαίνειν, ὅθεν εὔποτμος ὁ εὐτυχὴς, πανάποτμος δὲ καὶ ἀποτμότατος ὁ κακοτυχής.

Ἀποθανεῖται. ἐκ τοῦ θνῶ θνήσω ὁ δεύτερος ἀόριστος ἔθανον καὶ ἐξ αὐτοῦ τοῦ ἔθανον ἕτερον θανῶ θανοῦμαι γίνεται ῥῆμα. 22b

Ἀποῤῥαίσει. ἀπὸ τοῦ ῥῶ ῥαίω, ἀφ' οὗ καὶ ῥαιστὴρ ἡ σφύρα, καθὰ καὶ πέτω τὸ πίπτω καὶ ἐν συγκοπῇ καὶ παραγωγῇ πτῶ πταίω τὸ προσκόπτω. οὕτω δὲ καὶ λῶ λαίω, ἐξ οὗ καὶ τὸ λιλαίω, καὶ κεδῶ κεδαίω τὸ σκεδάζω, καὶ κλῶ κλαίω καὶ κῶ καίω. ἐκ δὲ τοῦ ῥαίω καὶ ῥαιστὴς, ἐξ οὗ καὶ κυνοραιστὴς καὶ θυμοραιστής.

Ἀπεῤῥίγασι, ὃ δηλοῖ τὸ δειλιῶσι καὶ φρίσσουσι. περιττὴ ἡ ἀπό, ὡς καὶ ἐν τῷ ἀπεμνήσαντο καὶ ἐν τῷ ἐμεῦ ἀπομνησαντο. μέσος δὲ παρακείμενος τὸ ἔῤῥιγα συγκοπεὶς ἐκ τοῦ ἐῤῥίγηκα ὁμοίως τῷ βέβουλα καὶ τοῖς τοιούτοις.

Ἀποῤῥῶγες ἀκταὶ, αἱ διεῤῥωγυῖαι ὡς οὕτω στόμα εἶναι τῷ λιμένι.

Ἀπὸ τοῦ βλάβεται ἡ βλάβη γίνεται, ὡς καὶ ἡ ἀποκρυβὴ ἀπὸ ἀῤῥήτου θέματος τοῦ κρύβω καὶ ἡ καλύβη ἐξ ὁμοίου τοῦ καλύβω. ἴσως ἐκ τῶν βέβλαφα,

κέκρυφα, κεκάλυφα παρήχθησαν ἀναγωγῇ συνήθει, Μακεδόνων ἔθει μεταβαλλόντων τὸ φ εἰς β.

Ἀράβησεν. ἤχησεν. κυρίως ἡ ἐπὶ τὴν ἔραν πνοὴ ἄραβος, καὶ ἄραβος ἀραβῶ ἀραβήσω, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ σιδήρου παρὰ τὸ ἄρεα καὶ τὴν βοήν.

Ἀράσσω, τὸ ἀποτέμνω, παρὰ τὸ ἄρης, ὅ ἐστι σίδηρος. κυρίως γὰρ ἀράσσω τὸ διὰ σιδήρου τέμνω.

Ἄραρεν. ἔστιν ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, αἰολικῶς ἄρσω, ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα καὶ κατὰ ἀναδιπλασιασμὸν ἀττικὸν ἄρηρα, ἡ μετοχὴ ἀρηρὼς, φρέσιν ἦσιν ἀρηρώς, δωρικῇ τροπῇ ἄραρα καὶ ἄραρεν, οἷον, ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας, ἡ μετοχὴ ἀραρὼς ἀραρότος καὶ ἀρρυῖα τὸ θηλυκὸν, ἢ ἐπειδὴ συνερχομένους ἔχουσι τοῖς ἐνεστῶσι τοὺς παρῳχημένους οἱ Ἴωνες, ὁ μέσος παρακείμενος ἄρα καὶ ἀττικῶς ἄραρεν.

23a Ἄργεϊ. ἰστέον ὅτι αἱ τοιαῦται δοτικαὶ ἐὰν μὲν ἔχωσι σύμφωνον ἐπιφερόμενον, διαιροῦνται, Διομήδεϊ κρατερῷ, εἰ δὲ φωνῆεν, οὐ διαιροῦνται, σῷ θάρσει, ἂν μὴ κωλύει μέτρον, ὡς τὸ χαριζομένη πόσεϊ ᾧ. τινὰ δὲ καὶ χωρὶς μέτρου παρήλλακται, οἷον ἡδέϊ οἴνῳ.

Ἀρέσκω. παρὰ τὸ ἄρω τὸ ἁρμόζω γίνεται ἀρῶ ἀρέσω, ὡς τελῶ τελέσω, καὶ ἀρέσκω. τὸ γὰρ ἀρέσκον καὶ ἁρμόδιον καὶ ἀρεστόν.

Ἀρεσόμεθα. ἐξιλεωσόμεθα. ἄρω ἀρῶ ἀρέσω.

Ἀρημένον. κεκρατημένον. αἱρῶ, αἱρήσω, ἥρηκα, ἥρημαι, ἡρημένον καὶ ἀρημένον.

Ἀρήρει. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα καὶ ἀττικῶς ἄρηρα, ὁ ὑπερσυντέλικος ἠρήρειν καὶ ἀρήρειν ποιητικῶς, τὸ τρίτον ἀρήρει.

Ἀρήγω, τὸ βοηθῶ, γίνεται παρὰ τὸ ἄρην τὸν πόλεμον. ἀρήγω ὥσπερ βοηθῶ λέγεται τὸ ἐπὶ βοὴν

θέειν. βοὴ γὰρ καὶ ὁ πόλεμος ἀπὸ τοῦ παρεπομένου. ἀρήγω οὖν ἀρηγὸς καὶ ἀρωγὸς, ὥσπερ καὶ ῥηγμὸς ῥωγμός.

Ἀρίγνωτος. διάδηλος, φανερὸς, ἀπὸ τοῦ ἄρι ἐπιτατικοῦ μορίου καὶ τοῦ γνωτὸς, τοῦτ' ἔστιν γνώσω, γνωτὸς καὶ ἀρίγνωτος.

Ἅρμοῖ τὸ ἀρτίως ἢ τὸ ἁρμοδίως, οἷον,

ἁρμοῖ ποῦ κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος.

εἴρηται παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἁρμοῖ.

Ἄρμενον παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω καὶ ἀραρῶ ἀραρημένον, καὶ κατὰ συγκοπὴν ἄρμενον.

Ἀροῦν. ἀρύω ἀρῶ ἀρώσω. τοῦ οὖν ἀρῶ ὁ παρατατικὸς ἤροον ἤρουν ἤροες ἤρους ἤροεν ἤρουν, καὶ τὸ ἀπαρέμφατον ἀρόειν ἀροῦν. σημαίνει δὲ τὸ ἀροτριᾶν, παρὰ τὸ ἄρεα τὸν σίδηρον. σιδήρῳ γὰρ τέμνεται ἡ γῆ.

Ἀρῶ, ἐξ οὗ τὸ ἁρπάζω, ἐν χρήσει μὲν οὐκ οἶδε πρωτότυπον, τὸ γὰρ ἁρπῶ αὐτὸ παράγωγον, ἀπὸ τοῦ ἅρπη παρηγμένον τοῦ σημαίνοντος τὸ ὄρνεον, ὡς φωνὴ φωνῶ, αὐδὴ αὐδῶ, σιγὴ σιγῶ, ἅρπη ἁρπῶ.

Ἄρσαντες. ἁρμόσαντες. παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἀρῶ ἄρσω, ἄρσαντες. ἢ ἀπὸ τοῦ ἁρμόζω ἥρμοσα, ἁρμόσας ἁρμόσαντες, καὶ κατὰ συγκοπὴν ἄρσαντες.

Ἀρτύνω, τὸ ἁρμόζω, ἢ εὐτρεπίζω. πυκινὴν ἠρτύνετο βουλήν. παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἦρμαι ἤρται, ἀρτὸς καὶ ἀρτῶ, καὶ ἀρτύω καὶ ἀρτύνω, ὥσπερ θύω καὶ θύνω, δύω καὶ δύνω.

Ἀρύω τὸ ἀπαντλῶ, παρὰ τὸ ἀρῶ ἀρύω, ὡς πλήθω πληθύω, ἔρω ἐρύω καὶ ἐρύσω, ἄνω ἀνύω καὶ ἀνύσω. οὐκ ἀνύω φθονέουσα.

Ἀρεστός. ἀρῶ ἀρέσω, ἤρεκα ἤρεσμαι ἤρεσαι ἤρεσται ἀρεστός.

Ἀρείων. ὁ βελτίων. εἴρηται παρὰ τὸ ἄρης ἰωνικῶς ὁ κατὰ τὸν πόλεμον καλλίων.

Ἀργαλέος. χαλεπός. οἶμαι, παρὰ τὸ ἄρην τὸν πόλεμον ἀραλέος καὶ πλεονασμῷ τοῦ γ ἀργαλέος. ἢ παρὰ τὸ ἄλγος ἀλγαλέος, ὁ λύπας καὶ κακὰ ἐμποιῶν, τροπῇ τοῦ λ εἰς ρ ἀργαλέος.

Ἄρχμενος. ἄρχω ἄρχομαι ἀρχόμενος, καὶ ἐν συγκοπῇ ἄρχμενος.

Ἄρης σημαίνει τὸν πόλεμον, παρὰ τὴν ἀρὰν καὶ τὴν βλάβην τὴν ἐκ πολέμου γινομένην. ἰστέον ὅτι τετραχῶς αὐτὸ κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου, ὄφρα κεν ἀγείρωμεν ὀξὺν ἄρηα. ἐπὶ δὲ τοῦ σιδήρου, αἵματος ἆσαι ἄρηα. ἐπὶ δὲ τοῦ θεοῦ, Ἄρες Ἄρες βροτολοιγέ. ἐπὶ δὲ τῆς πληγῆς,

ἔνθα μάλιστα
γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.

Ἀργειμον τὸ κατὰ πάθος γινόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ, παρὰ τὸν ἀργὸν, ὅ ἐστι λευκὸν, ὅθεν καὶ κύνας ἀργούς τινές φασι τοὺς λευκούς, ἢ τοὺς ταχεῖς. ἔστι γὰρ ἀργὸν τὸ ταχύ.

24a Ἀργεννῆσιν. ἐκ τοῦ ἀργὸς, ὃ σημαίνει τὸν καθαρὸν, ἀργεννὸς καὶ ἀργεννή. πᾶν τοίνυν εἰς ος μετὰ συμφώνου πλὴν τοῦ ρ, ὅτε ἔχει θηλυκὸν, εἰς η αὐτὸ ποιεῖ. τὰ μέντοι εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ει διφθόγγου, φάος φαεινὸς, ἄλγος ἀλγεινὸς, πόθος ποθεινὸς, ἔλεος ἐλεεινὸς, οὕτως ἄργος ἀργεινὸς, καὶ ἐπεὶ οἱ Αἰολεῖς πρὸς τὰ ἐπαγόμενα σύμφωνα τρέπουσι τὸ ι τῆς ει διφθόγγου, οἷον φθείρω φθέρρω, κτείνω κτέννω, οὕτως ἀργεινὸς ἀργεννὸς καὶ ἀργεννή.

Ἀραρυίας. βεβαίας, ἡρμοσμένης. ἡ εὐθεῖα ἀραρυῖα. τὸ ρυι δίφθογγον, ὡς ἐν τῷ πεποιηκυῖα, μεμηκυῖα. ἔστι τὸ ῥῆμα ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ μέσος παρακείμενος ἦρα, ὁ ἀττικὸς ἄρηρα, ἡ με-

τοχὴ ἀρηρὼς, καὶ τροπῇ δωρικῇ τοῦ η̄ εἰς ᾱ ἀραρὼς ἀραρότος, τὸ ρο μικρόν. διὰ τί; αἱ εἰς ος μετοχαὶ ὀξύνονται, εἰ μὴ κατὰ πάθος ὥσι, καὶ διὰ τοῦ ω̄ κλίνονται. καὶ τὸ θηλυκὸν ἡ ἀραρυῖα τῆς ἀραρυίας.

Ἄριστος. παρὰ τὸ ἀρείων. τοῦτο παρὰ τὸ ἄρης. ὃ σημαίνει τὸν πόλεμον. τὸ συγκριτικὸν ἀρείων, καὶ ἄριστος ὑπερθετικὸν, ὁ ἐν πολέμοις ἀνδραγαθῶν. τὸ δὲ ἄρης, ὃ σημαίνει τὸν πόλεμον, παρὰ τὸ ρω̄ τὸ λέγω.

Ἀρήϊος. ὄνομα ἀρσενικὸν, εἴδους τῶν παραγώγων παρωνύμου. ἔστιν ἄρης ἄρειος, ἰωνικῇ διαλύσει ἀρέϊος ἀρήϊος, ὡς Ὀδυσσεὺς Ὀδύσσειος Ὀδυσσέϊος Ὀδυσσήϊος οἶκος καὶ Ὀδυσσήϊον μέγα δῶ.

Ἀρνύμεθα ἀντὶ τοῦ καταλλασσόμεθα, ἐπειδὴ διὰ τῶν ἀρνῶν καὶ τῶν ἄλλων ζώων τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. καὶ οὐ μόνον δι' ἀργυρίου τοῦτο ποιεῖν οἶδεν Ὅμηρος, ἀλλὰ καὶ δι' ἑτέρων, οἷον,

ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δ' ἀνδραπόδεσσιν.

ἀπὸ μέρους οὖν τοῦ τετραπόδου τοῦ ἀρνοῦ τὴν λέξιν ἐπὶ τῷ ἀμείβεσθαι ἔταττον, ἢ παρὰ τὸ αἴρω ἀρῶ ἀρνῶ, ὡς ἴκω ἱκνῶ, οἴχω οἰχνῶ, ἄρνυμι ἄρνυμαι καὶ ἀρνύμενος.

Ἀρθήσεται. ἐκ τοῦ αἴρω ἀρῶ, ἦρκα ἦρμαι, ἤρθην, ἀρθήσεται. 24b 25

Ἀρτύνεσθαι. πλεονασμῷ τοῦ ν̄ δωρικῶς ἀπὸ τοῦ ἀρτύω γίνεται, ὡς ἀπὸ τοῦ θύω τὸ θύνω τὸ ὁρμῶ, καὶ ἀπὸ τοῦ χύω τὸ ἐκχύνω. δηλοῖ δὲ τὸ ἀπηρτισμένον ποιεῖν.

Ἄρης. εὐθεῖα Ὁμήρῳ ἄῤῥητος ὁ ἀρεὺς αἰολικῇ, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ.

Ἀρέσθαι. μέσος δεύτερος ἀόριστός ἐστιν ὅμοιος τῷ εὑρέσθαι.

Ἀρτύνειν ἀπὸ τοῦ ἀρτύω γίνεται πλεονασμῷ τοῦ ν̄, ὥσπερ δύω δύνω, καὶ θύω θύνω τὸ ὁρμῶ, καὶ χύω χύνω.

Ἄσασθαι σημαίνει τὸ κορεσθῆναι. κυρίως δέ φασι σημαίνειν τὸ μετὰ κόρον εἰς ὕπνον ἐλθεῖν.

Ἄσχετος οὐ πεποίηται παρὰ τὸ σχέθω, ἐλέγετο γὰρ ἂν σχέτος, ἀλλὰ ἀπὸ τοῦ σχῆμι, ἀφ' οὗ ἔσχηκα ὁ παρακείμενος, καὶ ἐσχέθην ὁ ἀόριστος, καὶ ὁ μέλλων σχήσω, ἐξ οὗ ἡ σχέσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετὸς, ἵημι ἑτὸς καὶ ἀφετὸς, δίδωμι δοτὸς, οὕτω σχῆμι σχετὸς καὶ ἄσχετος.

Ἄσωτος. παρὰ τὸ σώζω σέσωκα σέσωσμαι σέσωσται, σωστὸς καὶ ἄσωτος.

Ἀσχάλλων. ἀδημονῶν, λυπούμενος. παρὰ τὸ ἄχω, ἀφ' οὗ ἄχομαι, γίνεται ἀχάλλω καὶ πλεονασμῷ τοῦ σ ἀσχάλλω. ἐκ δὲ τοῦ ἀσχάλλω γίνεται ῥῆμα περισπώμενον ἀσχαλῶ, τὸ τρίτον πρόσωπον ἀσχαλᾷ, καὶ πλεονασμῷ τοῦ ᾱ ἀσχαλάα. ἢ παρὰ τὸ σχῶ σχάλλω, ὃ ἐπέχειν οὐ δυνάμεθα.

Ἀσκωλιάξειν. ἐφ' ἑνὸς ποδὸς ἐφάλλεσθαι. εἴρηται παρὰ τὸ σκῶλον ὅ ἐστι σκόλοπα, ἀπὸ τῶν πατούντων σκόλοπα καὶ χωλευόντων. σκωλιάζειν οὖν καὶ κατὰ πλεονασμὸν ἀσκωλιάζειν. τινὲς δὲ παρὰ τὸν ἀσκὸν λέγουσι γεγονέναι κυρίως. ἀσκωλιάζειν γὰρ τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι.

Ἀσίω. ἀπὸ τῆς Ἀσίας εὐθείας ἡ γενικὴ Ἀσίου. Ὅμηρος,

Ἀσίω ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα.

ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ, ἢ ἐν τῷ ἰλυώδει τόπῳ. ἄσις γὰρ κατὰ διάλεκτόν ἐστιν ἡ ἰλύς. ἄλλοι δὲ, ὡς εἴρηται, Ἀσίω ὀνοματικῶς ἀπὸ Ἀσίου τοῦ Ἀυδοῦ. ἔστι δὲ πτώσεως γενικῆς, ἤγουν τοῦ Ἀσίω. διὰ τοῦτο οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον. ἦν γάρ τις Ἀσίας ἥρως, οὗ ὁμώνυμος Ἀσίας λειμών. εἶτα ἰωνικῶς Ἀσίεω, ὡς Ἀτρείδεω, Αἰνείεω, καὶ κατὰ κρᾶσιν ἢ συγκοπὴν Ἀσίω, ὡς Εὐμελείεω Εὐμελείω, Πριάμοιο, καὶ Αἰνείεω ἑτάροιο, καὶ Βορέω ὑπ' ἰωῇ. οὕτως Ὧρος ἐν τῇ ὀρθογραφίᾳ.

Ἀσπαίρειν, ὃ δηλοῖ τὸ σπᾶσθαι, καὶ ὡς ἐξ αὐτοῦ καὶ τὸ σπαρίζειν γίνεται, ἐδηλώθη ἀλλαχοῦ. νῦν δὲ οὐ πάρεργον εἰπεῖν καὶ ὅτι καθὰ σπαίρω καὶ κατὰ πλεονασμὸν ἀσπαίρω, οὕτω καὶ στάχυς ἄσταχυς, καὶ σταφὶς ἀσταφὶς, καὶ σφοδελὸς ἀσφόδελος, ὡς καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται. ἐν μέντοι τῷ ἀμέργειν ἄδηλον, εἴτε τὸ ἀμέργειν ἐκ τοῦ μέργειν κατὰ πλεονασμὸν, εἴτε καὶ ἀνάπαλιν ἐκεῖθεν τὸ μέργειν κατὰ ἀφαίρεσιν. ἐξ ὧν καὶ ἀμεργοί φασι πόλεως ὄλεθροι. οἱ δ' αὐτοὶ καὶ μοργοί, οἱ ἀμέλγοντες δηλαδὴ τὸ κοινὸν καὶ ἐκμυζῶντες δηλαδὴ τὰ ἀλλότρια. ἐν μέντοι τῷ μαῦρον καὶ ἀμαυρὸν φανερῶς τὸ μαῦρον ἀφαίρεσιν πέπονθεν ἐκ τοῦ ἀμαυρόν.

Ἀτενίζω. τείνω τενῶ καὶ ἀτενὴ ἀτενίζω, τοῦ ᾱ ἐπίτασιν σημαίνοντος, ἵν' ᾖ τὸ λίαν καὶ ἐπιτεταμένως βλέπω.

Ἀτάλλων. παρὰ τὸ τλῶ τὸ καρτερῶ καὶ ὑπομένω γίνεται τλὰς καὶ ἄτλας, ὁ μὴ δυνάμενος τλῆναι, ἐξ αὐτοῦ ἀτάλλω καὶ ἀτάλλων ὁ μὴ δυνάμενος μηδὲ κακοπαθεῖν.

Ἀτέμβω. στερῶ. εἴρηται παρὰ τὸ τέμω, ὅπερ πρωτότυπόν ἐστι τοῦ τέμνω, ἀτέμω, πλεονασμῷ τοῦ β ἀτέμβω, ἢ παρὰ τὸ ἀτῶ τὸ βλάπτω, γίνεται ἀτέμβω, τὸ οὐ βλάπτω στερῶν. Ὅμηρος ἐν Ὀδυσσείᾳ, οὐ γὰρ οὐ καλὸν ἀτέμβειν.

Ἀτιτάλλειν σημαίνει τὸ τιθηνεῖν καὶ ἐκτρέφειν ἐκ τῶν νηπίων. ἔστι γὰρ ἀταλὸς ὁ νήπιος, ὁ τλῆναι καὶ κακοπαθῆσαι μὴ δυνάμενος, καὶ ἐξ αὐτοῦ ἀτάλλειν καὶ ἀτιτάλλειν κατὰ ἀναδιπλασιασμόν.

Ἀτρέμας παρὰ τὸ τρέμω τρεμῶ γίνεται ἀτρεμῶ καὶ ἀτρέμα, ὡς σιγῶ σίγα, ἀντῶ ἄντα, καὶ πλεονασμῷ τοῦ σ ἀτρέμας.

Ἄττα. ἐπίφθεγμα τιμητικὸν νεωτέρου πρὸς παλαιότερον. Ὅμηρος, ἄττα γεραιέ. εἴρηται παρὰ τὸ πάππα, ἄππα, ἄσσα, ὃ δηλοῖ κατὰ Μακεδόνας τὸν

πατέρα κατὰ τροπὴν τῶν δύο ππ εἰς τὰ δύο ττ. ἄττα τὸ ἀττικόν, ὅπερ ὁ ποιητὴς ἄσσα εἶπε. γέγονε δὲ ἀπὸ τοῦ τα δωρικοῦ τοῦ σημαίνοντος τὸ τινὰ, ὅπερ διπλασιασμῷ τοῦ σσ μετὰ τοῦ α ἄσσα λέγεται καὶ ψιλοῦται. τρέπεται δὲ τὰ δύο σσ εἰς ττ, καὶ λέγεται ἄττα. σημαίνει δὲ ψιλούμενον τὸ τινὰ, δασυνόμενον δὲ τὸ ἅτινα.

Ἀτυχθείς. τεύχω τὸ ἐπιτυγχάνω, ὁ μέλλων τεύξω, ὁ δεύτερος ἀόριστος ἔτυχον ἐτύχην, ἡ μετοχὴ ὁ τυχὲις καὶ ἀτυχθεὶς μετὰ πλεονασμῷ τοῦ θ καὶ τοῦ στερητικοῦ α, ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλ' ἀποστρεφόμενος εἰς τὸ διαμαρτεῖν. σημαίνει δὲ καὶ τὸ καταπλαγεὶς, φοβηθεὶς, ὅψιν ἀτυχθείς. ἀτυχῆσαι, τοῦτο ἀντὶ ἀποτυχεῖν.

Ἀτυζόμενοι. ταρασσόμενοι. ἀτύω τὸ ταράσσω, ἀτύσσω καὶ ἀτύζω αἰολικῶς.

Ἀταρτηροῖς ἐπέεσσιν. ἀπὸ τοῦ ἄτη ἀτηρὸν καὶ κατὰ ἀναδιπλασιασμὸν τῶν γραμμάτων ἀτατηρὸν καὶ προσθήκῃ τοῦ ρ διὰ τὸ μέτρον ἀταρτηρόν. ἔστι μὲν οὖν ἀταρτηρὸν τὸ βλαπτικὸν, ἐνταῦθα ἤγουν παρ' Ὁμήρῳ ἀταρτηροῖς φησιν ἐπέεσσι κατὰ μεταφορὰν ἀντὶ τοῦ ὑβριστικοῖς.

Ἄτλαντος. τῆς κλίσεως ὁ κανὼν τοιοῦτος καθ' Ἡρωδιανόν. τὰ περὶ μετοχὴν εἰς ας δισύλλαβα κλίνεται διὰ τοῦ ντ, οἷον ἄτλας ἄτλαντος, φὰς, περίφας περίφαντος. τοιαύτη δὲ κλίσει ἐκεῖνος ὑπάγει καὶ ὅσα δὶς τὸ αὐτὸ σύμφωνον ἔχει, γίγας γίγαντος.

Ἀτρυτώνη. Ἀθηνᾶ ἡ ἄτρυτος, ὅ ἐστιν ἀτειρὴς, ὡς ἀπὸ τρέω τρῶ, ἐξ οὗ καὶ τὸ τείρω καὶ τὸ τρύω, ἀφ' οὗ καὶ τρυτάνη ἐπὶ ζυγοῦ ἡ τειρομένη τῷ βάρει τῶν ὄγκων. ἀπ' αὐτοῦ δὲ καὶ τρύμη παρὰ τῷ κωμικῷ ὁ πανοῦργος καὶ κατ' ἐκεῖνον ἴτης, ὅ ἐστιν ἰταμός.

Αὔδα. ἔστιν αὐδάω αὐδῶ, ἠύδαον ἠύδων ἠύδαας ἠύδας ἠύδαε ἠύδα, καὶ τὸ προστακτικὸν αὔδαε αὔδα. Ὅμηρος, ἐξαύδα, μὴ κεύθε νόῳ.

Αὖτις ἰωνικὸν, τὸ δὲ αὖθις κοινόν.

Ἀφάμαρτεν. ἀόριστος δεύτερος. ἁμαρτῶ, ἥμαρτεν, ἰωνικῶς ἅμαρτε καὶ ἀφάμαρτε.

Ἀφέθησαν. ἵημι τὸ συγχωρῶ, ἥσω, ἧκα, ὁ παρακείμενος ἕμαι, ὁ ἀόριστος ἔθην καὶ μετὰ προθέσεως καὶ συγκοπῆ ἀφέθην. τὸ τρίτον τῶν πληθυντικῶν ἀφέθησαν. ἢ οὕτως. ἀφίημι, ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς ἀφεῖμαι, ὁ ἀόριστος ἀφείθην καὶ ἀποβολῆ τοῦ ῑ ἀφέθην, ὡς παρέθην.

Ἀφέστατε ἄποθεν καὶ χωρὶς, ἑστήκατε οὖν καὶ κατὰ συγκοπὴν ἕστατε.

Ἀφεστᾶσιν. ἑστήκασιν καὶ ἐν συγκοπῇ ἑστᾶσιν. ἢ οὕτως. ἑστήκω, ἑστήξω, ἕστηχα ἕστηα ἐκβολῇ τοῦ χ καὶ τροπῇ τοῦ η̄ εἰς ᾱ, ἕσταα, ἑστάασι, κράσει τῶν δύο αα εἰς ᾱ ἑστᾶσι καὶ ἀφεστᾶσιν.

Ἀφέωκα καὶ ἀφέωνται. ἀφίημι, ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ ἀττικὸς ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονάσωσι τὸ ε̄ κατὰ τὸν παρακείμενον, τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν τρέπουσιν εἰς ω̄. ὁ παθητικὸς ἀφέωμαι, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἀφέωνται. ὁ παρακείμενος ἀφεῖκα καὶ πλεονασμῷ τοῦ ω̄ καὶ ἐκβολῇ τοῦ ῑ ἀφέωκα, ὡς εἴθα εἴωθα, αἴρω αἰρῶ, ὁ παθητικὸς παρακείμενος ἀφεῖμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἀφεῖνται ἀφένται καὶ ἀφέωνται.

Ἀφέλεσθαι. ἕλω τὸ λαμβάνω, ὁ παθητικὸς ἕλομαι, ἑλόμεθα, ἕλεσθαι καὶ ἀφέλεσθαι.

Ἀφῆκα. ἐκ τοῦ ἵημι, ἥσω, ὁ παρακείμενος ἧκα καὶ ἀφῆκα.

Ἀφήμενος. πόῤῥω καθήμενος.

Ἀφεῖναι. εἴρηται ὡς θεῖναι καὶ ἀφεῖναι.

Ἀφιᾶσιν. ἐκ τοῦ ἵημι ἵης ἵησι, ἵεμεν καὶ ἀφίεμεν, ἵετε καὶ ἀφίετε, τὸ τρίτον τῶν πληθυντικῶν ἱεῖσιν καὶ ἰωνικῶς ἱέασιν, ὡς τιθεῖσι τιθέασι, καὶ ἐν συνθέσει ἀφιέασι καὶ ἀττικῇ συναιρέσει ἀφιᾶσιν.

Ἀφυσσόμενοι. ἀφύσσω, ἀφύξω. ὅθεν ἄφενος καὶ πλοῦτον ἀφύξειν. γίνεται δὲ ἐκ τοῦ ὕω τὸ βρέχω, ὕσω, καὶ ἐν συνθέσει ἀφύσω, καὶ πλεονασμῷ τοῦ ἑτέρου σ̄ ἀφύσσω, τοῦτ' ἔστι τὸ ἀπό τινος
26b ἐπιῤῥέοντος ἀπαντλεῖν καὶ ἀπαρύεσθαι. ἢ ἐκ τοῦ φύω τὸ κρατῶ,

ἔν τ' ἄρα οἱ φῦλα χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.

μετὰ γοῦν τοῦ ἐπιτατικοῦ ᾱ ἀφύω, ἀφύσω, πλεονασμῷ τοῦ ἑτέρου σ̄ μεταγομένου μέλλοντος εἰς ἐνεστῶτα.
10ἢ ἀπὸ τοῦ ἀρύω τὸ ἀπαντλῶ καὶ τροπῇ τοῦ ῥ̄ εἰς φ ἀφύω.

Ἀφίγμεθα. ἵκω, ἵξω, ἵγμαι ὁ παθητικὸς παρακείμενος, τὸ πρῶτον τῶν πληθυντικῶν ἵγμεθα καὶ ἀφίγμεθα.

15 Ἀφίει. ἔστι ῥῆμα ἰωνικὸν, ὅπερ γέγονεν ἀπὸ τοῦ ὦ καὶ κατὰ ἀναδιπλασιασμὸν ἰῶ, ὡς ἀπὸ τοῦ στῶ ἱστῶ, ὁ παρατατικὸς ἵουν ἵεις ἵει καὶ ἀφίει.

Ἀφραίνω. ἐκ τοῦ φρὴν φρενὸς φραίνω καὶ ἀφραίνω.

20 Ἄφευκτος. παρὰ τὸ φεύγω πέφευγμαι πέφευκται φευκτὸς καὶ ἄφευκτος, ὡς ἔχω ἑκτὸς, καὶ κατ' ἔνδειαν τοῦ ε̄ φυκτὸς καὶ ἄφυκτος. Ὅμηρος, οὐκ ἔτι φυκτὰ πέλονται.

Ἀφηρητιάδαο. ἀπὸ τοῦ Φέρης Φέρητος γίνε-
25ται ὄνομα Φερητιάδης καὶ πλεονασμῷ τοῦ ᾱ καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ Ἀφηρητιάδης.

Ἀφοσιοῦνται. πληροῦνται. ὅσιος ὁσιῶ καὶ ἀφοσιῶ.

Ἀφόωντα. ψηλαφῶντα. ἀπὸ τοῦ ἀφὴ ἀφάω
30ἀφῶ ἀφῶντα καὶ πλεονασμῷ τοῦ ō ἀφόωντα, ὡς ἀντιόωντα.

Ἀφεῖσθαι. κανόνισον· ἀφίημι, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς ἀφεῖμαι ἀφεῖσαι ἀφεῖται καὶ τὸ ἀπαρέμφατον ἀφεῖσθαι.

Ἄφενος μὲν ὁ δι' ὀλίγου συναγόμενος, πλοῦτος δὲ ὁ διὰ πολλῶν ἐτῶν, οἱονεὶ πολύετός τις ὤν. γίνεται δὲ ἄφενος, ὡς τοῖς πλείοσι δοκεῖ, ἀπὸ τοῦ ἔνου ὅ ἐστι χρόνου, ὃς εἰ καὶ παρ' ἡμῖν ψιλοῦται, ἀλλὰ παρὰ τοῖς παλαιοῖς ἀττικῶς δασύνεσθαι λέγεται.

Ἀφέῃ συνήθη πλεονασμὸν ἔχει τοῦ ε, τὸ γὰρ κοινὸν ἀφῇ ἀντὶ τοῦ πέμψῃ, ὃ καὶ ἦσῃ, πρὸ τούτου ἔφη. ὥσπερ δὲ ἐν τῷ ἀφέῃ, οὕτω καὶ ἐν τῷ ἀφέωνται πλεονάζει τὸ ε.

Ἀχέων. λυπούμενος, παρὰ τὸ ἄχος ἀχέων, ἢ ἀπὸ τοῦ ἀχεύω.

Ἀχαὸς δίχα τοῦ κατὰ τὴν διφθογγον ι προφέρουσιν οἱ Αἰολεῖς κατὰ τοὺς τεχνικοὺς, οἳ λέγουσιν ὡς διάλεκτοί τινες ἀποβάλλουσι τὸ ι τῆς αι διφθόγγου, οἷον Ἀθηναῖοι μὲν τὸ κλαίει κλάει λέγουσιν. οὕτω δὲ καὶ τὸ καίει κάει, αἰεὶ ἀεὶ, αἰετὸς ἀετός. Αἰολεῖς δὲ τὸ παλαιὸς καὶ Ἀχαιὸς καὶ ἑταῖρος πάλαος καὶ Ἄχαος καὶ ἕταρος. Ἴωνες δὲ σὺν Ἀττικοῖς τὸ χρύσειος ἀργύρειος χάλκειος καὶ τὰ ὅμοια χρύσεος φασι καὶ ἀργύρεος καὶ χάλκεος. ὡς δὲ οἱ Αἰολεῖς πολλάκις ἐν ταῖς διφθόγγοις οὐκ ἀποβάλλουσιν, ἀλλ' ἀρκοῦνται μόνῃ διαστάσει, ὡς ἐν τῷ Ἀτρεΐδης, Ἀργέϊος, ἐξ ὧν τὸ Ἀτρείδης, Αἰγείδης Ἀργεῖος, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.

Ἄωρτο ὁ Ἡρωδιανὸς λέγει ὅτι σημαίνει τὸ ἤρμοστο, τοῦτ' ἔστι περὶ τοῦ ξίφους, καὶ γίνεται παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων αἰολικῶς ἄρσω, ὁ παρακείμενος ἦρκα, ἦρμαι, ἤρμην ἦρσο ἦρτο, ἰωνικῶς ἄρτο καὶ πλεονασμῷ τοῦ ω, ὡς εἴδα εἴωθα, ἄωρτο. τινὲς δὲ λέγουσι τὸ ἐκρέματο. καὶ γίνεται ἐκ τοῦ αἴρω τὸ κουφίζω καὶ κρεμῶ. ὁ μέλλων ἀρῶ, αἰολικῶς ἄρσω, ἦρκα, ἦρμαι, ἤρμην ἦρσο ἦρτο, τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ὦρσο καὶ πλεονασμῷ τοῦ ᾱ ἄωρτο ποιητικῶς.

Ἀωτεῖς. ἀντὶ τοῦ τὸ κάλλιστον τοῦ ὕπνου ἀπαντᾷς καὶ συλλέγεις.

Β.

Βάζω τὸ λέγω, ἢ παρὰ τὸ βῶ, καὶ ὥσπερ παρὰ τὸ φῶ φάζω φάσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ φάσκω, οὕτως καὶ παρὰ τὸ βῶ βάζω. ἐκ δὲ τοῦ βάζω γίνεται βράζω πλεονασμῷ τοῦ ρ. δύναται εἶναι καὶ παρὰ τὸ βοὴν, βοάζω καὶ κατὰ συγκοπὴν βάζω.

Βαρύθω. ἀπὸ τοῦ βαρὺς βαρύω βαρύθω πλεονασμῷ τοῦ θ.

Βασκαίνει ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. οὕτως Δημοσθένης ἐν τοῖς ὑπὲρ Κτησιφῶντος· βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα. ἀντὶ φιλαίτιον καὶ 27b συκοφαντικόν. παρὰ τὸ βάσκανος βασκαίνω, ἢ παρὰ τὸ φασκαίνω, ὁ τοῖς φάεσι καίνων, ὅ ἐστι φθείρων διὰ τοῦ βλέμματος.

Βάν. ἐπορεύοντο. ἐκ τοῦ βῶ τὸ βαίνω παράγωγον βῆμι, ὁ παρατατικὸς βῆν. οἱ γὰρ Ἴωνες συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἐνεστῶσι, βῆς βῆ, βάτον βάτην, βάμεν βάτε βάσαν καὶ συγκοπῇ βάν.

Βάρδιστος. βράδιστος. παρὰ τὸ βάρος βαρὺς γίνεται βραδὺς πλεονασμῷ τοῦ δ καὶ ἐν ὑπερθέσει βραδύς. εἶτα βραδίων, βράδιστος καὶ ἐν ὑπερθέσει βάρδιστος.

Βασκέμεν ῥῆμα ἀπαρέμφατον. καὶ οἱ Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα διὰ τοῦ εν προφέρουσιν προθέσει τῆς με. οἷον τύπτειν τύπτεν τυπτέμεν, βάσκειν βάσκεν βασκέμεν, καὶ ἕτερα. γίνεται δὲ ἐκ τοῦ βάσκω. καὶ ἐπειδὴ τὰ ῥήματα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων διὰ τοῦ ασκω γίνεται, οἷον γενειῶ γενειάσκω, γοῶ γοάσκω, ἀλῶ ἀλάσκω, βοῶ βοάσκω, οὕτως βῶ βάσκω.

Βάσκιθι ὡς ἄπιθι τινὲς λέγουσι καὶ οὐχὶ βάσκ' ἴθι ἐν παραθέσει. ἀλλὰ κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς μι λήγοντα μετὰ προθέσεως συντιθέμενα προπα-

ροξύνεσθαι φιλεῖ, οἷον σύνειμι, μέτειμι, ἔξειμι, ἄπειμι. ὁμοίως καὶ μετὰ τῶν λοιπῶν προθέσεων τὸ εἶμι συντιθέμενον προπαροξύνεται. τὸν αὐτὸν τρόπον καὶ ἄπιθι, ἔξιθι, πάριθι, καὶ τὰ τοιαῦτα. μετ' ἄλλων δὲ συντιθέμενα οὐδαμῶς διὰ τοῦτο. οὐ δεύριθι φαμὲν, ἀλλὰ δεῦρ' ἴθι, καὶ μάλ' ἴθι, καὶ τότ' ἴθι. οὕτως οὐδὲ βάσκιθι, ἀλλὰ βάσκ' ἴθι. οὐ γὰρ μετὰ προθέσεως σύγκειται. τὸ δὲ ἴθι ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι. καὶ πάλιν ἕτερος κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς θι παραχθέντα προστακτικὰ κατ' ἀρχὴν οὐ σύνθετα πλὴν τῶν προθέσεων. ὥστε δῆλον ἐν παραθέσει δεῖν ἀναγινώσκειν αὐτό. τὸ δὲ βάσκε ἀπὸ τοῦ βάσκω. τοῦτο δὲ παρὰ τὸ βῶ βήσω πλεονασμῷ τοῦ κ βήσκω, τροπῇ τοῦ η εἰς α βάσκω. ἢ ἐκ τοῦ βῶ βάσω, ἐξ οὗ καὶ βάσις, πλεονασμῷ τοῦ κ βάσκω, ὡς φῶ φάσω καὶ φάσκω, ἐπειδὴ οὐδέποτε βαρύτονος μέλλων διὰ τοῦ κ ἐκφέρεται, μετάγεται εἰς ἐνεστῶτα. 23 a

Βαλών. αἱ εἰς ων λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, δραμὼν, ἐλθὼν, πιών. οὕτως οὖν καὶ βαλών. ἀντίκειται τὸ πέφνων. αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ ποτὲ ἐν ἐπιπλοκῇ ἔχουσαι σύμφωνον, ἐὰν τὸ δεύτερόν ἐστιν ἀμετάβολον, πάντως βαρύνονται, κάμνων, τέμνων. τοιοῦτον καὶ τὸ πέφνων.

Βαλανεῖον. τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα διὰ τοῦ ει διφθόγγου γράφεται, κουρεὺς κουρεῖον, γραφεὺς γραφεῖον, γραμματεὺς γραμματεῖον, κναφεὺς κναφεῖον, ἢ καὶ τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τῆς ει διφθόγγου γράφεται, μαγειρεῖον, πατριαρχεῖον, ἰατρεῖον, ὀρφανοτροφεῖον, ἰαμβεῖον, βυρσοδεψεῖον, ἐπισκοπεῖον, οὕτω καὶ βαλανεῖον. πρόσκειται μονογενῆ διὰ τὸ ἐναντίον. πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τὸ αἰπόλιον καὶ λαφυροπώλιον καὶ ἀρτοπώλιον. ταῦτα γὰρ διὰ τοῦ ι ὑπὲρ τρεῖς συλλαβὰς, διὰ τὸ παιδίον οὐκ ἀναστρέφοντος τοῦ κανό-

νος. οὐ γὰρ πάντα τὰ τρισύλλαβα διὰ τοῦ ῑ γράφεται. ἰδοὺ γὰρ τὸ πτωχεῖον καὶ τὸ πρωτεῖον καὶ τὸ πορνεῖον καὶ δευτερεῖον διὰ τῆς ει διφθόγγου φασίν. ἀπὸ γὰρ τῶν διὰ τοῦ ει εἰσίν.

Βασιλεύτατος ὁμοιόσχημόν ἐστι τῷ δεύτατος, περὶ οὗ ἀλλαχοῦ ῥηθήσεται.

Βεβάασιν. παρὰ τὸ βεβήκασιν ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ η εἰς α βεβάασι.

Βεβάασι, βέβαα, παρατατικὸς τῶν εἰς μι. οἱ Ἴωνες ἡνίκα ἐν τοῖς ῥήμασιν ὕφεσιν ποιήσωνται τοῦ συμφώνου, τότε συστολῇ παρακολουθοῦσιν, οἷον ἕστηκα ἕσταα, βέβηκα βέβαα, βεβαὼς βεβαότος, καὶ πλεονασμῷ βεβαῶτα καὶ ἐν βεβάασι.

Βεβίηκε. τοῖον γὰρ ἄχος βεβίηκε. βιάζω βιάσω βεβίακα, τροπῇ τοῦ α εἰς η βεβίηκα καὶ βεβίηκε.

Βείομαι ἄχρηστον λόγῳ πεζῷ. γίνεται ἀπὸ τοῦ 28b βῶ βείω, ὡς χρῶ χρείω, θῶ θείω, ἢ καὶ ἄλλως ἀπὸ τοῦ βέω πλεονασμῷ τοῦ ῑ ὁμοίως τῷ σέω σείω.

Βέβακται οὐχ ἁπλῶς ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ πεφλυάρηται, ἀπὸ τοῦ βάζω, ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ.

Βένθος τὸ βάθος, παρὰ τὸ βάθος βέθος τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ν βένθος, ὡς πά- 25θω πένθος πένθος.

Βέβαμεν. εἰ μὲν προπαροξυτόνως, ἀπὸ τοῦ βεβήκαμεν καὶ κατὰ συγκοπὴν βέβαμεν· εἰ δὲ παροξυτόνως, ἀπαρέμφατόν ἐστιν,

ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βέβαμεν, σχεδόθεν τε μάχεσθαι.

Βεβολήατο. τῇ ψυχῇ τετρωμένοι ἦσαν, ἐλυποῦντο. παρὰ τὸ βάλλω γίνεται βλῶ. δύναται δὲ καὶ ἀπὸ τοῦ βέλω τοῦ σημαίνοντος τὸ αὐτό, βλήσω, βέβληκα, βέβλημαι, ἐβεβλήμην, ἐβέβλητο, προσθέσει

τοῦ ō ἐβεβοληντο καὶ ἰωνικῶς βεβολέατο, τροπῇ τοῦ ε̄ εἰς η̄ βεβολήατο.

Βέβουλα. ἀπὸ τοῦ βούλω βαρυτόνου ἐνεστῶτος περισπώμενος μέλλων βουλήσω, ὡς θελήσω, βεβούληκα, ὁ μέσος παρακείμενος βέβουλα, ὡς δέδουπα, ἔκτυπα.

Βεβρώσεται. σχήματα δ' αὖτως κακῶς βεβρώσεται. ἀπὸ τοῦ βρῶ βρώσω βέβρωκα βέβρωμαι βέβρωσαι, ὁ μετ' ὀλίγον μέλλων βεβρώσομαι βεβρώσεται.

Βεβρώθοις. φάγοις. βρῶ βρώσω βέβρωκα. ἐκ τούτου δὲ ῥῆμα βεβρώκω, τροπῇ τοῦ κ̄ εἰς θ̄ βεβρώθω, ἡ μετοχὴ ὁ βεβρώθων, τοῦ βεβρώθοντος, καὶ εὐκτικὸν βεβρώθοιμι, βεβρώθοις.

Βελτίω. βελτίονα, ἐκβολῇ τοῦ ν̄ βελτίοα, καὶ κρᾶσιν βελτίω.

Βέλτερος παρὰ τὸ βέλω, ὅθεν καὶ βολὴ καὶ βέλος γίνεται, ῥηματικὸν ὄνομα βελτὸς, καὶ τὸ συγκριτικὸν βέλτερος. βέλτερος ἀπολέσθαι ἕνα χρόνον, ἢ ἐὲ βιῶναι. ὁ δεύτερος τύπος βελτίων βέλτιστος.

Βητάρμων. ὁ ὀρχηστὴς, παρὰ τὸ βαίνειν μετὰ ἁρμονίας βηάρμων, καὶ πλεονασμῷ τοῦ τ̄ βητάρμων, καὶ ἐνόπλιος ὄρχησις. 29 a

Βῆ. βῆ δ' ἀκέων. παρὰ τὸ βῶ βήσω, ὁ πρῶτος ἀόριστος ἔβην. τὸ γὰρ ἔβη καὶ κατὰ ἀφαίρεσιν ἰωνικὴν βῆ περισπωμένως. καὶ ἰστέον ὅτι μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ μορίου, εἰ μακρὰ συλλαβὴ ὑπολείποιτο, περισπᾶται, οἷον ἔφης φῆς, ἔφη φῆ. φῆς ποῦ ἄτερ λαῶν. ἔβην βῆν. βῆν δ' εἰς Αἰόλου κλυτὰ σώματα. εἰ δὲ βραχεῖα, ὀξύνεται ἐξ ἀνάγκης, ἔβαν βὰν, ἔσταν στάν. βῆ μιμητὸν τῆς τῶν προβάτων φωνῆς.

Βιβάσθων. παρὰ τὸ βιβάζω βιβαστὸς, ὥσπερ ἁρμόζω ἁρμοστὸς, ὁρμαστὸς κατὰ μετάθεσιν τῶν φω-

νηέντων. ἐκ δὲ τοῦ ὁρμαστὸς ὁρμαθὸς κατὰ ἀποβολὴν τοῦ σ̄ καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄. οὕτω βιβαστὸς καὶ τροπῇ βιβασθὸς, καὶ ἐξ αὐτοῦ ῥῆμα βιβάσθω, ἐβίβασθον. τὸ γὰρ τρίτον δυϊκῶν βιβάσθων, ὡς τυπτέτων.

Βιβῶντα. βιβάοντα βιβῶντα ἀπὸ τοῦ βιβάω βιβῶ, ἐξ οὗ καὶ βίβημι, ἀφ' οὗ παρατατικὸς ἐβίβην, βιβὰς βιβάντα, ὡς ἱστάντα.

Βίῃφι. βίῃ ἰωνικῶς, ἡ βία, οἷον βίῃ ἡρακληείῃ, βίης βίῃ καὶ πλεονασμῷ τῆς φι βίῃφι.

Βιώατο, ὡς βοώατο. βιάω βιῶ, βιάομαι βιῶμαι, βιαοίμην βιῴμην βιάοιο βιῷο βιάοιτο βιῷτο, πλεονασμῷ τοῦ ᾱ βιώατο.

Βιώτω. ζησάτω. βίωμι ἐβίων βιοὺς βιόντος, τὸ προστακτικὸν βίωθι, βιώτω, ὡς γνώτω, βιόω βιῶ, ἢ βίωμι, ὁ μέλλων βιώσω, ἐβίωσα ἐβίωσας ἐβίωσε, τὸ προστακτικὸν βίωσον βιωσάτω, κατὰ συγκοπὴν τῆς σα βιώτω.

Βιῴην ἔχει τὸ ῑ προσγεγραμμένον. βίωμι, ἐβίων, βιοὺς βιόντος, βιοίην, κατ' ἔκτασιν ἀττικὴν τοῦ ο̄ εἰς ω̄ βιῴην, ὥσπερ τὸ δοὺς δόντος δοίην δῴην.

Βιῶναι. βίωμι ἐβίων, τὸ πρῶτον τῶν πληθυντικῶν ἐβίωμεν, τὸ ἀπαρέμφατον βιῶναι.

Βιῴη. βιέω βιῶ, ἡ μετοχὴ ὁ βιέων ὁ βιῶν τοῦ βιέοντος τοῦ βιοῦντος, τὸ εὐκτικὸν βιέοιμι βιοῖμι βιέοις βιοῖς βιέοι βιοῖ, πλεονασμῷ τοῦ η̄ καὶ ἐκτάσει τοῦ ο̄ εἰς ω̄ βιῴη.

Βλαστὸς παρὰ τὸ βλώσκειν, ὃ σημαίνει τὸ αὔξειν.

Βλάπτω. ἔστι βρῶ τὸ δηλοῦν τὸ ἐσθίω. τοῦτο γίνεται βλῶ κατὰ τροπὴν τοῦ ρ̄ εἰς τὸ λ̄, καὶ κατὰ παραγωγὴν βλάπτω, ἀπὸ μεταφορᾶς τῶν ἐσθιομένων καὶ μηκέτι ὑγειῶν ὄντων.

Βλεὶς οἱ μὲν ἀπὸ τοῦ βληθεὶς κατὰ συγκοπὴν τοῦ η̄ καὶ θ̄, οἱ δὲ ἀπὸ τοῦ βλῆμι. ὁ δεύτερος ἀόριστος ἔβλην, ἡ μετοχὴ βλείς.

Βλήμενος. ὥσπερ τὸ οὐτάμενος ἀναδρομὴν ἔπαθε τόνου, οὕτω καὶ τὸ βλήμενος ἐκ τοῦ βεβλημένος κατὰ ἀφαίρεσιν.

Βλῆσθαι. βεβλῆσθαι, καὶ ἀφαιρέσει βλῆσθαι.

Βλῆτο. ἀπὸ τοῦ βλῶ βλήσω βέβληκα ἐβεβλήμην ἐβέβλησο ἐβέβλητο, καὶ κατὰ συγκοπὴν ἔβλητο, οἷον ἔβλητο πρὸς στῆθος, καὶ ἀφαιρέσει τοῦ ε̄ βλῆτο.

Βλώσκω σημαίνει τὸ αὐξάνω. παρὰ τὸ μολῶ γίνεται παράγωγον μολίσκω, ὡς γαμῶ γαμίσκω, τελῶ τελίσκω, καὶ τροπῇ τοῦ μ εἰς β̄ βολίσκω, καὶ ἐνυπερθέσει βλοῖσκω, καὶ κατὰ συγκοπὴν τοῦ ῑ καὶ ἐκτάσει τοῦ ο̄ εἰς ω̄ βλώσκω. ἰστέον δὲ ὅτι τὰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων παραγόμενα εἰς σκω ῥήματα διὰ τοῦ ισκω γίνεται, οἷον τελῶ τελίσκω, στερῶ στερίσκω, γαμῶ γαμίσκω. ὡσαύτως καὶ τὰ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, κύω κυΐσκω, ῥύω ῥυΐσκω, καὶ τὰ ἀπὸ τῆς τρίτης τῶν περισπωμένων, ἀναλῶ ἀναλίσκω. τὰ δὲ ἀπὸ τῆς δευτέρας διὰ τοῦ ασκω, οἷον ἐῶ ἐάσκω.

Βουκινῆσαι. τὰς βοῦς ἐξελάσαι.

Βοῦς παρὰ τὸ βῶ τὸ τρέφω, ὁ τρέφων ἡμᾶς ἐκ τῆς παρὰ τὴν γῆν ἐργασίας. οὐ δυνάμεθα δὲ λέγειν ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν τοὺς βόας καὶ κατὰ κρᾶσιν βοῦς, τὸ ο̄ γὰρ καὶ ᾱ οὐ κιρνᾶται εἰς τὴν ου, ἀλλ' εἰς τὴν ω̄, κρείττονα κρείττω, ἀλλὰ λέγομεν ὅτι ὁμοφωνία γέγονε τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν. πᾶσα γὰρ εὐθεῖα εἰς σ̄ λήγουσα καὶ συνηρημένη κατὰ τὴν τελευταίαν συλλαβὴν ἔχει τὴν αἰτιατικὴν καὶ κλητικὴν ὁμόφωνον αὐτῇ.

Βοηδρομεῖν. τὸ μετὰ σπουδῆς παραγίνεσθαι. Κάρες δὲ ἀντὶ βοηθεῖν, τοῦτ' ἔστιν ἐπὶ μάχην δραμεῖν. ἔστι δὲ καὶ ἑορτή τις Ἀθήνησι Βοηδρομία καλουμένη. καθ' ἣν ἡμέραν ἐβοήθησεν ὁ Ξάνθης σπουδῇ πολλῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος. Ἐρεχθεὺς δὲ τότε Ἀθηναίων ἐβασίλευσεν.


image
not
available

Βρέμει. ἠχεῖ. κυρίως παρὰ τὸν βρόμον τὸν τοῦ πυρὸς ἦχον. βρόμος γὰρ κυρίως ὁ τοῦ πυρὸς ἦχος. ἐγὼ οὖν νομίζω τὸν βρόμον παρὰ τὸ βρέμω εἶναι.

Βρενθύεται. μεγαλοφωνεῖ, ἐπαίρεται, ἢ προσποιεῖται ὀργίζεσθαι, ἢ οἱονεὶ θρύπτεται.

Βρένθυον δέ ἐστι μύρον. τοὺς οὖν ἀλαζόνας καὶ τρυφηροὺς μύρῳ χρίεσθαι ἀκόλουθον. ἀπὸ τούτου δηλαδὴ τοὺς θρυπτομένους βρενθυομένους λέγουσι.

Βρίζω τὸ κοιμῶμαι. ἔνθ' οὐκ ἂν βρίζοντα ἴδῃς. εἴρηται δὲ βρίξαι τὸ μετὰ φορὰν καὶ τροφὴν καθευδῆσαι.

Βριμαίνω. παρὰ τὸ βρίω τὸ ὑπὸ ὀργῆς βαρύνομαι γίνεται. λέγεται δὲ βριμῶ, ὅθεν καὶ βριμοῦσθαι καὶ βριμοῦνται καὶ βριμῆσαι καὶ ἐμβρίμησις καὶ ἐμβριμῶ. ἐμοὶ δοκεῖ παρὰ τοῦτο τὸ βριμῶ παρῆχθαι τὸ βριμαίνω.

Βρύκω τὸ ἐσθίω παρὰ τὸ βορὰν βορύκω καὶ βρύκω.

Βυσσοδομεύων ἐν αὐτῷ ἐν βάθει διαλογιζόμενος, καὶ κεκρυμμένα βουλευόμενος, ἢ ἐνθυμούμενος, οἱονεὶ ἐν βυθῷ τινι οἰκοδομῶν, καὶ βυσσοδομεύων, παρὰ τὸ βύσσον καὶ τὸ δέμω καὶ οἰκοδομῶ τὸ βύσσοθεν, ὅ ἐστιν ἐν βάθει κατασκευάζειν, ὥστε μὴ πρότερον ἐπιγνωσθῆναι πρὶν ὑπερέχειν ἄνω.

Βώσεσθαι. πῶς τῆμος βώσεσθαι δυσάμορoι. σημαίνει δὲ τὸ βιώσεσθαι.

Βωσόμεθα. βοησόμεθα, κράσει τοῦ ο καὶ η εἰς ω. σημαίνει δὲ τὸ ἐπικαλεσόμεθα.

Βωστρεῖν. καλεῖν, βοᾶν. παρὰ τὸ βοῶ βοάζω βοοστὴς, εἶτα ῥῆμα βοαστρῶ καὶ κράσει βωστρῶ, ὡς ἀπὸ τοῦ καλῶ καλίζω καλιστὴς καὶ καλιστρῶ, καὶ ἀπὸ τοῦ ἐλῶ ἐλάζω ἐλαστὴς καὶ ἐλαστρῶ, οἷον, δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα, Ὅμηρος ἐν Ὀδυσσείᾳ, βωστρεῖν τε Κράτεϊ. Κράτεϊς Κρατείδος ἡ παῖς τῆς Σκυλλῆς.

Γ.

Γαμησείω. ἀπὸ τοῦ γαμήσω γίνεται γαμησείω διὰ διφθόγγου. τὰ γὰρ ἀπὸ ἐνεστώτων καὶ μελλόντων διὰ τοῦ εω γινόμενα παράγωγα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ μὲν ἐνεστώτων ὀλῶ ὀλείω, κιχῶ κιχείω, κρατῶ κρατείω, ἀπὸ δὲ μελλόντων ὄψω ὀψείω, βρώσω βρωσείω, πολεμήσω πολεμησείω. οὕτως οὖν καὶ γαμῶ γαμησείω. πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ ψῶ ψίω, ὃ διὰ τοῦ ι γράφεται, ἀλλ' οὐκ ἀντίκειται. οὐ γάρ ἐστιν ὑπὲρ δύο συλλαβάς. σημαίνει δὲ τὸ ἐμβρωματίζω.

Γανῶ. λαμπρὸν γανόωντες, καὶ γανωμένος καὶ γάνος, παρὰ τὸ γῆ γῶ γανῶ, ἡ θάλλουσα τοῖς φυτοῖς λαμπρὰ καὶ χαρᾶς ἡμῖν αἰτία γινομένη.

Γαμῆσαι μὲν διὰ τοῦ η τὸ εἰς γάμον ἐλθεῖν ἤτοι γυναῖκα λαβεῖν. γαμέσαι δὲ διὰ τοῦ ε τὸ γυναῖκα δοῦναι, ὡς δηλοῖ τὸ,

Πηλεὺς δή μοι ἔπειτα γυναῖκα γαμέσσεται.

τοῦτο δὲ ἐκγαμίζειν οἱ ὕστερον λέγουσιν, ὡς ἄν τις εἴποι ἐμπροικίζειν.

Γεγάασι. γεγένηνται. ἀπὸ τοῦ γείνω τὸ γενῶ, γέγαγκα γέγονα γεγόνασι, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ ᾱ γεγάασι.

Γένατο τὸ ἐγέννησεν, ἢ ἀπὸ τοῦ γείνω ἐγείνατο, καὶ τροπῇ αἰολικῇ τοῦ ι εἰς ν γένατο, ἀφαιρέσει ἰωνικῇ τοῦ ε. οἱ γὰρ Αἰολεῖς τὸ φθείρω φθέρρω, τὸ σπείρω σπέρρω φασὶ, καὶ τὸ γείνατο γένατο. ἢ ἀπὸ τοῦ γεννῶ γεννήσω, ἐγεννησάμην ἐγεννήσω
31b ἐγεννήσατο, καὶ κατὰ συγκοπὴν ἐγέννατο καὶ ἀφαιρέσει γένατο.

Γεγονῶ τὸ φωνῶ, παρὰ τὸ γνόω, καὶ ἐν ὑπερθέσει γονῶ καὶ κατὰ ἀναδιπλασιασμὸν γεγονῶ. οἱ γὰρ ἐξακουόμενοι γνωστοί. τοῦ μέσου παρακειμένου ἡ με-

τοχὴ γεγονώς. Δίδυμος δέ φησι γεγονεῖν εἶναι τὸ εἰς πᾶσαν γωνίαν ἀφικνεῖσθαι τὴν φωνήν.

Γέντο σημαίνει τὸ ἔλαβεν. ἕλω τὸ λαμβάνω, ἑλῶ, ὁ δεύτερος ἀόριστος εἷλον, μέσος εἱλόμην εἷλου εἷλετο, ἰωνικῶς ἕλετο, καὶ κατὰ συγκοπὴν ἕλτο, καὶ τροπῇ δωρικῇ τοῦ λ̄ εἰς ν̄ ἕντο, ὡς ἦνθεν ἦλθεν, καὶ πλεονασμῷ τοῦ γ̄ γέντο, οἷον, ἑτέρηφι δὲ γέντο πυραίραν.

Γείτων. παρὰ τὸ γέα γέγονε γεῖτων καὶ ἐν συναιρέσει γείτων.

Γείνατο τὸ ἐγέννησεν. ἔστι γέα διὰ τοῦ ε̄ ψιλοῦ, οἱονεὶ ἡ γεννητική. ἐκ δὲ τοῦ γέα γέω τὸ σημαῖνον τὸ τίκτω. τοῦτο τὸ γέω γίνεται γένω κατὰ πλεονασμὸν τοῦ ν̄, καὶ καθ' ἕτερον πλεονασμὸν τοῦ ῑ γείνω, ὁ μέλλων γενῶ, ὡς κείρω κερῶ, ὁ ἀόριστος ἔγεινα, ὡς ἔμεινα, ὁ μέσος ἐγεινάμην, τὸ τρίτον ἐγείνατο, καὶ ἀφαιρέσει ἰωνικῇ τοῦ ε̄ γείνατο. Ὅμηρος,

ἡ δὲ σὺ καρτερὸς ἐσσὶ, θεὰ δέ σε γείνατο μήτηρ.

Γέρα. ὄνομα εὐθείας τῶν πληθυντικῶν γέρατα, καὶ ἰωνικῶς γέραα, καὶ ἀττικῶς γέρα, ἢ κατὰ συγκοπὴν γέρα.

Γελαστός. γελάω γελῶ γεγέλακα γεγέλασμαι γεγέλασται γελαστός. ὅτε γὰρ ἔχει βραχὺ τὸ ᾰ̄ ὁ μέλλων, προσλαμβάνει τὸ σ̄ ὁ παθητικὸς παρακείμενος. καὶ ἀγέλαστος.

Γεγώνευν. ῥήματος περισπωμένου φίλου ποιηταῖς τοιάδε ἡ διάθεσις. γνόω γνώσω γέγνωκα, ὁ μέσος γέγνωα, καὶ καθ' ὑπέρθεσιν γέγωνα, ὅθεν κατ' ἀναδρομὴν τὴν εἰς ἐνεστῶτα συνήθη τοῖς παλαιοῖς γεγωνέω γεγωνῶ.

Γηθήσαι. χαίρω κοινὸν, γηθῶ ποιητικὸν, παρατατικὸς κοινὸς μὲν ἔχαιρον, ποιητικὸς δὲ ἐγήθεον, ὁ μέλλων κοινὸς μὲν χαιρήσω, ποιητικὸς δὲ γηθήσω, ἀόριστοι ἐγήθησα καὶ ἐχηράμην, ἀμφότεροι παρὰ ποι-

32a ηταῖς ἐν χρήσει, καὶ ἔτι ἐχαρόμην μέσος δεύτερος ἀόριστος, ἀφ' οὗ χαρούμην χάροιντο χαροίατο, καὶ κατὰ ἀναδιπλασιασμὸν κεχαροίατο. ἐχάρην δὲ κοινὸν ἀπὸ τοῦ ἐγήθησα. γηθήσαιμι τὸ εὐκτικόν, τὸ τρίτον ὃγηθήσαι.

Γίνωσκον ἡμαρτῆσθαι δοκεῖ μὴ γραφόμενον γίγνωσκον ἐν δυσὶ γ̄, ὡς Ἡρακλείδης βούλεται. λέγει γὰρ ἐκεῖνος ὅτι ὥσπερ τελῶ τελίσκω ἰακῶς διὰ τοῦ κ παραληγομένου τῷ σ̄ καὶ τῷ ῑ, ὁμοίως καὶ θορῶ θορίσκω καὶ μολῶ μολίσκω, οὕτω καὶ νοῶ νοΐσκω, ἐκ τούτων δὲ κατὰ κρᾶσιν θρώσκω βλώσκω νώσκω, καὶ αἰολικῶς γνώσκω. Αἰολεῖς γάρ, φησι, τὸ νοῶ γνοῶ φασὶν, ὅθεν καὶ τὸ ἀμφιγνοεῖν ἤγουν διχονοεῖν, καὶ ξύγνοια καὶ τὸ ἀγνοεῖν καὶ ἡ ἄγνοια. ἐφ' οἷς παραδοὺς ὁ Ἡρακλείδης ὡς προτιθέασι τὸ γ̄ ταῖς λέξεσι καὶ οἱ ἠπειρῶται τὸν δοῦπον γδοῦπον λέγοντες, ὅθεν ἐρίγδουπος πόσις Ἥρης. ἔνθα μνηστέον καὶ τοῦ ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη. προσθεὶς δ' εἰπεῖν καὶ ὅτι ἀπὸ τοῦ νέφος νόφος γνόφος αἰολικὸν ὃ ἄλλως δνόφος, καὶ ὅτι τὸ ἐν τῇ Ἰλιάδι γέντο ἤγουν εἵλετο ἔξωθεν ἔχει τὸ γ̄, καὶ ὡς ἡ γνώμη πλεονάζει καὶ αὐτὴ τὸ γ̄, γενομένη δηλαδὴ ἐκ τοῦ νοῶ νοήσω, δωρικῶς μὲν νώμη, αἰολικῶς δὲ γνώμη, διδάσκει ὡς Ἴωνες ὅτ' ἀναδιπλῶσι ῥήματα, τὸ αὐτὸ ἀρκτικὸν ποιοῦνται πρώτης καὶ δευτέρας συλλαβῆς, λαβέσθαι λελαβέσθαι, κάμω κεκάμω, πιθέσθαι πεπιθέσθαι, δάσκω διδάσκω, τύσκω τιτύσκω, χωρὶς εἰ μὴ μέλλοι δύο δασέα κεῖσθαι παράλληλα. φησὶ τοίνυν τοῦ νοΐσκω συνῃρημένου, ὡς εἴρηται, εἰς τὸ νώσκω, εἴη ἂν ἐπ' αὐτοῦ ἰακὴ ἀναδίπλωσις νινώσκω διὰ τῶν δύο νν̄. τοῦ δὲ νώσκω οἱ ἠπειρώτικοι γιγνώσκω διὰ τῶν δύο γ̄, ὡς εἶναι τῷ λογωτάτῳ ἡμαρτημένον τὸ γινώσκω δι' ἑνὸς τοῦ κατ' ἀρχὴν γ̄. εἰ δὲ τοῦτο τοιοῦτον, καθ' Ἡρακλείδην πταίοιτο ἂν ὁμοίως καὶ τὸ γίνεσθαι καὶ τὰ κατ' αὐτὸ πάντως, οἷς οἱ μὲν παλαιοὶ ἐν δυσὶ γ̄ ἐχρῶντο, γίγνομαι λέγοντες καὶ γι-

γνύμενος, οὕτω καὶ τὰ ἄλλα. οἱ δὲ ὕστερον ὡσεὶ καὶ φειδόμενοι γραφικοῦ μέλανος τὸ δεύτερον γ̄ παρέ- 82b
λειψαν. ἔστι γὰρ κἀνταῦθα, ὡς Ἡρακλείδης βούλεται, καθὰ μένω μέμνω κατ' ἀναδιπλασιασμὸν καὶ μεταθέσει τοῦ ε̄ εἰς ῑ μίμνω, κατὰ Ἴωνας, οὕτω καὶ γένω γέγνω καὶ ἐξ αὐτοῦ γίγνω γίγνομαι καὶ τὰ ἀπ' αὐτῶν. ἐν τούτοις δὲ περὶ ἀναδιπλώσεως ἀκριβολογούμενος Ἡρακλείδης λέγει ὅτι ὁπηνίκα μὲν συλλαβῆς ἀναδίπλωσις ᾖ, ὑστερεῖται τὸ ὁλόκληρον μιᾶς συλλαβῆ ἤγουν λείπεται τὸ τέλειον καὶ κοινὸν μιᾶς συλλαβῆς πρὸς τὸ διπλασιαζόμενον. τὸ γὰρ λάβω μιᾶς συλλαβῆ οὕτως ὑστερεῖ τοῦ κατὰ ἀναδιπλασιασμὸν λελάβω. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων. ὅτε δὲ γράμματι ἐνθεωρεῖται ἑνὶ ἡ ἀναδίπλωσις, τότε ἰσοσυλλαβεῖ τῷ ἀναδεδιπλωμένῳ τὸ ὁλόκληρον, οἷον μένω μίμνω, γένω γίγνω, οὕτω καὶ μέλλω μέμβλω πλεονασμῷ ἤγουν παρενθέσει τοῦ β̄ διὰ τὸ μηδέποτε κατὰ μίαν συλλαβὴν τοῦ λ̄ ἔπεσθαι τῷ μ̄, ὡς δῆλον ἐκ τοῦ, ὡς ἐρρέθη, μολίσκω βλώσκω, καὶ ἐκ τοῦ παραμεμέληκε παραμέμβλωκε. καὶ πρῶτον μὲν ταῦτα ἰστέον ὡς ἀνα-
γέγραπται, εἶτα καὶ ὅτι τὸ ὁμῶ ἤγουν ὀμνύω ἔστι μὲν καὶ πρώτης συζυγίας τῶν περισπωμένων, ὡς δῆλον ἐκ τοῦ ὀμεῖν ἀπαρεμφάτου, ἴσως δὲ καὶ ἐκ τοῦ ὀμοῦμαι ὀμῇ ὀμῆται, συνηθεστέρα δέ ἐστιν ἡ κατὰ τρίτην συζυγίαν τῶν περισπωμένων προφορὰ τοῦ τοι-
ούτου ῥήματος. ὡς γὰρ ὁμῶ ὁμόσω τὸ ἑνώσω, οὗ ἡ χρῆσις ἐν Ἰλιάδι, οὕτω καὶ ὁμῶ ὁμόσω κατὰ μόνην ἐκφώνησιν τὸ ὅρκον δώσω. εἰ δὲ μὴ παραλήγεται ὁ τοιοῦτος μέλλων τῷ ω̄ μεγάλῳ κατὰ τὸ χρυσῶ χρυσώσω καὶ ὅμοια καὶ τὰ ἐξ αὐτῶν, καινὸν οὐδὲν τοῖς ἐπισκεπτομένοις τὴν καὶ ἐν τοῖς τοιούτοις ἀνάλογον ὁμοιότητα. ἔστι γὰρ φάναι ὅτι ὥσπερ ἡ πρώτη συζυγία τῶν περισπωμένων ποτὲ μὲν ἐν τῷ μέλλοντι τῷ ε̄ παραλήγεται, οἷα τοῦ ἐντελοῦς ἐνεστῶτος προσλαβομένου τοῦ σ̄ πρὸ τοῦ λήγοντος ω̄, οἷον καλέω καλέσω, ἐμέω ἐμέσω, αἰνέω αἰνέσω, νεικέω νεικέσω καὶ

33a τῶν ὁμοίων, ποτὲ δὲ τρέπει ἐκτατικῶς τὴν ἐν τῷ μέλλοντι βραχεῖαν παράληξιν εἰς μακρὰν, ὃ γίνεται ἐν τῷ καλήσω, ἀφ' οὗ ὁ ἐν τῇ Ἰλιάδι καλήτης, καὶ ἐν τῷ ἐπαινήσω καὶ νεικήσω καὶ τοῖς λοιποῖς ὧν δασυλὴς ἡ χρῆσις. ἔτι δὲ ἐν τῇ τῶν περισπωμένων δευτέρᾳ συζυγίᾳ πῇ μὲν ὁ μέλλων τὸ τοῦ θέματος παραλῆγον ᾱ τηρεῖ, ὡς ἐν τῷ γελάω γελάσω, πῇ δὲ εἰς τέλειον μακρὸν τρέπει, ὡς ἐν τῷ βοάω βοήσω, οὕτω καὶ ἐπὶ τῆς περισπωμένης τρίτης γίνεται συζυγίας, καὶ τὸ μὲν ὁμόω τὸ ὀμνύω, καὶ ἀρόω τὸ ἀροτριῶ, καὶ ὀνόω τὸ μέμφομαι, καὶ βόω τὸ τρέφω, προσλήψει τοῦ σ, φυλάσσουσιν ἐν τῷ ὁμόσω ἀρόσω ὀνόσω βόσω, ἐξ οὗ καὶ τὸ βόσκω καὶ ἡ βόσις καὶ ἡ βότειρα, τὴν παραλήγουσαν τοῦ ἐντελοῦς ἐνεστῶτος. τὸ μέντοι χρυσώσω καὶ τὰ λοιπὰ ὅλα τὰ πρὸς αὐτὸ ἐξέτειναν τὸ ἀνάλογον ο εἰς ω μέγα, καὶ κατεκράτησεν ἡ τοιαύτη γραφὴ ἐν τῇ συνηθείᾳ. ὥσπερ γὰρ τῶν εἰς ως μετοχῶν ὀξυτόνων ἀπαλλαττομένων τοῦ ω μεγάλου ἐν ταῖς πλαγίαις, οἷον ἐν τῷ ἑστηκὼς ἑστηκότος, τεθνηκὼς τεθνηκότος καὶ τοῖς ἄλλοις ὅλοις. μόνα κοινότερον τὸ ἑστὼτος βεβὼτος γεγὼτος τεθνεὼτος ἐφύλαξαν τὸ ω τῆς εὐθείας καὶ ἐν τῇ γενικῇ, πρὸς ἐνθύμιον ἀναλογίαν τοῦ γέλως γέλωτος, ἱδρὼς ἱδρῶτος καὶ τῶν ὁμοίων. οὕτω καὶ τὰ δεύτερα παθητικὰ πρόσωπα τῶν εἰς μαι ληγόντων ῥημάτων, ὁποῖον τὸ τύπτομαι τύπτῃ καὶ τὰ λοιπὰ ὅλα κατὰ τὴν παλαιὰν ἀτθίδα διὰ τῆς ει διφθόγγου γραφόμενα, ὡς καὶ ἐν τοῖς τοῦ κωμικοῦ πέφηνεν, οἱ ὕστερον Ἀττικοὶ γράψαντες διὰ τοῦ η σὺν τῷ ι προσγεγραμμένῳ, ἀφῆκαν σώζεσθαι ἐν γραφῇ τῇ διὰ τῆς ει διφθόγγου, χάριν παλαιᾶς ἐνθυμήσεως, τὸ βούλομαι βούλει, οἴομαι οἴει, ὄψομαι ὄψει καὶ ἔομαι ἔει καὶ κατὰ κρᾶσιν εἶ. εἰ δὲ ὁ βώτωρ καὶ ἡ βωτιάνειρα, χρὴ γὰρ ἀνακάμψαί τι βραχὺ ἐς τὰ πρὸ ὀλίγων, διὰ τοῦ ω μεγάλου γράφεται, λογιστέον ὅτι ταῦτα ὑπομιμνήσκουσιν ἐγχωρεῖν, καὶ τὸ βῶ βώσω ἐκταθῆναι εἰς ω μέγα καὶ

τὰ ἄλλα. οὐ μὴν τὸ αὐτὸ βούλεται καὶ ὁ βοτήρ. βίαν δηλοῖ τὸ, ἦ μάλα δή με βιάξετε μόνον ἐόντα. πληροφορίας δὲ τῆς ἐπ' ἀγαθῷ ἀπαιτωτικὸν τὸ, ἀλλ' 33b ἄγε νῦν μοι πάντες.

Γεγῶσα ἀπὸ τοῦ γενῶ τὸ γίνομαι, ὁ μέλλων γενήσω, ὁ μέσος παρακείμενος γέγηνα, ἀποβολῇ τοῦ ν γέγηα, ἡ μετοχὴ γεγαὼς, τροπῇ τοῦ η εἰς α, καὶ ἔστι σεσημειωμένον τὸ γεγαὼς, μεμαὼς, βεβαὼς, ἑσταώς. ἅπαντα κατὰ κρᾶσιν γίνεται γεγὼς γεγῶτος, μεμὼς μεμῶτος, βεβῶτος, ἑστῶτος, καὶ τὰ θηλυκὰ γεγῶσα, μεμῶσα, βεβῶσα, ἑστῶσα, καὶ τὰ οὐδέτερα διὰ τοῦ ω μεγάλου τὸ γεγὼς, τὸ μεμὼς.

Γλύσσων. ὁ γλυκύτερος. παρ' Ἀριστοφάνει γλύσσονα σῦκα. παρὰ τὸ γλυκὺς γλυκύτερος γλυκίων γλύσσων, ὡς βραδὺς βραδύτερος βραδίων βράσσων.

Γλυκίων. ἡ κλητικὴ ὦ γλύκιον. τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζει τὸν τόνον ἐπὶ τῆς κλητικῆς, ἀρείων ὦ ἄρειον, καὶ βελτίων ὦ βέλτιον. τοῦτο δὲ παρὰ τὸ γλεῦκος εἴρηται, ὅ ἐστιν ὁ οἶνος ὁ νεωστὶ ἀποστάζων ἀπὸ τῆς ληνοῦ.

Γνοίης. ἐκ τοῦ γνῶ γινώσκω ἔγνων γνοὺς γνόντος γνοίην γνοίης τὸ εὐκτικόν. ἰστέον δὲ ὡς ἡνίκα ἡ γενικὴ τῆς μετοχῆς παραλήγεται τῇ ου διφθόγγῳ ᾗ τῷ ο, τὸ εὐκτικὸν διὰ τῆς οι διφθόγγου γίνεται. οἷον ποιοῦντος τελοῦντος γνόντος δόντος, ποιοίην τελοίην δοίην γνοίην· ἡνίκα δὲ τῷ ε παραλήγεται, τὸ εὐκτικὸν τῇ ει διφθόγγῳ χρᾶται, τυφθέντος θέντος αἰτηθέντος, τυφθείην θείην αἰτηθείην.

Γνῶθι. ἐκ τοῦ γνῶμι γνώσω, ἔγνων ὁ δεύτερος ἀόριστος, ἡ μετοχὴ γνοὺς γνόντος, τὸ προστακτικὸν γνῶθι.

Γουνοῦμαι καὶ γουνάζω κυρίως τὸ τῶν γονάτων ἅπτομαι καὶ γουνάζω τὸ ἱκετεύω.

Γοῦνα. γόνατα, γόνυ γόνυος γόνυα, καὶ ἐν ὑπερθέσει τοῦ υ γοῦνα. ἔστι δὲ καὶ ἀπὸ τοῦ γόνατα γού-

νατα πλεονασμῷ τοῦ ῡ, καὶ κατὰ ἀποκοπὴν γοῦνα καὶ γούνων ἀπὸ τῶν γουνάτων ἢ ἀπὸ τῶν γονύων.

Δ.

34 a *Δαιννύω καὶ δαίννυμι τὸ εὐωχοῦμαι. εἴρηται παρὰ τὸ δαίω τὸ εὐωχοῦμαι, καὶ πλεονασμῷ τοῦ ν̄ δαίνω, καὶ ἐν τῇ παραγωγῇ προσλαμβάνων ἕτερον ν, ὡς τίνω τιννύω, γίνεται δαιννύω δαίννυμι, ὡς ὀρέγω ὀρεγνύω ὀρέγνυμι. τὸ παθητικὸν δαίννυμαι, ὁ παρατατικὸς ἐδαιννύμην ἐδαίννυσο. τὸ γὰρ τρίτον τῶν πληθυντικῶν ἐδαίνυντο καὶ ἀφαιρέσει δαίνυντο.*

Δαίννυ. δαιννύω, ὁ παρατατικὸς ἐδαίννυον ἐδαίνυες ἐδαίννυε, καὶ τὸ προστακτικὸν δαίννυε, ἀποκοπῇ τοῦ ε δαίννυ, οἷον δαίννυ δαῖτα γέρουσιν, ἢ οὕτως, δαίννυμι, καὶ ὁ παρατατικὸς ἐδαίννυν, ἡ μετοχὴ ὁ δαιννὺς τοῦ δαιννύντος, τὸ προστακτικὸν δαίννυθι, καὶ ἀποκοπῇ τοῦ θῑ δαίννυ. ἔστι δὲ ἐπὶ τρίτου προσώπου τοῦ παρατατικοῦ καὶ κανονίζεται οὕτως, δαίνυμι, καὶ ὁ παρατατικὸς ἐδαίνυν ἐδαίνυς ἐδαίνυ καὶ ἀφαιρέσει τοῦ ε̄ δαίνυ.

Δαμῶ τὸ πρωτότυπον, τὸ δὲ παράγωγον δαμάζω. ἔστι δὲ τὸ δαμῶ συζυγίας δευτέρας.

Δαμᾷ ἐνεστῶτος. γέγονε δὲ παρὰ τὸ δέμω τὸ δαμάζω. ὁ δεύτερος ἀόριστος ἔδαμον. κἄνπερ τύχῃ τὸ ε̄ σὺν ἀμεταβόλῳ, εἰς α̅ αὐτὸ τρέπει. ὁ δεύτερος ἀόριστος καὶ ὁ δεύτερος μέλλων δαμῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα καὶ γίνεται δαμῶ δαμᾷς δαμᾷ. τινὲς δὲ οὕτω, δαμῶ καὶ ὁ μέλλων δαμάσω, τὸ γ̓ δαμάσει καὶ ἀποβολῇ τῆς σεῑ συλλαβῆς δαμᾷ. ἢ ὡς Ἡρωδιανός, ἀπὸ τοῦ δαμάζω γίνεται δαμῶ κατὰ συγκοπήν. πρωτότυπον δαμῶ, παράγωγον δαμάζω, ἐξ οὗ τὸ δάμνω, καὶ εἰς μῑ δάμνημι ἀπὸ τοῦ δαμνῶ. τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ̓ ἐπέεσσιν. ἐδάμων, ἐδάμαζον, ἐδάμην, δεδέμακα καὶ κατὰ συγκοπὴν δέδμηκα καὶ δεδμήμην, ἐδάμασα καὶ ἐξῆς αὐτά.

Δάμνω καὶ δάμνημι, δαμάω δαμῶ, καὶ πλεονασμῷ τοῦ ν δαμνῶ καὶ εἰς μι δάμνημι.

Δαρθεῖν. τὸ κοιμηθῆναι. δραθεῖν, καὶ καθ' ὑπέρθεσιν, ὡς κραδία καρδία εἴρηται, παρὰ τὸ 84b δέρμα. κυρίως γὰρ τὸ ἐπὶ δερμάτων καθευδῆσαι ἔστι5 δαρθεῖν. ἢ παρὰ τὸ δρῶ τὸ ἐνεργῶ γίνεται δρήθω κατὰ ἀντίφρασιν τὸ κοιμῶμαι. οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσι.

Δάκρυ ἀποκοπὴν παθὸν ἐκ τοῦ δάκρυον οὐκ ἔτι κινεῖται εἰς κλίσιν, ὡς οὐδὲ τὸ δῶ ἤτοι δῶμα,10 οὐδὲ τὸ κρι, ὅ ἐστι κρίμνον, οὐδὲ τὸ ἦλ, ὅπερ ἐστὶν ἦλος, οὐδ' ὅσα ἕτερα τοιαῦτα. ὡς γὰρ οὐκ ἂν ὑπόπουν ζῶον βαδίζει τῶν ποδῶν αὐτῷ ἀποκοπέντων, οὕτω πως οὐδὲ λέξις ἀποβαλοῦσα τὴν λήγουσαν ἔχοι ἂν κινεῖσθαι εἰς κλίσιν. δῆλον δὲ ἐκ τοῦ δάκειν γίνε-15σθαι τὸ δάκρυον.

Δαῶμεν ταυτὸν τῷ γνῶμεν, μάθωμεν, μετακλιθὲν ἐκ τοῦ ἐδάην, πρὸς ὁμοιότητα τοῦ ἐτύφθην τυφθῶμεν καὶ τῶν ὁμοίων.

Δεδαίαται. δαίω, δαίσω, δέδαικα ὁ παρακεί-20μενος, δέδαίμαι δέδαινται καὶ ἰωνικῶς δεδαίαται. ὁ ὑπερσυντέλικος ἐδεδαίμην καὶ δεδαίατο ἰακῶς.

Δεδήει. ἐξῆπτο, διεγήγερτο, ἀπὸ μεταφορᾶς τοῦ πυρός. δαίω δαίσω δέδαια, τροπῇ τοῦ ᾱ εἰς ῃ δέδηα, ὁ μέσος ὑπερσυντέλικος ἐδεδήειν καὶ ἀφαιρέσει τοῦ ε̄25 δεδήειν, τὸ τρίτον δεδήει.

Δέδια καὶ δεδιώς. ἔστι δέω τὸ φοβοῦμαι, ὁ μέλλων δέσω, δέδεκα, ἀποβολῇ δέδεα, καὶ μεταθέσει τοῦ ε̄ εἰς ῑ δέδια, καὶ δεδιὼς ἡ μετοχή.

Δεδμήατο. δαμῶ δμῶ δμήσω δέδμηκα ἐδεδμή-30μην ἐδέδμητο καὶ ἰακῶς δεδμέατο, ὡς πεποιέατο, καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ δεδμήατο. οὕτω καὶ πεφοβήατο.

Δέδοικα. ἔστι δείδω τὸ φοβοῦμαι, οἷον, δείδω μή τι πάθω. τούτου ὁ μέλλων δείσω, ὁ παρακείμενος δέδεικα, ὁ μέσος δέδοικα, καὶ διὰ τὴν ἐπαλληλίαν35

τῶν τριῶν δ̄ ἐτράπη τὸ τελευταῖον δ̄ εἰς κ̄ καὶ γέγονε δέδοικα. ἢ οὕτως. ἔστι ῥῆμα δείδω τὸ φοβοῦμαι, τούτου ὁ παρατατικὸς ἔδειδον καὶ ὁ παρακείμενος δέδεικα, καὶ κατὰ διάλυσιν δεδίϊκα, καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄ καὶ συνθέσει δέδοικα. ἢ οὕτως. ἔστι δέω τὸ φοβοῦμαι, ὁ μέλλων δέσω, ὁ παρακείμενος δέδεκα καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄ καὶ πλεονασμῷ τοῦ ῑ δέδοικα.

35a *Δείδιθι.* ἔστι δείδω μεταθέσει τοῦ τόνου δειδῶ, ὁ μέλλων δειδήσω, ἐξ οὗ καὶ τὸ δειδήμων. *ἀλλὰ μάλα Τρῶες δειδήμονες.* ἐκ τοῦ δειδῶ δείδημι ὁ παρατατικὸς ἐδείδην, τῶν πληθυντικῶν τὸ πρῶτον ἐδείδημεν, καὶ τὸ προστακτικὸν δείδιθι. ἢ ὁ παρατατικὸς ἐδείδην, ἡ μετοχὴ δειδεὶς δειδέντος, τὸ προστακτικὸν δείδιθι.

Δειδίξασθαι. ἐκφοβῆσαι. δείδω δειδίσσω καὶ δειδίξω, ἢ ἐκ τοῦ δεδίσσω δειδίσσω πλεονασμῷ τοῦ ῑ δειδίξω ἐδείδιξα ἐδειδιξάμην ἐδείδιξω ἐδειδίξατο δειδίξασθαι.

Δεδοκημένος. ἐκδεχόμενος, ἐπιτηρῶν. δοκέω δοκῶ δοκείσω, καὶ καθεξῆς.

Δειδίοτα. ἀπὸ τοῦ δεδιὼς δειδιὼς δειδίοτα.

Δείδω. ἀπὸ τοῦ δέος δέω καὶ δείω καὶ πλεονασμῷ τοῦ δ̄ δείδω. λέγεται καὶ δείω.

Δείδεκτ' Ἀχιλῆα. ἐδεξιοῦτο, δέδεκτο καὶ πλεονασμῷ τοῦ ῑ δείδεκτο.

Δείκνυ.

οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι.

δεικνύω δείκνυμι ἐδείκνυν ἐδείκνυς ἐδείκνυ καὶ ἀφαιρέσει τοῦ ε̄ δείκνυ. ἔστι δὲ προστακτικὸν δείκνυ, ὥσπερ τὸ ἵστη ἵστημεν. *ὄμμα δείκνυ τὸ τῆς μιᾶς γαστρός.*

Δεικνύω. ἀπὸ τοῦ δεύκω τὸ βλέπω τροπῇ τοῦ ῡ εἰς ῑ δείκω, πλεονασμῷ τοῦ ν̄ δείκνω, κατὰ παραγωγὴν δεικνύω.

Δευοίατο. δέω τὸ ἐλλείπω, αἰολικῷ πλεονασμῷ τοῦ ῡ δεύω, τὸ παθητικὸν δεύομαι, τὸ εὐκτικὸν παθητικὸν δευοίμην δεύοιο δεύοιτο. τὸ τρίτον τῶν πληθυντικῶν δεύοιντο, καὶ τροπῇ τοῦ ν εἰς α αἰολικῶς ἢ μεταθέσει τοῦ ν εἰς α λακῶς δευοίατο, ὡς πιθοίατο. οἱ γὰρ Ἴωνες ἐπὶ τῶν εὐκτικῶν παθητικῶν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν μετατιθέασι τὸ ν εἰς τὸ α, πιθοίατο καὶ δευοίατο λέγοντες ἀντὶ πίθοιντο δεύοιντο.

Δευόμενον. ἐκδεόμενον, χρήζοντα, παρὰ τὸ δεύω τὸ σημαῖνον τὸ χρήζω, ὅπερ ἀπὸ τοῦ δέω γέγονε κατὰ πλεονασμὸν τοῦ ῡ. τὸ παθητικὸν δεύομαι δεύῃ. οἷον, ἢ πολλὸν ἀποιχομένου Ὀδυσσῆος δεύῃ.

Δεύτατος. παρὰ τὸ δέω δεύω καὶ δεύομαι τὸ λείπομαι γίνεται δεύτερος καὶ δεύτατος, ὥσπερ παρὰ τὸ φέρω φέρτερος καὶ φέρτατος, ἵν' ᾖ ὁ λειπόμενος τινὸς τῇ τάξει καὶ μὴ πρῶτος, οἷον, δεύτερος αὖτ' Ὀδυσσῆα.

Δέχαται. ἀπὸ τοῦ δέδεκται δεδέχαται καὶ συγκοπῇ δέχαται ἢ ἀφαιρέσει, ὡς δεδεγμένος δέγμενος.

Δέχθαι. δέχω δέξω δέδεχα δέδεγμαι δέδεκται, δεδέχθαι τὸ ἀπαρέμφατον καὶ ἀφαιρέσει τοῦ ἀναδιπλασιασμοῦ δέχθαι.

Δεχνύμεναι. ἔστι δέχω, οὗ τὸ παθητικὸν δέχομαι. ἐκ δὲ τοῦ δέχω δέχνω καὶ κατὰ πλεονασμὸν τοῦ ῡ δεχύνω, ὡς πλήθω πληθύω πληθύνω, καὶ ὑπερθέσει τοῦ ν δεχνύω, ἀφ' οὗ δέχνυμι τετάρτης συζυγίας, τὸ παθητικὸν δέχνυμαι καὶ δεχνύμενος, ὡς ὀρνύμενος καὶ ἀχνύμενος.

Δένδρεον καὶ *δένδρον* γράφεται παρὰ τῷ Ἀλλίῳ Διονυσίῳ, ἐξ οὗ καὶ τὸ δενδριάζειν ἐν Ὀδυσσείᾳ τὸ δρυσὶ σκέπεσθαι.

Δειδέχατο. κανόνισον· δέχομαι, ὁ μέλλων δέξομαι, ὁ παρακείμενος δέδεχα, ὁ παρακείμενος παθητικὸς δέδεγμαι, ὁ ὑπερσυντέλικος ἐδεδέγμην, τὸ τρί-

τον τῶν πληθυντικῶν ἰωνικῶς ἐδεδέχατο καὶ πλεονασμῷ τοῦ ῑ δειδέχατο.

Δέδασται. δάζω ἐνεστὼς ἄχρηστος. ἀντὶ τούτου δὲ λέγεται τὸ δετρεύω, οἷον, τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε δετρεύειν. καὶ τὸ δατέομαι, ὃ διὰ τὸ ἐφεξῆς ἔχειν τρία βραχέα δατεῦμαι λέγεται, ἀφ' οὗ τὸ δατεώμεθα, οἷον, ὅτε κεν δατεώμεθα λῃΐδ' Ἀχαιοὶ, δάσομαι μέλλων, ἐδασάμην ἀόριστος, δέδασμαι παθητικὸς παρακείμενος, τὸ τρίτον δέδασται.

Δέδιθι. κανόνισον· δείδω, ὁ μέλλων δείσω, ὁ παρακείμενος δέδεικα, ὁ μέσος δέδια δέδιε καὶ κατὰ μεταπλασμὸν τροπῇ τοῦ ε εἰς θι. μεταπλασμὸς δέ ἐστιν ἐναλλαγὴ λέξεως εἰς ἑτέραν λῆξιν τῆς αὐτῆς πτώσεως ἢ τοῦ αὐτοῦ χρόνου, οἷον τῷ κλάδῳ τῷ κλάδι, τὼ ὄσσω τὼ ὄσσε, ἰὲ ἴθι. δύναται δὲ κανονισθῆναι οὕτως καὶ ὁ παρατατικὸς ἴην, ἡ μετοχὴ ὁ ἰείς τοῦ ἰέντος, καὶ τὸ προστακτικὸν ἴθι, ὥσπερ ἴσαθι καὶ κατὰ 36a συγκοπὴν ἴσθι, ἤγουν γίνωσκε. ἔτι τέσσαρα θέματά εἰσι τοῦ εἶω. εἶω τὸ πρῶτον διὰ διφθόγγου, ἴω πάλιν διὰ τοῦ ῑ, ἰέω ἰῶ καὶ ἴημι, ἀμφότερα διὰ τοῦ ῑ. ἴωμεν οὖν ἐστι τὸ πρωτότυπον, ὃ καὶ διὰ διφθόγγου γράφεται. ἀπὸ τούτου εἰμι τὸ πορεύομαι ἀεὶ ἐπὶ μέλλοντος λαμβάνεται, καὶ ἴω διὰ τοῦ ῑ, καὶ ἰέω ἰῶ περισπώμενον, ὃ καὶ ψιλοῦται καὶ δασύνεται. τὸ μὲν οὖν ἐπήει τὸ ἐπῆλθεν οὐ δύναται ἄλλως κανονισθῆναι, εἰ μὴ ἀπὸ τοῦ εἶω τοῦ διὰ διφθόγγου γραφομένου, οὕτως, εἶω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, καὶ ἐν διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ᾗα, μένοντος καὶ τοῦ ῑ προσγεγραμμένου, ὁ ὑπερσυντέλικος ᾔειν ᾔεις ᾔει καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπήει, ἀντὶ τοῦ ἐπήρχετο κατὰ διάνοιαν, ἢ ἀντὶ τοῦ κατέλαβεν. εἰ δὲ μετὰ τῆς ἀπό προθέσεως, σημαίνει ἀντὶ τοῦ ἀπήρχετο ἢ ἀπεδήμησεν.

Δέω δῶ τὸ δεσμῶ, ἔδεον ἔδουν παρατατικὸς, δήσω μέλλων, ἔδησα ἀόριστος, δέομαι ἐνεστὼς παθη-

τικὸς, ἐδεόμην ἐδούμην παρατατικὸς, δήσομαι μέλλων, ἐδέθην ἀόριστος, δέδεμαι παρακείμενος.

Δείδοικα. πρωτότυπον ὂν δέδοικα, ἐκ τοῦ δείδω τὸ δειλιῶ, ἔχει ἀπορίαν πῶς διὰ τοῦ κ̄ ἐκφέρεται καὶ μὴ διὰ τοῦ θεματικοῦ δ̄ διὰ τὸν κανόνα, δι' οὗ ὥρισται καθολικῶς ὅτι ἐπὶ τῶν βαρυτόνων δι' οὗ συμφώνου ἐκφέρεται ὁ ἐνεστὼς, δι' αὐτοῦ καὶ ὁ μέσος παρακείμενος, οἷον λείβω λέλοιβα, λέγω λέλογα, κατὰ τὸν Ἡρωδιανὸν, καθ' ὃν ἔδει ἀπὸ τοῦ δείδω δέδοιδα εἶναι τὸν μέσον παρακείμενον. λύσις δὲ τῆς ἀποριας ταύτης τὸ μὴ χρῆναι τρία παράλληλα παραλαμβάνεσθαι. τὸ γὰρ τοιοῦτον ψελλισμῷ φησιν ὑποπίπτει. διὸ ἀντεισῆλθε τοῦ τρίτου δ̄ τὸ κ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω, δείσω, δέδεικα, ὃς ἐσιγήθη διὰ τὸ τοῦ μέσου παρακειμένου πολύχρηστον. ὅτι δ' ἐν πολλοῖς ἡ παραλληλία φεύγεται δηλοῖ καὶ ὁ τεμένιος, ὃς δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ κήτειος κήδειος ἐπιτήδειος καὶ τῶν ὁμοίων, ὅμως, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε̄, ἐγράφη διὰ μόνου τοῦ ῑ. Σοφοκλῆς, τεμενίαν τε φυλάλαδα. οὕτω καὶ τὸ Ἰριδι δίῃ κακίζεται διὰ τὸ ἐπάλληλον τῶν διχρόνων. 36b

Δεικνύμενος ἀντὶ τοῦ δεξιούμενος, φιλοφρονούμενος, ξενοδοχῶν. ἀπὸ τοῦ δέκω ἰωνικοῦ ῥήματος, ἐξ οὗ δέκνω δεκνύω δέκνυμι καὶ πλεονασμῷ δείκνυμι. ἀφ' οὗ μεταφορικῶς δεικνῦναι λέγεται καὶ τῷ δακτύλῳ ἢ ἄλλως ὁπωσοῦν γνώριμόν τι ποιεῖν. ἐκ δὲ τοῦ ῥηθέντος δέκω καὶ δείκω καὶ τὸ δεικανᾶσθαι γίνεται, οἷον, δεικανόωντ' ἐπέεσσιν, ἤγουν ἐδεξιοῦντο.

Δηϊώσας. ἔστι δαίω καίω τὸ κόπτω. ἐκ τούτου γίνεται δαΐος καὶ δηΐος καὶ ῥῆμα δηϊόω καὶ συναιρέσει δηϊῶ, τρίτης συζυγίας τῶν περισπωμένων, οὗ ὁ παρατατικὸς ἐδηΐοον ἐδηΐουν, ὁ μέλλων δηϊώσω, ὁ ἀόριστος ἐδηΐωσα καὶ δηώσας. ἐκ δὲ τοῦ δηϊόω καὶ δηϊῶ, οὗ ὁ παρατατικὸς ἐδηΐουν ἐδήουν. ἐκ δὲ τοῦ δηῶ καὶ τὸ δηῶσαι ἀπαρέμφατον.

Δηθύνω. τὸ βραδύνω. παρὰ τὸ δηθὰ ἐπίῤῥημα, οἷον, δηθὰ μᾶλλον στενάχων, δηθύνω. πολλὰ γὰρ ῥήματα γίνεται ἀπὸ ἐπιῤῥημάτων, ὡς λίαν λιάζω, θαμὰ θαμίζω, ὀψὲ ὀψίζω.

Διαίνω. τὸ βρέχω. δίαινε δέ μιν μέλαν ὕδωρ. παρὰ τὸν Δία. κυρίως γὰρ τὸ ἐκ Διὸς βρέχεσθαι, Διὸς διῶ διαίνω, ὡς δρῶ δραίνω.

Διαμπερές. διόλου, παρὰ τὸ πέρας, διαπέρας, κατὰ πλεονασμὸν τοῦ μ̄ καὶ μεταθέσει ἰωνικῇ τοῦ ᾱ εἰς ε̄ διαμπερὲς, τοῦτ' ἔστι τὸ ἀπ' ἀρχῆς ἕως τοῦ τέλους πέρας.

Διαπραθέειν, διαπραθεῖν. τὸ θέμα πέρθω, οἷον ἐκπέρσαι πόλιν, ὁ μέλλων πέρσω, ἔπερσα, ὁ δεύτερος ἀόριστος ἔπαρθον, ὡς ἔτραφον. κἂν που γὰρ τύχῃ τὸ ε συν ἀμεταβόλῳ εἰς ᾱ, τρέπεται ἐν τῷ δευτέρῳ ἀορίστῳ καθ' ὑπέρθεσιν ἔπραθον, ὁ μέλλων δεύτερος πραθῶ πραθεῖν καὶ πραθέειν καὶ διαπραθέειν.

Διαπρύσιον. ἐξάκουστον, μέγα. παρὰ τὸ πεύθομαι ἐπυθόμην, πύσιον καὶ πρύσιον πλεονασμῷ τοῦ ῥ̄, ἀπὸ τοῦ περῶ περάσιον καὶ κατὰ συγκοπὴν πράσιον καὶ τροπῇ πρύσιον, ἢ ὡς πονῶ πονύω, περῶ περύω περύσω περύσιον καὶ συγκοπῇ πρύσιον καὶ διαπρύσιον.

Διαρταμήσαντες. διακόψαντες, διαμερίσαντες, οἷον, μεληδὸν διαρταμήσαντες, ἀπὸ τοῦ ἄρταμος, ὃ σημαίνει τὸν μάγειρον, ἢ ἀπὸ τοῦ διαιρῶ τοῦ τέμω.

Διαῤῥᾶῖσαι. ἔστι ῥαίω τὸ φθείρω καὶ γίνεται ἐκ τοῦ φθείρω δωρικῶς φθέρω, καὶ ἀφαιρέσει τῶν δύο συμφώνων αἴρω καὶ ἐν ὑπερβιβασμῷ τοῦ ῥ̄ ῥαίω. τὸ ραι διφθόγγου, διότι τὰ αιω ἀσυναίρετα ὄντα κατὰ τὸ β' καὶ γ' πρόσωπον διὰ τῆς αι διφθόγγου γράφεται, οἷον πταίω, παίω τὸ τύπτω, ῥαίω, παλαίω.

Διδάσκω. δαίω, ὁ μέλλων δαίσω. σημαίνει δὲ τὸ μανθάνω πλεονασμῷ τοῦ κ̄ δαίσκω, ὡς μεθύω με-

θύσω μεθύσκω καὶ κατὰ ἀναδιπλασιασμὸν διδαίσκω, ὡς τρώσω τρώσκω τιτρώσκω, γνώσω γιγνώσκω, κατὰ ἀποβολὴν τοῦ ῑ διδάσκω.

Διδώσομεν. αὐτὰρ καὶ δῶρα διδώσομεν. κατὰ ἀναδιπλασιασμόν.

Διεξιέμεναι. διεξίημι διεξεὶς διεξέντος διεξιέναι, ὡς τιθέναι, προσθέσει τῆς με διεξιέμεναι.

Διενήνοχεν. ἐνέκω, ἀφ' οὗ τὸ ἐνέγκω γίνεται, ὁ μέλλων ἐνέξω, ὁ παρακείμενος ἤνεχα καὶ τροπῇ τοῦ ε εἰς ο ἄττικῶς ἤνοχα, ὡς κέκλοφα, πέπομφα, καὶ προσθέσει τοῦ ε καὶ ν ἐνήνοχα· οἱ γὰρ Ἀττικοὶ τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος δύο γράμματα προστιθέασι τῷ κοινῷ παρακειμένῳ· καὶ μετὰ τῆς προθέσεως τῆς διά κατὰ συγκοπὴν διενήνοχεν.

Δίεπε. διέπω τὸ εὐτρεπίζω. σημαίνει καὶ τὸ διετάρασσε καὶ ἐδίωκεν, ἢ διεκόσμει.

Διέτμαγεν. διεχωρίσθη. ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων. ἔστι τὸ θέμα τμήγω, τὸ σημαῖνον τὸ κόπτω, ὁ μέλλων τμήξω, ὁ μέσος παρακείμενος ἔτμηγα, ὁ δεύτερος ἀόριστος ἔτμαγον, ὁ παθητικὸς ἐτμάγην. τὸ γὰρ τρίτον τῶν πληθυντικῶν κατὰ συγκοπὴν ἔτμαγεν, καὶ διέτμαγεν.

Διέφθορας. διέφθαρσαι. ἀπὸ τοῦ φθείρω φθερῶ ἔφθαρκα, ὁ μέσος παρακείμενος ἔφθορα καὶ διέφθορα, καὶ διέφθορας, ὡς ἔσπορα. 37b

Διστάξειν. τὸ διχῶς ἁλᾶσθαι, τὸ δύο στάσεις ἔχειν κατὰ διάνοιαν.

Διῶνται σημαίνει τὸ διώκωνται. ἔστι ῥῆμα διῶ, τὸ παραγόμενον δίημι, ἐξ οὗ καὶ δίεντο. οἷον, ὡς δίεντο ἵπποι ἀερσίποδες. τὸ ὑποτακτικὸν ἐὰν διῶμαι, τὸ τρίτον ἐὰν διῶνται.

Δίεσθαι. δηΐους προτὶ ἄστυ δίεσθαι. ἀπὸ τοῦ διῶ τοῦ σημαίνοντος τὸ διώκω γίνεται παράγωγον ῥῆμα δίημι, καὶ ὁ παθητικὸς ἐνεστὼς δίεμαι δίεται, τὸ ἀπαρέμφατον δίεσθαι.

Διεβίω. κανόνισον· ἐκ τοῦ βιόω βιῶ συζυγίας τρίτης τῶν περισπωμένων γίνεται παράγωγον ῥῆμα εἰς μι βίωμι, ὁ μέλλων βιώσω, ὁ ἀόριστος ἐβίωσα, ὁ δεύτερος ἐβίων ἐβίως ἐβίω καὶ μετὰ τῆς διά προθέσεως καὶ ἐν συγκοπῇ διεβίω ἀντὶ τοῦ ἔζη.

Διάκτορος. ὁ διάγων τὰς ἀγγελίας καὶ ἐναργῶς καὶ σαφῶς φαίνων τὰ ἐξαγγελλόμενα. ὥσπερ γὰρ φύλαξ φύλακος καὶ ἐξ αὐτοῦ εὐθεῖα ὁ φύλακος ἀνατρεχούσης εἰς εὐθεῖαν τῆς γενικῆς, καὶ τρὼς τρωὸς ὁ τρωὸς, καὶ δμὼς δμωὸς ὁ δμωὸς, οὕτω καὶ διάκτωρ διάκτορος ὁ διάκτορος. ἕτεροι δὲ διάτορόν φασι, καὶ πλεονασμῷ τοῦ κ διάκτορον, ἤτοι τορὸν καὶ σαφῆ ἄγγελον.

Δίδωθι ἔκτασιν ἔχει συνήθη τῆς παραληγούσης. ἄλλως γὰρ ἀπὸ τοῦ διδοὺς διδόντος συστέλλεσθαι ὤφειλεν.

Διχῇ ὀπηνίκα συσταλῇ κατὰ τὴν λήγουσαν, μετατίθησι καὶ τὸν τόνον καὶ βαρυτόνως λέγεται δίχα, ἐξ οὗ καὶ τὸ διάνδιχα. ῥῦτω καὶ τὸ τριχῇ τρίχα λέγεται καὶ ὁμοίως τέτραχα καὶ πένταχα. τὸ δὲ δίχα ἀντὶ τοῦ χωρὶς καὶ ἄνευ τῆς ὑστέρας χρήσεώς ἐστι. παρὰ γὰρ τοῖς ἀρχαίοις τὸ δίχα ἀντὶ τοῦ διχῇ ἐλαμβάνετο, ἐξ οὗ καὶ τὸ παρὰ τοῖς ὕστερον δίχα μετήνεκται. τὰ δὲ τοιαῦτα κατὰ μεταπλασμόν τινα ἔτρεψαν τὸ ῃ εἰς α. γίνεται δὲ τὸ διάνδιχα ἐκ τῆς διά καὶ ἀνά προθέσεως, ὧν ἡ μὲν διά δυασμόν τινα σημαίνει, ὡς δῆλον ἐκ τοῦ διαιρεῖσθαι καὶ διαφωνεῖν καὶ διίστασθαι καὶ ἐκ τοῦ διαζυγίου καὶ τῆς διαφορᾶς. ἡ δὲ ἀνά πρόθεσις δευτέρωμά τι δηλοῖ, ὡς ἐν τῷ ἀναβαπτίζειν φαίνεται καὶ ἀνακρίνειν καὶ ἐπανερωτᾶν καὶ τοῖς ὁμοίοις, ἵνα ᾖ διάνδιχα βουλεύσασθαι τὸ δυάζειν βουλήν. οὕτω καὶ ἀναβουλεύσεσθαι ἄλλως καὶ ἄλλως. 38 a

Διδοῖσα. ἐκ τοῦ διδοῖς κατὰ πλεονασμὸν, ὁποῖός ἐστι καὶ ἐν τῷ ἔφησθα καὶ οἶσθα καὶ τοῖς ὁμοίοις.

Δίενται, ὅ ἐστι διώκουσι. Θέμα τὸ δίημι ἐκ τοῦ δίω.

Διαείσεται, ᾧ παρισοῦται τὸ κείσεται. τὸ μὲν πρῶτον πρόσωπον ἁπλοῦν ἀνωτέρω κεῖται. εἴσομαι γάρ. τοῦτο δὲ πρόθεσιν ἔχει κατὰ τὸ εἰπὲ δίειπε, οἷον, δίειπέ μοι ὅφρα δαείω, τουτέστι δαῶ, μάθω.

Δοάσσατο. ἐνεδοίασε. κυρίως τὸ μὴ ἐν μιᾷ γνώμῃ ἑστᾶναι. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἔδοξεν, ἐνόμισεν, ἀπὸ τοῦ δοιὸς δοιάζω, ὡς ἵππος ἱππάζω, λίθος λιθάζω. ὁ μέλλων δοιάσω, ὁ μέσος πρῶτος ἀόριστος ἐδοιασάμην ἐδοιάσατο καὶ πλεονασμῷ τοῦ σ αἰολικῶς ἐδιάσσατο, ὡς ἔσεται ἔσσεται, καὶ ἀφαιρέσει ἰωνικῶς τοῦ ε καὶ ἐκβολῇ τοῦ ι διάσσατο. ἢ ἐκ τοῦ δοκῶ δοκάζω, ὡς σιγῶ σιγάζω, ἀποβολῇ τοῦ κ δοάζω καὶ καθεξῆς ὡς εἴρηται.

Δοῖεν. δίδωμι ἔδων δοὺς δόντος δοίην δοίημεν δοίητε δοίησαν, κατὰ συγκοπὴν ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν δοῖεν.

Δόμεναι. πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι. δίδωμι ἔδων δοὺς δόντος, τὸ ἀπαρέμφατον δοῦναι. εἰώθασι δὲ οἱ Δωριεῖς ἐπὶ τῶν εἰς μαι ἀπαρεμφάτων τοῦ ἀορίστου προτιθέναι τὴν με συλλαβήν, καὶ εἰ μὲν παραλήγεται ἀπαρέμφατον δύο φωνήεσιν, ἀποβαλεῖν τὸ ἓν φωνῆεν, δοῦναι δόμεναι, θεῖναι θέμεναι, εἶναι ἔμμεναι πλεονασμῷ ἑτέρου μ· εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται, φυλάττειν αὐτὸ, στῆναι στήμεναι, βῆναι βήμεναι, γραφῆναι γραφήμεναι, τυφθῆναι τυφθήμεναι.

Δοῦρα δόρυά ἐστι, καὶ καθ' ὑπερβιβασμὸν δοῦρα.

Δοιάζειν τὸ διστάζειν παρὰ τὸ ἓν δύο στάσεσιν εἶναι, ἢ παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν, μηδὲ 38b πρὸς ἑτέραν τρέπεσθαι τὴν γνώμην. δοιάζω παρὰ τὸ δοιὸς δοιάζω, ὡς ἵππος ἱππάζω.

Δόρπα ἀντὶ τοῦ δεῖπνον μεταπλασμὸν ἔπαθε τοῦ γένους τὸ δόρπον.

Δουρὸς μὲν προϋπάρχει τὸ δόρυ. ὡς γὰρ γόνυ γόνυος καὶ μεταθέσει γουνὸς, οὕτω καὶ δόρυ δόρυος δουρός. τοῦ δὲ δούρατος εὐθεῖα σεσιγημένη τὸ δοῦρας, ὥσπερ καὶ τοῦ γούνατος τὸ γοῦνας. τοιαῦτα δὲ πάντως καὶ τὸ ὕδατος ἐκ τοῦ ὕδας, καὶ τὸ φρέατος ἐκ τοῦ φρέας, ὃ μέχρι καὶ νῦν παραλαλεῖται τοῖς Ἀττικοῖς.

Δούρεσσι. τὸ κοινὸν δούρασιν, ἐπεὶ καὶ ἡ πληθυντικὴ τὰ δούρατα καὶ ἡ γενικὴ δουράτων. ἔσχε δὲ τροπὴν, ἵνα συνεξομοιωθῇ τῷ στομάτεσσι καὶ κτεάτεσσι.

Δόσκον. ποιηταῖς μόνοις ἀρέσκουσα λέξις καὶ τὸ διδάσκετο καὶ τὸ ἔχεσκεν. οὐκ ἀνάλογον δὲ τὸ δόσκον. ὡς ἐκ τοῦ δῶ δώσω. παρελήγετο γὰρ ἂν τῷ ω μεγάλῳ κατὰ τὸ βιώσκω, πτώσκω, τιτρώσκω καὶ τὰ ὅμοια.

Δραθέειν σημαίνει τὸ κοιμᾶσθαι καὶ καταδραθεῖν τὸ κοιμηθῆναι καὶ δαρθεῖν κατὰ ὑπέρθεσιν, ὡς κραδία καρδία. εἴρηται δὲ παρὰ τὸ δέρμα. δραθεῖν γὰρ κυρίως λέγεται τὸ ἐπὶ δερμάτων καθευδῆσαι. ἢ παρὰ τὸ δρῶ τὸ ἐνεργῶ παράγωγον δρήθω, ὡς πλῶ πλήθω, κνῶ κνήθω, ὁ μέλλων δρήσω, ἔδρησα, ὁ ἀόριστος β΄ ἔδραθον, ὁ μέλλων δραθῶ, τὸ ἀπαρέμφατον δραθεῖν, καὶ κατὰ διάλυσιν τοῦ ε̄ δραθέειν.

Δρήθω τὸ κοιμῶμαι, κατὰ ἀντίφρασιν. οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσι παρὰ τὸ ζῆν εἰς τὸ δραθεῖν.

Δραμεῖν. δρέμω δρεμῶ, ὁ β΄ ἀόριστος ἔδραμον, ὁ β΄ μέλλων δραμῶ καὶ τὸ ἀπαρέμφατον δραμεῖν.

Δρεπτόν. δρέπω δρέψω δέδρεφα δέδρεμαι δέδρεπται δρεπτόν.

Δράναι. ἔστι δρῶ τὸ πράττω. δρῆμι καὶ διδρῶ δίδρημι κατὰ ἀναδιπλασιασμόν. δρῆμι οὖν, δρήσω, ὁ ἀόριστος β΄ ἔδραν, ἡ μετοχὴ δρὰς δράντος, τὸ ἀπαρέμφατον δράναι. ἀπὸ δὲ τοῦ ἔδραν ἔδρασαν καὶ ἀπέδρασαν.

Δρύπτεσθαι τὸ ξέεσθαι κατὰ μεταφορὰν τῶν ἐκδερομένων ξύλων, ὡς ἀπὸ τοῦ δόρυ δορύπτω 89a καὶ δρύπτω.

Δραίνειν ἀντὶ τοῦ πράττειν, ἐκ τοῦ δρῶ καθ' ὁμοιότητα τοῦ ῥῶ ῥαίνω. κεῖται ἐνταῦθα ἐν τῷ ἀλλ' 5 εἴ τι δραίνεις ἤτοι δρᾷς ἢ δύνασαι δρᾶν. καὶ σημείωσαι ἐκ τούτου ἀδρανὴς ὁ μὴ δραίνειν δυνάμενος, καὶ ἀδράνεια ἡ ἀσθένεια τοῦ δρᾶν. οἱ δὲ παλαιοὶ δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν ἤγουν ἀργὸν ὕπνου εἶναι καὶ βλέπειν. δρῶ γὰρ τὸ βλέπω, καθὰ 10 καὶ ἀλλαχοῦ εἴρηται. διὸ εἰπὼν ὁ ποιητὴς, ἀλλ' εἴ τι δραίνεις, ἐπάγει, ἐπεὶ οὐδέ σέ γ' ὕπνος ἱκάνει. πολλαὶ δὲ καὶ ἄλλαι παραγωγαὶ διὰ τοῦ αινω ἀπὸ ῥημάτων, τῶν μὲν μιᾷ συλλαβῇ διοικουμένων, τῶν δὲ πλειόνων συλλαβούντων, οἷον χῶ τὸ χωρῶ 15 χαίνω, βῶ βαίνω, μῶ τὸ ὑπὲρ τὸ δέον προθυμοῦμαι, μαίνω, ἀλῶ ἀλαίνω τὸ πλανῶ, ἐξ οὗ καὶ ἄλαινος ποταμὸς, ὁ ἐπὶ πολλὴν γῆν ἀλώμενος, ὀργῶ ὀργαίνω, οἷον, οὐ γὰρ ὀργαίνειν καλόν παρὰ Σοφοκλεῖ, παρ' ᾧ καὶ τὸ, καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ' 20 ὀργάνειας. λυσσῶ λυσσαίνω, οἷον, πατρὶ λυσσαίνων, οἰδῶ οἰδαίνω, κρούω κροαίνω, ἀπελεύσει τοῦ ῡ.

Δῦ. δῦ δὲ χιτῶνα. τὸ ῡ μακρόν. ἔστι γὰρ δευτέρου ἀορίστου τῶν εἰς μι δύμι, ἔδυν ἔδυς ἔδυ. 25

Δυοῖν. ὥσπερ παρὰ τὸ ἄμφω ἀμφοῖν, οὕτως ἀπὸ τοῦ δύο δυοῖν.

Δύμεναι. κατέρχεσθαι, ἀόριστος β' καὶ μέλλων. τὸ ῥῆμα δύμι, τετάρτης συζυγίας τῶν εἰς μι. ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, οἷον δύω δύμι. 30

Δύνασαι. ἰστέον ὅτι τὰ ἔχοντα τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ ὀξύτονον τροπῇ τοῦ κατὰ τρίτον πρόσωπον τ εἰς σ ποιεῖ τὸ δεύτερον, οἷον πεποίηται πεποίησαι, ὅτι πεποιηκώς. τίθεται τίθεσαι, ὅτι τιθείς. δύναται δύνασαι, ὅτι δυνάς. καὶ ἐπίσταται ἐπίστασαι, 35

ὅτι ἐπιστάς. ἀπὸ τοῦ δύνημι καὶ ἐπίστημι δύναμαι καὶ ἐπίσταμαι. τὸ δὲ δύνῃ καὶ ἐπίστῃ κατὰ πάθος ἐστὶν ἀπὸ τοῦ δύνασαι καὶ ἐπίστασαι ἰωνικῶς δύνεαι καὶ ἐπίστεαι καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η γίνεται δύνῃ καὶ ἐπίστῃ.

δύνωνται ἀπὸ τοῦ δύνημι, οὗ τὸ παθητικὸν δύναμαι, τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν δύνωμαι, τὸ 39b τρίτον τῶν πληθυντικῶν ἐὰν δύνωνται. καὶ ὤφειλεν εἶναι ἐὰν δυνῶμαι, ὡς ἐὰν ἱστῶμαι, ἀλλὰ κανών 10ἐστιν ὁ λέγων, ἡνίκα εὑρεθῇ ὁ ἐνεστὼς τῶν εἰς μι ἐν χρήσει, τότε προπερισπᾶται τὸ ὑποτακτικὸν, τίθημι, ἐὰν τιθῶμαι, ἵστημι, ἐὰν ἱστῶμαι· ἡνίκα δὲ ὁ ἐνεστὼς οὐχ εὕρηται ἐν χρήσει, τότε προπαροξύνεται τὸ ὑποτακτικὸν, δύνημι, ἐὰν δύνωμαι. οὐ γὰρ εὔχρη- 15στον τὸ δύνημι.

δυνάσθη. ὁ ἐνεστὼς δυνάζω ἄχρηστος μὲν πάντων, ποιητικώτερος δὲ γινόμενος ἐκ τοῦ δυνῶ, ἀφ' οὗ καὶ τὸ δύνημι, οὗ παθητικὸν δύναμαι, οὗ ὄνομα δύναμις, καθὰ καὶ ἐκ τοῦ πέτω ἢ πετῶ τὸ πετάζω, 20ὅθεν ὁ πέτασος, καὶ τὸ πέτημι, ἐξ οὗ τὸ πέτανται. πάντως δὲ τῆς ἐκ τοῦ δυνάζειν συστοιχίας εἰσὶ καὶ ὁ δυνάστης καὶ τὸ δυναστεύειν καὶ ἡ δυναστεία.

δυσπονέος. ἡ εὐθεῖα ἀσυνήθης ὁ δυσπονής. ὡμοίωται δὲ πρὸς τὸ ἀτερπής. ὡς γὰρ ἄτερπος ἀτερ- 25πὴς, οὕτω καὶ ὁ δυσπονής.

δυσκλέα. ἐκ τοῦ δυσκλεέα. καὶ εἰσὶ πληθυντικαὶ χρήσεις τοιαίδε. ἄλλως μέντοι συνῃρεῖσθαι ὤφειλεν ἡ τοιαύτη τρισυλλαβία σὺν περισπασμῷ κατὰ τὸ ὑγιέα ὑγιᾶ, εὐφυέα εὐφυᾶ.

30 δυσάμμορος δηλοῖ μὲν τὸν δύσμορον κατὰ συνέλευσιν δύο ἐπιῤῥημάτων ἰσοδυναμένων τοῦ δυσ καὶ τοῦ α, καὶ αἰολικὸν διπλασιασμὸν τοῦ ἀμεταβόλου. δηλοῖ δὲ οὐ μόνον τὸν δυσθάνατον, ἀλλὰ καὶ τὸν δυσδαίμονα ἤτοι δυστυχῆ, ὡς καὶ δύσμορος λέ- 35γεται. σημείωσαι δὲ ὅτι ἐπεὶ ταυτὸν οἶτος καὶ μόρος,

δύσμορος δὲ οὐκ ἐξ ἀνάγκης ὁ κακῶς θανών, ἀλλὰ καὶ ὁ κακοτυχής. ἀκολούθως δὲ παρὰ Θεοκρίτῳ μεγάλοιτος κεῖται ὁ πάνυ δυστυχὴς, ληφθέντος τοῦ οἴτου εἰς τύχην ὁμοίως τῷ μόρῳ.

Δύο φησὶ ἀκολούθως δηλαδὴ τῇ ἀτθίδι καὶ τῇ κοινῇ. Ἴωνες δὲ γενικὴν μὲν δύω, δοτικὴν δὲ δυσὶ, ἀφ' ἧς τὴν δύεσιν Αἰολεῖς ἐπεξέτειναν. ἔτι Ὅμηρος, τῶν Ἀττικῶν δύω λεγόντων ἐπὶ δυϊκῆς σχέσεως, καὶ τὴν πλαγίαν δυοῖν ἀποδιδόντων, ἔστι δὲ ὅτε καὶ δυεῖν, ἀλλ' αὐτὸς μεταβάλλει τὰς πτώσεις, ἐπεὶ μηδὲ τῷ δύω δυϊκῶς χρῆται ἤγουν κατὰ ἀναλογίαν δυϊκοῦ τελικοῦ, ἀλλὰ ποιητικῶς κατὰ ἐπέκτασιν μέτρου. οὐ γὰρ μόνον Ἀτρείδα φησὶ δύω κοσμήτορε λαῶν, καὶ υἱὲ δύω Μέροπος Περκωσίου, καὶ ἐν δὲ δύω ποίησε πόλεις, καὶ δύω χρυσοῖο τάλαντα, ἀλλὰ καὶ ἐπὶ γενικῆς χρῆται τῷ δύω, 40 a

πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριμύκων,

καὶ ἐπὶ δοτικῆς δύω,

τὴν φορέεσκε δύω κανόνεσσ' ἀραρυῖαν.

λέγει δὲ τὸ αὐτὸ λεξικὸν καὶ ὅτι τὸ δυοῖν καὶ ἐπὶ δοτικῆς παρὰ Ἀττικοῖς, οἷον,

δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται.

ἐν ἑτέρῳ δὲ τόπῳ φησὶ καὶ ὅτι δύο καὶ ἐν τῷ ω δύω, ἤγουν δύο διὰ τοῦ ο μικροῦ, καὶ δύω κατ' ἔκτασιν Ἀττικοὶ λέγουσιν ἑκατέρως δυοῖν τε ἐπὶ γενικῆς καὶ δοτικῆς. τὸ δὲ δυεῖν σπάνιον παρὰ τοῖς παλαιοῖς. ἔστι δ' ὅμως παρὰ Θουκυδίδῃ. λέγουσι δὲ καὶ τῶν δύο καὶ τοῖς δύο. τὸ δὲ δυσὶ βάρβαρόν φησι καὶ κατὰ χρῆσιν ἀττικὴν καὶ κατὰ λόγον γραμματικόν. λέγει δὲ καὶ ὅτι νεωτέρων τὸ γράφειν δυεῖν. οὐδὲν γὰρ δυϊκὸν εἰς ειν λήγειν φασὶν οἱ ἀναλόγικοι. Ὅμηρος δέ, φησι, ἐπὶ μὲν ὀρθῆς δύο λέγει οὕτω, δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα. ἐπὶ δὲ γενικῆς, τῶν δύο μοιράων. ἐπὶ δὲ αἰτιατικῆς, τὰς δύο χαλκείας,

ἐπὶ δὲ κλητικῆς κατ' ἔκτασιν, δεῦτε δύω μοι ἔπεσθον.

Δῶ κατὰ ἀποκοπὴν τοῦ δῶμα, ἀπὸ τοῦ δέμω δόμα, καὶ ἐκτάσει τοῦ ο εἰς ω δῶμα.

Δῶμα τὸ οἴκημα. τὰ εἰς ω λήγοντα βαρύτονα πολλάκις μεταβάλλουσι τὸ παραληγόμενον ε εἰς ω, στρέφω στρωφῶ, νέμω νωμῶ, δέμω δωμῶ, δωμήσω δώμημα καὶ κατὰ συγκοπὴν δῶμα.

Δὼς ἀγαθὴ, ἅρπαξ δὲ κακὴ θανάτοιο δότειρα. γίνεται παρὰ τὸ δώσω μέλλοντος, καὶ ἔστιν ἄκλιτον. ἄκλιτον δέ ἐστιν ἐπειδὴ τὰ εἰς ως μονοσύλλαβα καὶ περισπᾶται καὶ κύρια εἰσὶν, οἷον ἡ τρῶς, ἡ κλῶς, ἡ κῶς. εἰσὶ δὲ ὀνόματα πόλεων. ἐπεὶ οὖν τὸ δὼς θηλυκόν ἐστι καὶ μόνον οὔτε κύριόν ἐστιν οὔτε περισπώμενον, τούτου χάριν ἐστὶν ἄκλιτον.

Δῶσι. αἴκέ ποθι Ζεὺς δῶσι. ἐκ τοῦ δίδωμι 40b ὁ ἀόριστος δεύτερος ἔδων, τὸ ὑποτακτικὸν ἐὰν δῶ, τρίτον ὁμοίως ἐὰν δῶ, καὶ πλεονασμῷ τοῦ σι δῶσι.

Δῴη. αἴκέ ποθι Ζεὺς δῴη. ἀπὸ τοῦ δίδωμι ὁ δεύτερος ἀόριστος ἔδων δοὺς δόντος δοίην καὶ κατ' ἔκτασιν εἰς ω δῴην δῴης δῴη.

Δώωσι καὶ δῴησιν. εἰ δέ κε μὴ δῴησι. δίδωμι δώσω ἔδων δοὺς δόντος, τὸ ὑποτακτικὸν ἐὰν δῶ, ἐὰν δῶμεν δῶτε ἐὰν δῶσι, καὶ πλεονασμῷ τοῦ ω δώωσι. δύναται ἐκ τοῦ δώω βαρυτόνου εἶναι, ὡς ὁ κανὼν ὁ ἐν τῷ γνώωσι παραλαμβάνει, καὶ ζήτει αὐτόν.

Δῶ ἀποκέκοπται ἐκ τοῦ δῶμα, καθὰ καὶ ἐκ τοῦ ἧλος ὁ ἦλ, κατὰ τὸν γεωγράφον, καὶ ἄλλα ὅμοια, ὡς τὸ παῦσαι παῦ ἔλεγον μονοσυλλάβως κατὰ Αἴλιον Διονύσιον.

Ε.

Ἐάγη. ἄγω τὸ κλῶ καὶ συντρίβω, ὁ μέλλων ἄξω, ὁ ἀόριστος ἦξα, ὁ δεύτερος ἦγον, ὁ παθητικὸς ἤγην

ἤγης ἤγη καὶ διαλύσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ. ἐάγη. ἢ ἀπὸ τοῦ ἄσσω, ὃ σημαίνει τὸ κλῶ, ὁ μέλλων ἄξω, ὁ ἀόριστος ἦξα, ὁ δεύτερος ἦγον, ὁ παθητικὸς ἤγην ἤγης ἤγη καὶ ἐάγη διαλύσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ.

Ἔαδε. ἔστι ῥῆμα ἄδω, τὸ σημαῖνον τὸ ἀρέσκω, ὁ μέλλων ἄσω, ὁ μέσος παρακείμενος ἧδα ἧδας ἧδε καὶ διαλύσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ ἔαδεν. ἢ ἀπὸ τοῦ ἧδον δευτέρου ἀορίστου ἧδε τὸ τρίτον καὶ ἔαδεν. ἢ οὕτως. ἥδω τὸ ἀρέσκω, ἥσω, ὁ δεύτερος ἀόριστος λόγῳ μὲν παραληγούσης γίνεται ἄδον, ἐξ οὗ καὶ, ἄδε δ' Ἔκτορι μῦθος· λόγῳ δὲ ἀρχούσης ἧδον, τὸ τρίτον ἧδε καὶ διαλύσει ἔαδεν.

Ἐαδότα μῦθον. ἄδω τὸ ἀρέσκω, ἄσω, ὁ μέσος παρακείμενος ἧδα καὶ ἔαδα, ἡ μετοχὴ ἐαδὼς ἐαδότος ἐαδότα.

Ἑάλω. ἔστιν ἁλόω ἁλῶ τὸ πορθέω, παράγωγον ἅλωμι ἁλώσω, ὁ δεύτερος ἀόριστος ἥλων καὶ διαλύσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ ἑάλων ἑάλως ἑάλω.

Ἑάλη. συνεστάλη. Αἰνείας δ' ἑάλη. παρὰ τὸ ἅλω, οἶμαι. ἔστι γὰρ βαρύτονον, τὸ ἐκκλίνω καὶ πλανῶ. οἱ γὰρ ἐκκλίνοντες τινὰς καὶ πλανῶντες οὐκ ἐπαίρονται, ἀλλὰ συστρέφονται. ὅθεν καὶ τὸ εἰς ἵπ-πους ἅλεται ἀντὶ ἀλεῖται, ὅ ἐστιν συστραφῇ. τὸ δὲ ἅλω γέγονε παρὰ τὸ λῶ τὸ θέλω καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄλω. οἱ γὰρ πλανώμενοι οὐ θέλουσιν οὐ τυγχάνουσιν. ἄλω οὖν τὸ πλανῶ, ὁ δεύτερος ἀόριστος ἧλον, ὁ παθητικὸς ἥλην, ἐξ οὗ ἡ μετοχὴ ἁλεὶς ἁλέντος, τὸ δεύτερον ἥλη καὶ ἐάλη κατὰ διάλυσιν.

Ἕαται. ἕω τὸ καθέζομαι, παράγωγον ἕημι, τὸ παθητικὸν ἕεμαι καὶ κράσει ἧμαι ἧται ἧνται καὶ λακῶς ἕαται. ὁ κανών· οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι ταύτην συστέλλουσι πρὸ τοῦ ται εἰς τὴν ὀφειλομένην συλλαβήν. οὕτω κεῖνται κέαται, καὶ πλεονασμῷ τοῦ ῑ κείαται.

Ἔασκεν. ἀπὸ τοῦ ἐῶ ἐᾷς ἐᾷ εἶων εἶας εἶα, ἐκ τούτου εἴασκε, ἔασκεν ἀποβληθέντος τοῦ ῑ. ἀπεβλήθη δὲ τὸ ῑ, ἐπεὶ τὰ τοιαῦτα ἀποβάλλουσιν τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτεσκεν, ἦγεν ἄγεσκεν.

Ἔαται καὶ εἵατο, οἷον, εἵαται ἄγχι νεῶν. ἔστιν ἐῶ τὸ καθέζομαι, ἐξ οὗ ἧμι, τὸ παθητικὸν ἕεμαι καὶ κράσει ἧμαι, ὁ παρατατικὸς ἑέμην ἧμην ἧσο ἧτο, τὸ τρίτον τῶν πληθυντικῶν ἧντο καὶ ἰακῶς ἕατο, καὶ πλεονασμῷ εἵατο. τοῦ δὲ παρακειμένου τὸ τρίτον τῶν πληθυντικῶν ἧνται καὶ ἕαται, ὡς πεποίηνται, πεποιέαται.

Ἐάλη. ποιητικὴ λέξις ἀσυντελὴς τοῖς γράψασι μεταλογάδην. γίνεται ἀπὸ τοῦ εἷλον, οὗ παθητικὸς ἀόριστος ἰωνικῶς ἅλην, καὶ ἐξ αὐτοῦ πλεονασμῷ τοῦ ε ἐάλη, ἢ κοινῶς ἥλην ἥλης ἥλη καὶ διαλύσει ἐάλη.

Ἐὰν δύνηται. κανόνισον, δύνω ἄχρηστον καὶ ἡ μετοχὴ ὁ δύνων τοῦ δύνοντος, καὶ ὁ παρατατικὸς ἔδυνον καὶ τὸ ὑποτακτικὸν ἐὰν δύνω, καὶ τὸ παθητικὸν ἐὰν δύνωμαι ἐὰν δύνῃ ἐὰν δύνηται. εἰ γὰρ ἀπὸ τοῦ δυνάω δυνῶ δύνημι, ἦν ἂν δυνῶμαι δυνῇ δυνῆται, ὡς ἱστῶμαι ἱστᾷ ἵσταται καὶ τιθῶμαι. 41 b

Ἔασιν ἀπὸ τοῦ εἰμὶ τὸ τρίτον τῶν πληθυντικῶν εἰσὶ καὶ ἰωνικῶς ἔασιν.

Ἐάα. τὸ παραλῆγον ᾱ ἐν πλεονασμῷ. ὡς γὰρ ὁρᾷ ὁράα, βοᾷ βοάα, οὕτω καὶ ἐᾷ ἐάα.

Ἐβεβολέατο καὶ ἐβεβολήατο, οἱ μὲν ἐκ τοῦ βέλω βολῶ λέγουσιν, ὡς πένω πονῶ, βολήσω, βεβόληκα βεβόλημαι, ἐβεβολήμην ἐβεβόληντο καὶ ἰακῶς ἐβεβολέατο, ὡς πεποιέατο, καὶ κατ' ἔκτασιν τοῦ ε εἰς η ἐβεβολήατο. γράφεται καὶ κατὰ ἀφαίρεσιν τοῦ πρώτου ε. οἱ δὲ ἐκ τοῦ βάλλω ἢ βέλω βλῶ βλήσω.

Ἐγηγέρατο, ὡς ἀγηγέρατο. ἀλλ' ἐκεῖνο μὲν ἐκ τοῦ ἀγείρω, τὸ δὲ ἐκ τοῦ ἐγείρω ἐγερῶ ἤγερκα καὶ ἐγήγερκα ἀττικῶς, ἤγερμαι καὶ ἐγήγερμαι, ἠγέρμην

ἤγερσο ἤγερτο, τὸ τρίτον τῶν πληθυντικῶν ἐγηγέρατο ἀκῶς. ἔχει γὰρ τὸ τρίτον τῶν ἑνικῶν πρὸ τοῦ τ ψιλὸν τὸ ρ. τὸ γὰρ ρ μετὰ τῶν ψιλῶν ψιλὸν, μετὰ τῶν δασέων δασύ ἐστι. σημαίνει δὲ τὸ ἐγηγερμένοι ἦσαν.

Ἐγρηγορῶ. ἐγείρω, ἐγερῶ, ἤγερκα ἤγορα καὶ ἐγήγορα, καὶ πλεονασμῷ τοῦ ρ ἐγρήγορα. ἀπὸ δὲ τοῦ μέσου παρακειμένου ῥῆμα ἐγρηγορῶ.

Ἐγγείνονται σημαίνει τὸ γεννῶνται. παρὰ τὸ γείνω τὸ γενῶ, γείνονται καὶ ἐγγείνονται.

Ἐγγυαλίξαι. τὸ εἰς χεῖρας παρασχεῖν, γέγονε παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι, ὅθεν καὶ γωρυτὸς ὁ δεχόμενος τὰ ῥυτά. γύω, ἀφ' οὗ καὶ γυῖα αἱ χεῖρες, ἃς πρὸς τὸ λαβεῖν καὶ συνέχειν ἐδημιούργησεν ἡ φύσις. καὶ ἕτερον παράγωγον γυΐζω, καὶ ἐν συνθέσει καὶ πλεονασμῷ τῆς αλ ἐγγυαλίξω.

Ἔγνωκα. ἐκ τοῦ γνῶμι ὁ μέλλων γνώσω, ὁ παρακείμενος ἔγνωκα.

Ἐγερθεν. ἠγέρθησαν. ἐγείρω, ἐγερῶ, ἤγερκα ἤγερμαι, ἠγέρθην, ἠγέρθημεν ἠγέρθησαν καὶ ἤγερθεν, ὡς ἐκοσμήθησαν κόσμηθεν, καὶ συστολῇ ἰωνικῇ ἔγερθεν. ἔστι δὲ τὸ τοιοῦτον πάθος ἰωνικὸν ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν γινόμενον. οἱ δὲ Δωριεῖς ἀπὸ 42a τῆς γενικῆς τῆς μετοχῆς κοσμηθέντος καὶ ἐγερθέντος τὰ τοιαῦτα ποιοῦσιν ἀποκοπῇ τῆς τος καὶ ἀναδόσει τοῦ τόνου. οὕτω καὶ τὸ στὰν καὶ βὰν καὶ φάν.

Ἐγκινούμενος. ταράττων καὶ ἐμποδίζων. Ἀριστοφάνης, ἄνθρωπός τις ἡμῖν ἐγκινούμενος.

Ἔγρετο. ἐκ τοῦ ἐγείρω ἐγερῶ ἤγερκα ἤγερμαι ἠγέρμην ἤγερτο, ὑπερθέσει ἔγρετο.

Ἐγνώσθην καὶ ἠδυνάσθην οὐκ ἔστιν ἀπὸ τῶν εἰς μι, ἀλλ' ἀπὸ τοῦ γνώω ἕκτης συζυγίας τῶν βαρυτόνων, οἷον, ἵνα γνώσωσι καὶ οἵδε, ὁ μέλλων γνώσω καὶ ὁ παρακείμενος ἔγνωκα ἔγνωσμαι ἐγνώσθην, καὶ ἀπὸ τοῦ δυνάζω δεδύνακα δεδύνασμαι ἐδυνάσθην, κατὰ ἔκτασιν ἀττικὴν ἠδυνάσθην, ὡς ἠβουλ-

λήθην. πάλιν δὲ ἀπὸ τοῦ δυνῶ δυνᾶς δευτέρας συζυγίας τῶν περισπωμένων γίνεται ὁ μέλλων δυνήσω δεδύνηκα ἠδυνήθην.

Ἐγρήγορθα. ἀπὸ τοῦ ἐγείρω ἐγερῶ ἤγερκα καὶ ἐγήγερκα ὁ μέσος παρακείμενος ἤγορα καὶ ὁ ἀττικὸς ἐγήγορα, κατὰ πλεονασμὸν τοῦ ρ καὶ ἐπενθέσει τοῦ θ ἐγρήγορθα.

Ἐγρήγορθαι ὤφειλεν παροξύνεσθαι εἴτε συγκοπῇ γέγονεν ἀπὸ τοῦ ἐγρηγορῆσθαι, εἴτε ἀπὸ τοῦ ἐγηγέρθαι, τροπῇ τοῦ ε εἰς ο καὶ πλεονασμῷ τοῦ ρ, ὅτι τὰ εἰς θαι ἀπαρέμφατα ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον παροξύνεται, κεκάρθαι, τετλῆσθαι, ἐσπάρθαι. μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύνασθαι τοῦτο προπαροξύνεσθαι. τὰ γὰρ εἰς θαι λήγοντα ὑπὲρ μίαν συλλαβὴν παραληγόμενα τῇ ορ συλλαβῇ μὴ παρὰ ἄλλῃ τινὶ διαλέκτῳ ἐστὶν ὁρᾶσθαι ἢ τῇ αἰολίδι προπαροξυνόμενα, ὄρθαι, μέμορθαι, ἔφθαρθαι, τέτορθαι. ὅθεν αἰολικῶς προπαροξύνθη.

Ἔγωγε. ἰστέον ὅτι οἱ Ἀθηναῖοι τὸ ἐγὼ ἔγωγε καὶ ἓν μέρος λόγου ἐστίν. εἰ γὰρ ἦσαν δύο μέρη, ἐγώγε ἔμελλεν εἶναι. πᾶσα γὰρ λέξις ὀξύτονος ἐπιφερομένου ἐγκλιτικοῦ μορίου φυλάσσει τὴν οἰκεῖαν τάσιν, οἷον σοφὸς, σοφός γε, καλὸς, καλός γε, ψευ- 42b δὴς, ψευδής γε. οὕτως οὖν καὶ ἐγώγε. ἀλλὰ μὴν ἔγωγε προπαροξυτόνως ἐστίν. καὶ ἔστιν ἓν μέρος λόγου τῆς γε ἐπεκτάσεως οὔσης.

Ἐγ᾽ὦδα ἀντὶ τοῦ ἐγὼ οἶδα.

Ἐγ᾽ὦμαι ἀντὶ τοῦ ἐγὼ οἶμαι, ἐπεκτάσει καὶ κράσει ἐγ᾽ὦμαι.

Ἐγχεσίμωροι δὲ οἱ περὶ τὰ ἔγχεα μεμορημένοι, ὅ ἐστι κακοπαθοῦντες, ἐκταθέντος τοῦ ο εἰς ω μέγα, ὡς καὶ ἐπὶ τοῦ λόμωρος γίνεται.

Ἐγδούπησαν ἔσχε τὸ γ διὰ τραχύτητα φωνῆς. πάντως γὰρ οὐκ ἔστι φυσικόν. οὔτε γὰρ ὁ γδοῦπος ἐν ἁπλότητι εὕρηται, οὔτε γδουπῶ ῥῆμα. σύνθετον

μέντοι ἐρίγδουπος λέγεται. οὐκ οὖν τραχύφωνον τὸ γδουπεῖν, ὡς τὸ βροντᾶν. ἔχει δὲ ὅμως τραχύτητος ἰδιότητα καὶ ὁ γδοῦπος, καθὰ καὶ ὁ κτύπος καὶ ὅσα τοιαῦτα.

Ἐγεννησάμην. κανόνισον· γεννάω γεννῶ συ-
ζυγίας δευτέρας τῶν περισπωμένων, ὁ μέλλων γεννήσω, ὁ ἀόριστος ἐγέννησα, ὁ μέσος ἐγεννησάμην ἀντὶ τοῦ ἐγέννησα.

Ἐγήθεεν ὥσπερ καὶ τὸ ἐγήθησε καὶ τὸ γηθῆσαι καὶ τὸ γηθήσειν περισπώμενόν ἐστιν ἐνεστῶτος τοῦ γηθῶ, οὗ ὁ μέλλων γηθήσω. Δωριεῖς δὲ γαθεῖν αὐτό φασι. τὸ δὲ γήθω ὡς πάνυ σύνηθες.

Ἔδδεισε. δείδω δείσω ἔδεισα ὁ ἀόριστος καὶ πλεονασμῷ τοῦ δ ἔδδεισα.

Ἐδείδισαν. ἔστι δέω τὸ φοβοῦμαι, δέσω καὶ δέδεκα, δέδεα ἀποβολῇ τοῦ κ, τροπῇ τοῦ ε εἰς ι δέδια, καὶ πλεονασμῷ τοῦ ι δείδια, ὁ ὑπερσυντέλικος ἐδείδειν ἐδείδεισαν καὶ συγκοπῇ ἐδείδισαν. οἱ δὲ ἀπὸ τοῦ δειδῶ δείδημι ἐδείδην τὰ πολλὰ ἐδείδιμεν κατὰ συστολήν, ἐδείδισαν.

Ἐδεύετο. ἐνδεὴς ἐγένετο, παρὰ τὸ δέω ἔδεον ἐδεόμην, ὁ παθητικὸς παρατατικὸς, ἐδέετο καὶ πλεονασμῷ τοῦ υ ἐδεύετο. τὸ δὲ ἐδεύησεν ὡς ἀπὸ τοῦ δεήσω περισπωμένου ἐδέησε καὶ πλεονασμῷ τοῦ υ ἐδεύησεν.

Ἐδήδοκα καὶ ἐδηδόκην. ἔδω τὸ ἐσθίω, ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἧκα, ὁ ἀττικὸς ἐδήδοκα, ὁ ὑπερσυντέλικος ἐδηδόκειν εἶναι. τὰ γὰρ ἀττικὰ τὰ 43 a
ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελίκῳ. ἀλλὰ σημείωσαι κατὰ τὸν κανόνα τοῦτον· πλὴν τοῦ ἥλυκα ἐλήλυκα ἐληλύκειν, καὶ ἐδήδοκα ἐδηδόκειν.

Ἐδήδαται καὶ ἐδήδατο ἀπὸ τοῦ ἔδω ἔσω ἧκα ἧσμαι ἧσαι ἧσται, ἐξ οὗ τὸ ἠστὴς καὶ ὠμηστὴς, ἧσμεθα ἧσθε, τὸ τρίτον ἀκῶς ἤδαται ἐδήδατται, καὶ ἐπὶ

τοῦ ὑπερσυντελίκου ἤδατο καὶ ἐδήδατο. λέγει γὰρ ὁ κανών· εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ σ̄τ̄ βαρυτόνως, τότε τὸ ἰωνικὸν ἔχει πρὸ τοῦ ᾱται τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου, ἤλευσται ἠλεύθαται, πέφρασται πεφράδαται. οἱ δὲ ἀπὸ τοῦ ἐδῶ ἐδέσω ἤδεκα καὶ ἀττικῶς ἐδήδεκα ἐδήδεσμαι ἐδήδεσαι ἐδήδεσται, ὅθεν τὸ ἐδεστὸν, ἀποβολῇ τοῦ σ̄ ἐδήδεται, καὶ ἰακῶς ἐδήδατο. οἷον,

ὅσσά τοι ἐκπέποται καὶ ἐδήδαται ἐν μεγάροισιν.

ἐκ δὲ τοῦ ὑπερσυντελίκου ἐδήδατο.

Ἐδηδώς. ἔδω ἔσω ἧκα ἧδα ἀττικῶς ἔδηδα καὶ ἐδηδώς.

Ἐδηλήσαντο. ἔβλαψαν. δηλῶ δηλήσω ἐδήλησα ἐδηλησάμην ἐδηλήσαντο.

Ἔδμεναι. ἐσθίειν, ὡς ἄγειν ἀγέμεν, εἰπεῖν εἰπέμεν, οὕτως ἔδειν ἐδέμεν καὶ πλεονασμῷ τῆς ᾱι ἐδέμεναι, καὶ κατὰ συγκοπὴν ἔδμεναι.

Ἔδοξε. ἔστι δόκω βαρύτονον, ἐξ οὗ κατὰ παραγωγὴν τονικὴν τὸ δοκῶ, ὡς ἔδω ἐδῶ, ἔω τὸ καθέξομαι ἑῶ. τούτου ὁ μέλλων δόξω, ὁ ἀόριστος ἔδοξα. οἱ δὲ δοκῶ δοκήσω καὶ συγκοπῇ καὶ κράσει τοῦ κ̄ καὶ σ̄ εἰς ξ̄ δόξω ἔδοξα.

Ἔδρακεν. δέρκω δέρξω, ὁ δεύτερος ἀόριστος ἔδαρκον καὶ καθ' ὑπέρθεσιν ἔδρακον. ἢ ἐκ τοῦ διορῶ τὸ βλέπω συγκοπῇ δρῶ καὶ κατὰ παραγωγὴν δρέκω, ἐξ οὗ τὸ δέρκω καθ' ὑπέρθεσιν, δρέξω, ὁ δεύτερος ἀόριστος ἔδρακον.

Ἔδραμον. ἰστέον ὅτι τὸ ἔδραμον ἀπὸ τοῦ δρέμω ἐστὶν, ἐπεὶ τὸ ῥηματικὸν ὄνομα ἀντιπιστοῦται τὸ δρόμος. ὡς γὰρ βρέμω βρόμος, οὕτως δρέμω δρόμος — οἱονεὶ οὐδεὶς πώποτε — καὶ ὄνομα ῥηματικὸν δράμημα. 43b

Ἔδραν. δράω δρῶ τὸ ἐκφεύγω, δράσω, ἔδρασαν, συγκοπῇ ἔδραν, ἢ ἀπὸ τοῦ δρῆμι ὁ δεύτερος ἀόριστος ἔδρην ἔδρησαν καὶ συγκοπῇ ἔδραν, ὡς ἔστην.

Ἐδητὺς ἐδητύος σημαίνει τὴν βρῶσιν ἢ τροφὴν, οὐ παρὰ τὸ ἐδέω ἐδῶ ἐδέσω, ἐξ οὗ τὸ ἐδεστὸν, ἀλλὰ παρὰ τὸ ἐδῶ ἐδήσω ἄχρηστον, ὅθεν ἴσως καὶ ὁ ἐδηδοκὼς μετοχὴ, ἐπενθέσει τῆς δο συλλαβῆς, ὡς ὑπεμφαίνει καὶ τὸ λέων κατὰ ταὐτὸν ἐδηδώς. ἐκεῖνος δὲ μέσος ἀττικός ἐστι παρακείμενος τοῦ ἔδω. ὡς δὲ ἔϊση δαὶς ἡ κατὰ ἰσότητα ἢ διὰ παντὸς οὖσα τοῦ σώματος, πλεονασμῷ τοῦ ε, ὡς καὶ νηός ἐστιν ἡ τοιαύτη λέξις ἐπίθετον, οὐ κεῖται εἰς ἀμάρτυρον. καὶ γὰρ ἦν ἐκ τοῦ ἔδω βαρυτόνου ἔτυς ὤφειλεν εἶναι ἰσοσύλλαβον τῷ ἔδω, ὥσπερ γράφω γραπτὺς, πράσσω πρακτὺς, καὶ παρὰ τὸ ἔδω ἔστον ὤφειλεν εἶναι, οὐχὶ δὲ ἔδεστον. οὕτω Φίλων.

Ἐρέων καὶ τὸ αὐτοῦ θέμα πρωτότυπά εἰσι τοῦ ἐρευνῶν καὶ ἐρευνῶ. παραγωγὴ δὲ αὐτῶν κατὰ τὸ ἰκνῶ καὶ οἰχνῶ. ὡς γὰρ ἵκω ἰκνῶ, οἴχω οἰχνῶ, οὕτως ἐρέω ἐρεύω καὶ πλεονασμῷ τοῦ ν ἐρευνῶ, δωρικῶς κατὰ τὸ ἰκνῶ καὶ οἰχνῶ. ὡς γὰρ ἵκω ἵκνω χρῆσιν κοινὴν, ἄλλως γὰρ κατὰ Ἡρακλείδην βαρύνεσθαι ὤφειλεν, οὐ μόνον διότι αἰολικόν φησι τὸ ἐρεύω, ἀλλὰ καὶ ὅτι πάντα τὰ πλεονάσαντα τὸ ν ὁμοτονεῖ τοῖς πρωτοτύποις, οἷον ἐλάω ἐλαύω ἐλαύνω αἰολικῶς, καὶ ἐλαννῶ κατὰ Δωριεῖς, θύω θύνω, δύω δύνω καὶ θυνῶ, δυνῶ δωρικῶς.

Ἐεισάμενος. ὁμοιωθείς. εἴδω εἴσω εἶσα εἰσάμην, πλεονασμῷ τοῦ ε ἐεισάμην ἐεισάμενος.

Ἐέρσαι. εὗρον καὶ ἐέρξαι, ἐκ τοῦ εἴργω τὸ κωλύω διαλύσει τῆς ει διφθόγγου εἰς δύο εε, ὡς τὸ ἤδει ἤδεε, ἢ πλεονασμῷ τοῦ ε καὶ ἐκθλίψει τοῦ ι.

Ἐέλμενοι. συγκεκλισμένοι, εἰργμένοι, ἀποβολῇ τοῦ γ καὶ τροπῇ τοῦ ἀμεταβόλου. 44a

Ἔεστο. ἐνεδέδυτο, ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥσμην καὶ ἕσμην ἕσο ἕστο καὶ πλεονασμῷ τοῦ ε ἕεστο. 55

Ἐεισαμένη ἀντὶ τοῦ ὁμοιώσασα. ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ πλεονασμῷ τοῦ ε̄, καὶ δίχα τοῦ ε̄ τέθειται τὸ εἴσατο ἀντὶ τοῦ ὡμοιώθη ἢ ὡμοίωσεν. εἴσατο γὰρ φθογγήν φησιν Ὅμηρος.

Ἐέργει. τουτέστιν εἴργει, συγκλείει, περιέχει.

Ἔξω. ἕω τὸ καθέζομαι καὶ πλεονασμῷ τοῦ ξ̄ ἕξω.

Ἔηκα. ἕω τὸ πέμπω, παράγωγον ἵημι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα καὶ πλεονασμῷ τοῦ ε̄ ἔηκα, καὶ σημαίνει τὸ ἐφεῖκα, ἔπεμψα.

Ἑῆος. παιδὸς ἑῆος ἰδίου ἀγαθοῦ, ἢ προσηνοῦς. παρὰ τὸ ἑὸν τὸ ἴδιον καὶ ἀγαθόν.

Ἔθανον. οὐκ ἀπὸ τοῦ θνήσκω, ἀλλ' ἀπὸ τοῦ θείνω ἔθανον, ὡς σπείρω ἔσπαρον.

Ἐθέλω. ἀπὸ τοῦ λῶ τὸ θέλω πλεονασμῷ τῆς θε̄ συλλαβῆς θέλω καὶ ἐθέλω.

Ἔθιζω. παρὰ τὸ ἔθω οἱονεὶ ἡ ἐπικρατήσασα καὶ περιθέουσα καὶ ἐκπληρωμένη συνήθη, ἢ παρὰ τὸ ἔθος.

Εἰδείην. εἰδῶ εἴδημι εἴδην εἰδεῖς εἰδέντος εἰδείην. ἰστέον δὲ ὅτι ἐκεῖνα ἔχουσιν εἰς ην καθαρὸν τὸ εὐκτικόν, ὅσα ἔχουσιν εἰς σ̄ μετ' ὀξείας τάσεως τὴν μετοχήν, καὶ διὰ τοῦ ντ̄ κλινομένην, οἷον τυφθεὶς τυφθέντος τυφθείην. σημείωσαι τὸ εἰδείην. τοῦτο γὰρ οὐκ ὤφειλεν ἔχειν εἰς ην καθαρὸν τὸ εὐκτικόν, ἀλλ' ἔστιν εἰπεῖν ὅτι ὥσπερ ἀπὸ τοῦ περιπατοῖμι καὶ τελοῖμι γίνεται περιπατοίην καὶ τελοίην, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἰδῶς, ὅπερ ἀπὸ τοῦ εἴδω τὸ γινώσκω γίνεται, εἰδότος εἴδοιμι, ὡς τετυφὼς τετυφότος τετύφοιμι, καὶ ἀπὸ τοῦ εἴδοιμι γέγονεν εἰδείην κατὰ τροπὴν ἀττικὴν τὴν μῑ εἰς ην̄ καὶ τοῦ ο̄ εἰς ε̄.

44b ἔστι δὲ εἰπεῖν καὶ ὅτι οὐκ ἀπὸ τοῦ εἰδῶς μετοχῆς, ἀλλ' ἀπὸ τοῦ εἰδεῖς γέγονεν. ἔστι γὰρ καὶ εἰδῶ περισπωμένως, ἀφ' οὗ εἴδημι καὶ ἡ μετοχὴ ὁ εἰδεῖς, ὡς τίθημι τιθείς. εἰ δὲ ἀπὸ τοῦ εἰδῶς εἰδότος εἴδοιμί ἐστι, γίνεται κατὰ μεταπλασμὸν εἰδείην. ἔστι γὰρ μεταπλασμὸς μετάθεσις καὶ μετασχηματισμὸς λήξεως λέ-

ξεως εἷς τι συγγενὲς τελικόν. ἐπειδὴ δὲ των εἰς ην εὐκτικῶν ἃ μὲν παραλήγονται τῇ οι διφθόγγῳ, ἃ δὲ τῇ ει, καὶ δεῖ εἰδέναι ἐπὶ τίσιν ὀφείλομεν χρῆσθαι ἑκατέρᾳ διφθόγγῳ, παρατηρητέον οὕτως, ἡνίκα ἡ γενικὴ τῆς μετοχῆς τῷ ι παραλήγεται, τότε τὸ εὐκτικὸν διὰ τῆς ειν προφερόμενον τὸ ε τῆς γενικῆς τῆς μετοχῆς τηρεῖ μετὰ προσλήψεως ι, τυφθέντος τυφθείην, εἰδέντος εἰδείην· ἡνίκα δὲ ἡ γενικὴ τῆς μετοχῆς τῇ ου διφθόγγῳ ἢ τῷ ο παραλήγεται, τότε τὸ εὐκτικὸν διὰ τῆς οι διφθόγγου προέρχεται. δῆλον τὸ κατὰ μεταπλασμὸν, τελῶν τελοῦντος τελοῖμι τελοίην, δοὺς δόντος δοῖμι δοίην, ἢ καὶ δίχα μεταπλασμοῦ. λέγει γὰρ ὁ κανών· πᾶσα γενικὴ μετοχῆς διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς ην καὶ ἐν τῇ παραλήγούσῃ δεξαμένη τὸ ι, παραιτησαμένη τε τὰ μὴ δυνάμενα συνεξακουσθῆναι αὐτῇ σύμφωνα, τὸ εὐκτικὸν ποιεῖ.

Εἴλυμα. σκέπασμα. παρὰ τὸ εἰλῶ εἰλύω εἰλύσω εἴλυμαι, εἴλυμα.

Εἶμα παρὰ τὸ ἕω τὸ ἐνδύομαι κατὰ πλεονασμὸν τοῦ ι. εἷκα γὰρ ὁ παρακείμενος, εἶμαι, καὶ εἶμα ἐξ αὐτοῦ. ἐκ δὲ τοῦ εἶμαι καὶ εἱμένος ὁ ἐνδεδυμένος, τὰ δὲ παρὰ τὸ εἶμα πάντα διὰ τοῦ ι γράφεται, ἱμάτιον, ἱματιοπώλης. ὅτι δὲ ἱμάτιον διὰ τοῦ ι γράφεται δῆλον ἐκ τῆς συναιρέσεως. τὸ ἱμάτιον γὰρ καὶ θοἱμάτιον, οὐ θὐμάτιον. εἰ γὰρ ἐγράφετο διὰ τῆς ει, θουμάτιον ἂν ἦν. τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται, οἷον τὸ ἐμὸν τουμόν. τὸ δὲ εἱματισμένον εὗρον διὰ διφθόγγου.

Εἵνεκα. ἰστέον ὅτι ἔκτασις μέν ἐστι ἡ ἐν φωνήεσσι γιγνομένη, ἐπέκτασις δὲ ἐν στοιχείῳ. ἐπέκτασιν δὲ εἴωθε λέγειν τὴν κατὰ τὸ τέλος τοιόσδε, τοσόσδε, ἐγώγε, σοφόσγε· ἔκτασιν δὲ ἑνάλιος εἰνάλιος, ἕνεκα εἵνεκα.

Εἶναι. ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω, ὅπερ καὶ ψιλοῦται, τὸ πρῶτον τῶν πληθυντικῶν ἐμὲν, τὸ ἀπα-

ρέμφατον ἔναι, καὶ πλεονασμῷ τοῦ ι εἶναι. ἢ ἀπὸ τοῦ εἰμὶ ὁ παρατατικὸς εἶν εἶς ἔντος ἔναι καὶ εἶναι. τὸ δὲ εἶναι τὸ σημαῖνον τὸ ἀπολῦσαι, ὃ καὶ ἀφεῖναι λέγουσιν, ἀπὸ τοῦ ἵημι τὸ πέμπω, ὁ β' ἀόριστος ἧν, ἡ μετοχὴ εἰς ἕντος ἔναι καὶ εἶναι πλεονασμῷ τοῦ ι.

Εἴργω. ἀπὸ τοῦ εἴρω τὸ συμπλέκω. ἀπὸ δὲ τοῦ εἴργω ἐέργω.

Εἴρω. τὸ ἐρωτῶ, ὁ μέλλων ἐρῶ, ὁ ἀόριστος εἶρα, ὁ δεύτερος εἶρον. οὐκ ἔστι δὲ ἐν χρήσει. ὁ μέσος εἰρύμην εἴρου εἴρετο, καὶ τὸ ἀπαρέμφατον ἔρεσθαι. καὶ ὤφειλεν εἶναι ἐρέσθαι, ἀλλὰ συνεξεκολούθησε τῷ φέρεσθαι, δέρεσθαι. τοῦ εἶρον δευτέρου ἀορίστου τὸ ὑποτακτικὸν ἐὰν ἔρω οὐκ ἔστιν ἐν χρήσει, τὸ παθητικὸν ἐὰν ἔρωμαι ἐὰν ἔρῃ ἐὰν ἔρηται ἐν χρήσει καὶ αὐθυπότακτον, εἴ τίς σε ἔρηται. τοῦ εἴρω τὸ παθητικὸν εἴρομαι, καὶ Ὅμηρος, εἴρομαι παῖδάς τε κασιγνήτους τε ἔτας τε, ἀφαιρουμένου τοῦ ι ἔρομαι ἔρῃ ἔρεται, καὶ ἐπέρεται τὸ ἐπερωτᾷ. ὁ παθητικὸς ἠρόμην ἤρου ἤρετο. τούτου τοῦ εἴρω ὁ μέλλων ἐστὶν ἐρῶ καὶ μετάγεται εἰς ἐνεστῶτα ἐρέω ἐρῶ ἐν χρήσει, ὁ μέλλων ἐρήσω, εἴρηκα εἰρήκειν, εἴρημαι ὁ παθητικὸς παρακείμενος, εἰρόμην ὁ ὑπερσυντέλικος. ὁ ἀόριστος εἰρήθην ὤφειλεν εἶναι, ἀλλὰ διὰ τὸ κακόφωνον ἐρήθην λέγεται, ῥηθεὶς ῥηθέντος. ἀπὸ δὲ τοῦ εἴρω τὸ πρῶτον εἴρεις εἴρει, τὸ ἀπαρέμφατον εἴρειν καὶ συνείρειν. συνείρειν δὲ λέγουσι τοὺς ἐν τῷ ἀναγινώσκειν συνάπτοντας καὶ λόγον ποιοῦντας εἰς τὸ ῥητορικόν. ὁ δὲ Σέλευκος ἀπὸ τοῦ συνειργμένα καὶ συνηρμοσμένα λέγεσθαι τὰ τοῦ λόγου μέρη.

45b Εἶαρ παρὰ τὸ ἔω τὸ ἐκπέμπω γέγονεν, ἔαρ καὶ πλεονασμῷ τοῦ ι εἶαρ. τότε γὰρ ἐκπέμπονται οἱ καρποί.

Εἴβω τὸ ἀποστάζω ἀποβολῇ τοῦ λ. λείβω γὰρ τὸ πρωτότυπον.

Εἰδάλιμος. εὐειδὴς, εὔμορφος, παρὰ τὸ εἶδος εἴδιμος καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς εἰδάλιμος.

ὡς κῦδος κύδιμος κυδάλιμος, πεύκη πεύκιμος πευκάλιμος, τὸ θηλυκὸν ειδαλίμη.

Εἰδώς. εἰδῶ τὸ γινώσκω καὶ εἴδημι εἰδήσω εἴδηκα εἰδηκὼς καὶ κατὰ συγκοπὴν εἰδώς. εἰ γὰρ ἀπὸ μέσου παρακειμένου τοῦ εἴδω βαρύτονον ἦν, διὰ τῆς οι διφθόγγου ὤφειλε γράφεσθαι. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ εἴσω μέλλοντι.

Εἰκάζω τὸ ὁμοιῶ. ἀπὸ τοῦ εἴκω εἰκάζω, ὡς ἀπὸ τοῦ κύπτω κυπτάζω.

Ἔϊκτην. ὡμοιώθησαν. εἴδω τὸ ὁμοιῶ, εἴσω, ὁ παρακείμενος εἶκα, ὁ ὑπερσυντέλικος εἴκειν, τὸ γ' τῶν δυϊκῶν εἰκείτην, καὶ συγκοπῇ εἴκτην, καὶ κατὰ διάλυσιν ἐίκτην.

Εἶεν. εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος, τὸ εὐκτικὸν εἴην εἴημεν εἶμεν κατὰ συγκοπὴν εἶεν. ἔστι δὲ αἰολικῆς διαλέκτου. αἰολικαὶ γὰρ αἱ συγκοπαί. ἢ ἐκ τοῦ ἔω τὸ ὑπάρχω, ἔσω, ὁ ἀόριστος δεύτερος ἧον, ἔην ὁ παθητικὸς, ἀφαιρέσει ἦν, εἷς ἔντος, καὶ καθεξῆς.

Εἱλωτεύειν. δουλεύειν. εἵλωτες γὰρ οἱ μὴ γνήσιοι δοῦλοι Λακεδαιμονίων, ἀλλὰ πρῶτοι χειρωθέντες, Ἕλος τὴν πόλιν οἰκοῦντες.

Εἴληφα καὶ εἴληχα ἐκ τοῦ λήβω καὶ τοῦ λήχω λέληφα καὶ λέληχα, καὶ ἐκβολῇ τοῦ πρώτου λ̄ καὶ πλεονασμῷ τοῦ ῑ εἴληφα καὶ εἴληχα.

Εἵλωτες. Ἕλος Ἕλους. Ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ. ἕλωτες οὖν, καὶ πλεονασμῷ τοῦ ῑ εἵλωτες. εἰσὶ δὲ οἱ οἰκοῦντες τὴν Μεσηνιακήν. πρὸς ὕβριν δὲ τούτων ὁ Λακεδαιμόνιος τοὺς δούλους εἵλωτας ἔλεγεν.

Εἱμαρμένη καὶ εἵμαρτο. ὡς ἀπὸ τοῦ λήβω τοῦ σημαίνοντος τὸ λαμβάνω γίνεται λέληφα καὶ εἴληφα, οὕτως ἀπὸ τοῦ μείρω τοῦ σημαίνοντος τὸ μερίζω μερῶ μέμαρκα μέμαρμαι ἀποβολῇ τοῦ μ̄ καὶ πλεονασμῷ τοῦ ῑ εἵμαρμαι εἱμαρμένος εἱμαρμένη. ἐκ δὲ τοῦ εἵμαρ- 46 a
μαι εἱμάρμην εἵμαρσο εἵμαρτο ὁ ὑπερσυντέλικος.

Εἰμὶ τὸ ὑπάρχω, ἕω τὸ ὑπάρχω, καὶ τροπῇ τοῦ ω̄ εἰς μι ἐμὶ, καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρᾷ παραλήγονται, οἷον τίθημι, ἐπλέονασε τὸ ῑ καὶ ἐγένετο εἰμί. οὐκ ἐτράπη δὲ τὸ ε̄ εἰς η̄, ἵνα μὴ συνεμπέσῃ τῷ ἠμὶ, ὃ σημαίνει τὸ λέγω, ὅπερ ἀπὸ τοῦ φημὶ γίνεται ἀποβολῇ τοῦ φ. ἢ μᾶλλον ἵνα φυλαχθῇ λείψανον τοῦ πρωτοτύπου. τὸ δεύτερον εἶς, οἷον, αἵματος εἷς ἀγαθοῖο, ὀξυτόνως, καὶ κατὰ ἀποβολὴν τοῦ σ̄ εἶ, καὶ περισπᾶται, μεταβληθέντος τοῦ τόνου διὰ τὴν ἀπόβολὴν, τὸ δυϊκὸν ἔτον ἔτον, πληθυντικὸν ἐμὲν καὶ πλεονασμῷ τοῦ σ ἐσμέν. τοῦτο τὸ ἐμὲν πλεονάσαν τὸ ῑ εἰμὲν γίνεται, οἷον ἠμεῖς δ' εἰμέν.

Εἴσαιτο. ἔδοξεν, ἐφάνη. ἐκ τοῦ εἴδω τὸ φαίνομαι. τόδε τοι κὴρ εἴδεται εἶναι. ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα, καὶ ὁ μέσος εἰσάμην, καὶ τὸ εὐκτικὸν εἰσαίμην εἴσαιο εἴσαιτο.

Εἶο. ἔστιν ἐμοῦ σοῦ οὗ, καὶ αὗται αἱ γενικαὶ γίνονται ἰωνικῶς κατὰ διάλυσιν ἐμέο σέο ἕο, καὶ ἐπειδὴ αἱ διαλυόμεναι γενικαὶ οὐδέποτε δύο φωνήεντα ἔχουσι βραχέα, ἀλλὰ τὸ μὲν ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχὺ, οἷον ὠκεανοῖο, πηληϊάδεω, ἐπλεόνασε ποιητικῶς τὸ ῑ καὶ ἐγένετο ἐμεῖο σεῖο εἷο.

Εἶπαισαν. ἔπω ἔψω εἶπα, ἡ μετοχὴ εἶπας εἶπαντος, τὸ εὐκτικὸν εἴπαιμι εἴπαις εἴπαι, τὸ γ̄ τῶν πληθυντικῶν αἰολικῶς εἴπαισαν.

Εἴπησθα σὺν τῷ ῑ κατ' ἐπέκτασιν τοῦ θα, μᾶλλον δὲ κατὰ προσχηματισμὸν, ἐὰν εἴπῃς εἴπῃσθα.

Εἶπον. Μένανδρος, εἶπον δὲ τί ποιεῖν μέλλεται, ἀντὶ εἶπὲ ἀορίστου. ἰστέον δὲ ὅτι λέγει ὁ γραμματικὸς Ἰωάννης ὁ Χάραξ ὅτι τὸ παρὰ τῇ θείᾳ γραφῇ προστακτικὸν ὀξυτονεῖται, οἷον εἰπὸν ἀντὶ εἰπὲ β' ἀόριστος κατὰ τὴν τῶν Συρακουσίων φωνήν. οὗτοι γὰρ τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου μεταποιοῦντες εἰς ον̄ τὸν τόνον φυλάττουσι τῶν κοινῶν προστακτικῶν, οἷον τὸ λάβε λάβον. εἰ οὖν ἐστιν εἰπὲ

ὀξυτόνως, δῆλον ὅτι καὶ εἰπόν. τὸ δὲ εἶπον βαρύ- 46b
τονον παρὰ Μενάνδρῳ ἔστι πρωτοτύπου ἀορίστου ἀπὸ τοῦ εἶπα.

Εἰρύαται. πρὸς Διὸς εἰρύαται πεφυλαγμένοι εἰσίν. ἐρύω ἔρυμι, ὁ παθητικὸς παρακείμενος εἴρυμαι, τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ ἰωνικῶς εἰρύαται. ὁμοίως καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου. τὸ δὲ ἐρύω παρὰ τὸ ῥῶ, τὸ σημαῖνον τὸ ἰσχύω, γίνεται ῥύω καὶ πλεονασμῷ τοῦ ε ἐρύω, ὅ ἐστι δυνάμει ἕλκω, ὡς ἀπὸ τοῦ ἀρτῶ ἀρτύω, καὶ ἀπὸ τοῦ μνῶ μνύω καὶ πλεονασμῷ τοῦ ι εἰρύω.

Εἰρῆσθαι, ῥῆμα ἀπαρέμφατον, λέγεσθαι, ἐκ τοῦ ἐρῶ ἐρήσω, ὁ παρακείμενος εἴρηκα, ὁ παθητικὸς εἴρημαι, τὸ δεύτερον εἴρησαι, τὸ τρίτον εἴρηται, καὶ τὸ ἀπαρέμφατον εἰρῆσθαι.

Ἔρυσθαι σημαίνει τὸ φυλάξαι. ἰστέον ὅτι τὸ εἴρυσθαι καὶ εἰρύσθαι διαφέρει. ἔστι γὰρ ἐρύω ἐρύσω, εἴρυκα εἴρυμαι εἴρυται εἰρύσθαι, ὡς λελύσθαι. τὸ δὲ προπαροξυτόνως ἀπὸ τοῦ ἔρυμι ἔρυμαι ἔρυται ἔρυσθαι, καὶ πλεονασμῷ τοῦ ι εἴρυσθαι, ὡς ξεύγνυμι ζεύγνυσθαι.

Εἰρύσαιτο. ἐρύω ἐρύσω, ὁ ἀόριστος εἴρυσα, ὁ μέσος εἰρυσάμην, εἰρυσαίμην τὸ εὐκτικὸν παθητικὸν, εἰρύσαιτο. τὸ δὲ εἴρυτο ἀπὸ τοῦ ἔρυμι ἔρυμαι, εἰρύμην εἴρυτο.

Εἴρων. ὁ ἀπατεών, παρὰ τὸ εἴρω τὸ λέγω, ὁ διὰ λόγων παραλογίζομενος, ὁ ἄλλα μὲν φρονῶν, ἄλλα δὲ λέγων, ἐξ οὗ καὶ τὸ εἰρωνεία.

Εἰσάμενος. ἐκ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ὁμοιῶ. σημαίνει δὲ καὶ τὸ ἱδρυσάμενος,

εἰσάμενοι παρὰ θῖνα θυηπολίης ἐμέλοντο.

Εἴσατο. ἀπὸ τοῦ εἴδω εἴσω εἶκα εἰσάμην εἴσατο.

Ἴσης, ἴσης, πλεονασμῷ τοῦ ε, νῆας ἴσας, τὰς ἰσοτοίχους.

Εἴσω. ὡς ἀπὸ τῆς ἐξ προθέσεως γίνεται ἔξω καὶ ἀπὸ τῆς πρός πρόσω, οὕτως καὶ ἀπὸ τῆς εἰς εἴσω.

Εἶς καὶ εἶσθα, εἴτε καὶ ὕστερον εἶσθα, ἀντὶ τοῦ ἐλεύσῃ. ἦμι, τὸ δεύτερον εἶς, ἐπεκτάσει τῆς θα εἶσθα. ἔχει δὲ μέλλοντος σημασίαν, καὶ τὸ ἄπει, οὐδέποτε 47a ἥττων ἄπει ἐκ μάχης, ἀντὶ τοῦ ἀπελεύσῃ. περὶ δὲ τοῦ εἶς ἀντὶ τοῦ ὑπάρχεις, ὡς τὸ αἵματος εἶς ἀγαθοῖο, ζητητέον ἐν τῷ ειμί.

Ἐΐσκω. τὸ ὁμοιῶ, ἀπὸ τοῦ εἴδω εἴσω, πλεονασμῷ 10τοῦ κ καὶ διαιρέσει τῆς ει διφθόγγου ἐΐσκω.

Εἴωθα. ἔστιν ἔθω, τὸ ἐξ ἤθους τι διαπράττομαι, ἔσω ὁ μέλλων, ὁ παρακείμενος εἴκα, ὁ μέσος εἴθα καὶ πλεονασμῷ τοῦ ω εἴωθα καὶ ἔωθεν κατὰ ἀποβολὴν τοῦ ι.

15 Εἰρήσθωσαν. κανόνισον· ῥέω ῥῶ ῥήσω, ὁ παρακείμενος ἐρρηκα καὶ ἐκβολῇ τοῦ πρώτου ρ ἔρηκα, καὶ πλεονασμῷ τοῦ ι εἴρηκα. ὁ παθητικὸς εἴρημαι, ὁ ὑπερσυντέλικος εἰρήμην εἴρησο, καὶ τὸ προστακτικὸν εἴρησο εἰρήσθω, εἴρησθον εἰρήσθων, εἴρησθε εἰ-20ρήσθωσαν.

Εἵμαρτο. μείρω τὸ μερίζω, ἐπεὶ καὶ εἱμαρμένη παρ' Ἕλλησιν ἡ μεμερισμένη πᾶσι τύχη λέγεται, ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα καὶ ἐκβολῇ τοῦ πρώτου μ καὶ προσθήκῃ τοῦ ι εἵμαρκα, ὁ παθητι-25κὸς εἵμαρμαι, ὡς διείλεγμαι, εἱμάρμην εἵμαρσο εἵμαρτο.

Εἵμαρται. μείρω μερῶ μέμαρκα μέμαρται καὶ ἀποβολῇ τοῦ μ καὶ ἐν πλεονασμῷ τοῦ ι εἵμαρται.

Εἰῶσιν. ἐάω ἐῶ τὸ συγχωρῶ, τὸ τρίτον τῶν πληθυντικῶν ἐῶσιν, καὶ πλεονασμῷ τοῦ ι εἰῶσιν.

30 Εἰλήλουθμεν ἤγουν ἐληλύθαμεν, ὃ κατὰ τὸν ῥηθέντα Ἡρακλείδην πεποίηται διαλέκτοις τέσσαρσιν, ἀθλίδι, λάδι, βοιωτίᾳ, αἰολίδι. ἐλεύθω γὰρ, οὗ ὁ μέσος κοινὸς παρακείμενος ἤλυθα, καὶ ἀττικὸς ἐλήλυθα, κατὰ τὸ ἤρεικα ἐρήρεικα, ὅ ἐστιν ἔσχισα, ἤλειφα ἐλή-35λειφα. ἐπεὶ δὲ ἔθος βοιώτιον προστιθέναι τῷ υ τὸ ο, καὶ ἰωνικὸν τῷ ε τὸ ι, γίνεται οὕτως εἰλήλουθα, ὃ

βεβοιωτίασται μέν φησι κατὰ τὴν παραλήγουσαν, κατὰ δὲ τὴν πρώτην, ἤγουν τὴν ἄρχουσαν, ἰώνισται. τοῦ δὲ τοιούτου εἰλήλουθα πληθυντικὸν εἰληλούθαμεν, ἀναλόγῳ προσθέσει τῆς μεν, κατὰ τὸ τέτυφα τετύφαμεν. ὅθεν αἰολικῶς συγκέκοπται τὸ εἰλήλουθμεν. Αἰολέων γάρ εἰσιν αἱ συγκοπαί. ὅτι δὲ συγκέκοπται τὸ εἰληλουθμεν, δῆλον οὕτω. πᾶν ῥῆμα πληθυντικὸν πρώτου προσώπου ἑκάστοτε πρὸ τῆς μεν φωνῆεν ἔχει, 47b καὶ οὐδέποτε σύμφωνον. τοῦτο δὲ ἔχει πρὸ τοῦ μ τὸ α. συγκέκοπται ἄρα, ὥσπερ καὶ τὸ ἐπέπιθμεν ἐκ τοῦ ἐπεπίθομεν, καὶ τὸ ἴσμεν ἐκ τοῦ ἴσαμεν.

Εἰμί. τοῦτ' ἔστιν ὑπάρχω, ἄλλως παραγομένου κοινότερον. Ἡρακλείδης λέγει περὶ αὐτοῦ, ὡς ἔνιοι τῶν αἰολικῶν μετατιθέντες ἐν πρώτῃ καὶ δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων τὸ ω εἰς η ποιοῦσι ῥήματα εἰς μι, πλεονασμῷ τῆς μι συλλαβῆς ἐπὶ τέλους. οὕτω φασὶ καὶ ἀπὸ τοῦ φῶ τὸ αἰολικὸν φημί. διὸ βαρύνων ὁ Τυραννίων φημι γράφει βαρυτόνως αἰολικώτερον, οἷον, φῆμι γὰρ οὖν κατανεῦσαι. οὐκοῦν καὶ ἀπὸ τοῦ ὦ ἤγουν ὑπάρχω εἴη ἂν αἰολικὸν ἦμι, καὶ βοιωτικῇ μεταθέσει τοῦ η ἐς τὴν ει δίφθογγον εἶμι, ἡμαρτημένον ὂν τῷ τόνῳ. καὶ ἑτέρωθι λέγει αὐτὸς, τὰ γὰρ αἰολικὰ δῆλον ὅτι βαρύνονται. τοῦ δὲ τοιούτου βοιωτίου ἦμι τὸ δεύτερον εἶς, οἷον, τίς, πόθεν εἶς, ἀνδρῶν; λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι Βοιωτοὶ τὸ η παρατέλευτον ὂν τῆς πρώτης τῶν εἰς μι μετατιθέντες εἰς τὴν ει δίφθογγον πολλάκις καὶ ἀναδιπλοῦσιν, οἷον πεφίλειμι, νενόειμι. καὶ ὅτι ὅσα τῶν εἰς μι τῇ αι διφθόγγῳ παραλήγονται, οἷον τὸ γέλαιμι καὶ τὰ λοιπὰ αἰολικὰ ὄντα τῆς Λεσβίων ἔχονται διαλέκτου, εἶτα εἰπὼν ἡμαρτῆσθαι καὶ τὸ ἔστιν. ὤφειλε γάρ, φησι, ὡς τὸ δίδωμι δίδωσι καὶ φημὶ φησὶ, λέγεσθαι οὕτως εἰμὶ εἰσὶ, καὶ ἐπικρίνας τοῦτο ἐπάγει ὅτι καὶ ἡμεῖς ὅτε εἰσὶν ἐκεῖνοι εἴπωμεν πληθυντικῶς, βοιωτίως χρώμεθα, ἑνικὸν ῥῆμα κατὰ πλήθους τάσσοντες, εἶτα ἐλέγχων καὶ τοὺς εἰπόντας δώριον εἶναι

τὸ ἔστιν. ὡς γὰρ δίδωσι δίδωτι, τίθησι τίθητι, οὕτω καὶ εἰσὶ εἰτὶ, καὶ ἀπελεύσει τοῦ ῑ καὶ ἐνθέσει τοῦ σ̄ ἐστὶ, λέγει δυνατὰ, ἐν οἷς καὶ ὅτι Αἰολεῖς μὲν τὸ φησὶ φατὶ λέγουσιν, Ἴωνες δὲ ἠσὶ δίχα τοῦ φ̄. καὶ στοιαῦτα μὲν καὶ ταῦτα.

Ἐκαθήμην. ἕω τὸ καθέζομαι βαρύτονον, ἀφ' οὗ τὸ ἕζω προσθήκῃ τοῦ ζ̄ κατὰ παραγωγὴν τονικὴν ἑῶ περισπώμενον, ὡς ἐκ τοῦ κύω τὸ κυῶ, καὶ ἕλκω ἑλκῶ, καὶ εἴδω εἰδῶ, καὶ ῥίπτω ῥιπτῶ, ἐξ οὗ παράγωγον. 48a Ἔημι. τὸ παθητικὸν ἔεμαι, ὡς τίθημι τίθεμαι, καὶ συναιρέσει ἧμαι, μετὰ τῆς κατά προθέσεως καὶ ἐν συγκοπῇ, καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄ καὶ ἀναδόσει τοῦ τόνου κάθημαι. καὶ ἐπεὶ αἱ προθέσεις μετὰ τῶν ῥημάτων ἐν συνθέσει εἰσὶν, ἔστιν ἓν μέρος λόγου κάθημαι, ὁ παρατατικὸς ἐκαθήμην.

Ἐκγέγαμεν. γείνω γενῶ, ὁ μέσος παρακείμενος γέγονα γεγόναμεν καὶ ἐν συγκοπῇ γέγαμεν καὶ ἐκγέγαμεν. ἢ γείνω γενῶ, ὁ παρακείμενος γέγαγκα, ἀποβολῇ τοῦ γ̄ καὶ κ̄ γέγαα γεγάαμεν καὶ συγκοπῇ γέγαμεν καὶ ἐκγέγαμεν.

Ἔκειτο. κέω τὸ κεῖμαι βαρύτονον κατὰ παραγωγὴν τονικὴν κεῶ, ὡς ἕω ἑῶ τὸ καθέζομαι. ἐξ αὐτοῦ κέημι, ὡς ἕημι, κέεμαι, ἐκείμην ἔκειτο.

Ἐκέκλιτο. ἠέρι δ' ἔγχος ἐκέκλιτο. ἀντὶ τοῦ ἐκεκάλυπτο. οἱ μὲν ἀπὸ τοῦ κλίνω κέκλικα κέκλιμαι ἐκεκλίμην ἐκέκλιτο. ἕτεροι δὲ ἀπὸ τοῦ κλείω, οὐ καλῶς δέ.

Ἐκεκράγει. κράζω κράξω, ὁ παρακείμενος κέκραχα, ὁ μέσος κέκραγα. ἡνίκα γὰρ διὰ τοῦ ζ̄ ἐστὶν ὁ ἐνεστὼς, ὁ μέσος παρακείμενος διὰ τοῦ δ̄ ἢ γ̄ ἐκφέρεται, φράζω πέφραδα, κράζω κέκραγα, στίζω ἔστιγα, κρίζω κέκριγα. ὅθεν ὁ ποιητὴς, ὡς αἱ κεκριγυῖαι. ὡσαύτως δὲ οἱ δεύτεροι ἀόριστοι οὐ μόνον διὰ τοῦ δ̄ ἢ γ̄, ἀλλὰ καὶ διὰ τοῦ κ̄ ἐκφέρομεν ὡς τὸ κρίκε. ὁ ποιητὴς, κρίκε δὲ ζυγόν. ἐκ δὲ τοῦ κέκραγα τὸ ἐκεκράγειν. ἐξ αὐτοῦ καὶ τὸ κεκραγέναι.

Ἐκεύθανον. ἔκρυπτον. ἀπὸ τοῦ κεύθω κευθάνω, ἐκεύθανον.

Ἐκέκραξαν. ἔστι ῥῆμα κρῶ, ἀφ' οὗ τὸ κράζω καὶ κρώζω, ὡς στῶ στάζω. τούτου ὁ μέλλων κράξω, κέκραχα, κέκραγα. ἐκ δὲ τοῦ μέσου παρακειμένου γίνεται ῥῆμα κεκράγω, ὡς ἀπὸ τοῦ πέπληγα τὸ πεπλήγω, καὶ ἀπὸ τοῦ κέκληγα τὸ κεκλήγω, καὶ ἀπὸ τοῦ βέβρωκα τὸ βεβρώθω, κατὰ τροπὴν τοῦ κ εἰς θ. ὁ μέλλων κεκράξω, ὁ ἀόριστος ἐκέκραξα, τὸ τρίτον τῶν πληθυντικῶν ἐκέκραξαν.

Ἐκκεκωφέαται καὶ ἐκκεκωφέατο ἀπὸ τοῦ 48b
κωφῶ, κωφήσω, κεκώφηκα, κεκώφημαι κεκώφηται, καὶ ἀκῶς κεκωφέαται, καὶ ἐν συνθέσει ἐκκεκωφέαται, οἷον, αἱ δέ μ' ἐκκεκωφέαται· ὁ ὑπερσυντέλικος ἐκεκωφήμην ἐκεκώφητο, καὶ ἀκῶς κεκωφέατο καὶ ἐκκεκωφέατο.

Ἐκκορηθῆναι. ἐκκαλυνθῆναι. τὸ γὰρ κορεῖν τὸ σαίρειν καὶ καλύνειν. ὅθεν καὶ κόρηθρον τὸ φιλόκαλον.

Ἐκκορυφήσω. ἀνακεφαλώσομαι, κορυφὴν ἐπιθήσω, ἢ ἕτερόν σοι λόγον ἀπάρξομαι, ἐπεὶ ἡ κορυφὴ ἀρχή ἐστι τοῦ σώματος.

Ἔκλαγξαν ἀντὶ ἤχησαν. ἔστιν ὁ ἀόριστος ἔκλαγξα μεταφορικῶς ἀπὸ τῆς κλαγγῆς, ἥ τίς ἐστιν ἡ τῶν γεράνων φωνή, ὡς καὶ ὁ ποιητής,

Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὡς.

Ἐκλώζετο. κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον.

Ἐκλέλαθον. ἔστι λήθω τὸ λανθάνω. ὁ μέσος παρακείμενος λέληθα, μεταπεσόντος τοῦ η εἰς α βραχέος, λέλαθα, ὡς τὸ μέμηκα μέμακα, ἀφ' οὗ μεμακυῖα καὶ μεμακώς. οἱ δέ γε Σικελοὶ τὸ τελικὸν α τῶν παρακειμένων εἰς ω μετατιθεῖσιν ἐνεστῶτα ποιοῦντες. ὡς γὰρ πεποίηκα πεποιήκω, οὕτως λέλαθα λε-

λάθω, ἀφ' οὗ τὸ τρίτον τῶν πληθυντικῶν λέλαθον καὶ ἐκλέλαθον.

Ἐκπέρσαι. ἐκ τοῦ πέρθω πέρσω. τὸ πέρθω ἐκ τοῦ περιθέω. οἱ δὲ, ἐκ τοῦ πρήθω τὸ καίω φασὶ κατὰ συστολὴν τοῦ η εἰς ε καὶ ὑπερβιβασμῷ πέρθω.

Ἔκτα. ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ. ἀντὶ τοῦ ἔκτανε. κτάω κτῶ κτῆμι, ὁ δεύτερος ἀόριστος ἔκτην ἔκτης ἔκτη, κατὰ συστολὴν τοῦ η εἰς α ἔκτα. ἢ ἀπὸ τοῦ κτάω κτῶ ἔκταον ἔκτων ἔκταεν ἔκτα. δύναται καὶ ἀπὸ τοῦ κτείνω εἶναι. ὁ μέλλων κτενῶ, ὁ ἀόριστος ἔκτεινα, ὁ δεύτερος ἀόριστος ἔκτανον, ὡς ἔθανον, κατὰ ἀποκοπὴν ἀπὸ τοῦ ἔκτανε τρίτου προσώπου ἔκτα.

Ἐκτῆσθαι. κτάω κτῶ κτήσω ἔκτηκα ἔκτημαι ἔκτησαι ἔκτηται ἐκτῆσθαι. ὅταν γὰρ ἀπὸ συμφώνων δύο ἄρχηται ὁ ἐνεστὼς, οὐκ ἀναδιπλασιάζει ὁ παρακείμενος.

Ἐκτυφῆναι. τύφω ἔτυφον ἐτύφην ἐτύφης ἐτύφη τυφῆναι. σημαίνει δὲ τὸ παρὰ μικρὸν ἐκτυφλωθῆναι.

Ἐκτοῖο. ὡς καλὸς καλοῦ καλοῖο, οὕτω ἐκ τοῦ ἐκτὸς ἐκτοῖο. εἰ δέ ἐστιν ἀντὶ τοῦ ἐκ τοῦ, γίνεται ἀπὸ τοῦ οὗ ὑποτακτικοῦ ἄρθρου, καὶ ἐπεὶ οἱ Ἴωνες τοῖς ὑποτακτικοῖς ἄρθροις τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις προστιθέασι τὸ τ, γίνεται τοῦ προσλήψει τοῦ τ καὶ κλίνεται τοῖο, ὡς καλὸς καλοῖο. οἱ γὰρ Ἴωνες τὰς εἰς ου λιγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας διὰ τοῦ οιο προφέρουσιν.

Ἐκυδάσσατο. σημαίνει τὸ ἐλοιδόρησεν. ὦ πέπον ἦ μάλα δή με κακῶς ἐκυδάσσατο. ἔστι κῦδος ἀρσενικόν. σημαίνει παρὰ Συρακουσίοις τὴν λοιδορίαν. ἀπὸ γοῦν τοῦ κῦδος κυδάζομαι καὶ κυδάζεται, καὶ ἐκυδασάμην ἐκυδάσσατο πλεονασμῷ τοῦ σ.

Ἔκχεον. χέω χεύω ἔχευσα, ἐκβολῇ τοῦ υ καὶ σ ἔχεα ἔχεας ἔχεε, τὸ προστακτικὸν χέον καὶ ἔκχεον. ἐκ δὲ τοῦ ἔχεα ἀορίστου καὶ χέαι ἀπαρέμφατον καὶ ἐκχέαι. τὸ τρίτον τῶν πληθυντικῶν ἔχεαν, καὶ ἐξέχεαν

αἷμα. ἐκχέω χεύσω, ἔχευσα, καὶ ἔχεα, ὡς εἴρηται. ὁ ἀόριστος δεύτερος ἔχεον, ὁ μέλλων δεύτερος χεῶ καὶ ἐκχεῶ.

Ἐκαίνυτο. ποιητικὴ λέξις ἐκ τοῦ καίνυμι, εἴληπται δὲ ἀντὶ τοῦ πάνυ ἐνίκα. κυριολεκτεῖται δέ φασι ἐπὶ τῶν ἐν πολέμῳ νικώντων.

Ἐκίχημεν παρατατικός ἐστι τοῦ κίχημι, ἐξ οὗ τὸ κιχῆναι.

Ἔκηα. ἐνεστὼς οὐ τὸ καίω κοινῶς, ἀλλὰ τὸ κάω ἀττικῶς. ἰστέον γὰρ ὡς τριῶν τούτων, τοῦ καίω διὰ διφθόγγου καὶ τοῦ κάω καὶ τοῦ κέω διὰ τοῦ ε, ὃ πολλαχοῦ φανεῖται, ἀπὸ μὲν τοῦ καίω τὸ καύσω γίνεται, τροπῇ συνήθει τοῦ ι εἰς υ, κατὰ τὸ κλαίω κλαύσω. ἀπὸ δὲ τοῦ κάω τὸ ἔκηα. ἐκ δὲ τοῦ ψιλογραφουμένου κέω τὸ πολλὰ πειρὰ κειόμενοι, καὶ ἕτερα τοιαῦτα. εἰ δὲ δόξει καὶ ἀπὸ τοῦ κάω τὸ 49b καύσω μέλλων, οὐδέν τι καινοπραγεῖται. κάω γὰρ καὶ πλεονασμῷ τοῦ υ καύω, ὡς λάω λαύω. ὡς οὖν ἀπολαύω ἀπολαύσω, οὕτω καὶ καύω καύσω, καὶ ὡς εἰκὸς κλαύω κλαύσω. τοῦ γάρ τοι καίω ὁ μέλλων ἦν ἂν καίσω, κατὰ τὸ παλαίω παλαίσω, παίω παίσω, ἐξ οὗ καὶ ποὺς ἀνάπαιστος καὶ πόλις Παισός, καὶ συμπαύστωρ· ἔτι δὲ καὶ κατὰ πταίω πταίσω.

Ἐκολώα. δηλοῖ μὲν τὸ ἐθορύβει, γίνεται δὲ ἐκ τοῦ κολυνὸς ὁ θόρυβος, αὐτὸ δὲ ἐκ τοῦ κολούω, ἐξ οὗ κολοιὸς ὄρνεον θορυβητικὸν καὶ κραυγαστικόν. ἢ ἐκ τοῦ κλῶ, ὅθεν καὶ τὸ κλώζειν καὶ ὁ κλωγμός. σημείωσαι δὲ ὅτι Ὁμήρου δευτέρας συζυγίας εἰδότος τὸ κολοῶ, καθὰ δηλοῖ τὸ ἐκολώα, ὅμοιον ὂν τῷ ἐβόα, φασὶν οἱ παλαιοὶ καὶ αὐτὸ εἶναι παρ' Ἀντιμάχῳ εἰ πόντι, ὡς ῥά τότ' Ἀργείων ἐκολώει στρατός. ἔστι γὰρ τὸ ἐκολώει ὡς τὸ ἐποίει.

Ἐκρέμω. κρέμημι, ὁ μέλλων κρεμάσω, ὁ παρακείμενος κεκρέμακα, ὁ παθητικὸς κεκρέμαμαι καὶ ἀφαιρέσει κρέμαμαι, ὁ ὑπερσυντέλικος ἐκρεμάμην

ἐκρέμασο, καὶ ἐκβολῇ τοῦ ō καὶ κράσει τοῦ ᾱ καὶ ō εἰς ῶ, ἐκρέμαο ἐκρέμω.

Ἐκπαγλότατε. ἀπὸ τοῦ ἐξεπλάγην κατὰ μετάθεσιν τοῦ λ ἔκπαγλος ὁ ἐκπληκτικὸς καὶ θαύματος ἄξιος, ἀφ' οὗ καθ' ὑπέρθεσιν ἐκπαγλότατος.

Ἔκφερεν ἀντὶ τοῦ ἐξεφόρησε, καὶ παρασημαντέον εὐχρήστως ἐνταῦθα ὅτι τὸ φέρω καὶ τὰ ἐξ αὐτοῦ χύμα πολὺ προΐενται λέξεων ῥητορικῶν, κολλώμενα ταῖς ὅλαις προθέσεσιν. ἐξ ἐκείνων γὰρ σὺν ἑτέροις πολλοῖς πρόεισιν ὁ ἐμφερὴς ἤγουν ὅμοιος καὶ τὰ ἐξ αὐτοῦ, καὶ τὸ εἰσφέρειν, ὃ κοινότερον εἰσοδιάζειν λέγεται, καὶ ἡ εἰσφορὰ καὶ ἡ δημοσία συνεισφορὰ, καὶ τὸ, ὡς ἐῤῥέθη, ἐκφέρειν, ὃ καὶ ἐπὶ τοῦ θάπτειν ἔστιν ὅτε λέγεται, ὅθεν καὶ ἐκφορὰ ἡ ταφή. ἐκφέρει δέ τις μυστήριον, ὅπερ ἐχρῆν εἶναι ἀνέκφορον. ταυτὸν δ' εἰπεῖν ἀνέξοιστον. ἐκεῖθεν καὶ τὸ συμφέρον, ὅπέρ ἐστι 49a συνοῖσον, καὶ τὸ σύμφορον καὶ μέση λέξις ἡ συμφορὰ, καὶ προσφέρειν, καὶ τὸ ἀπ' αὐτῆς πρόσφορον, καὶ ἡ προσφορά. τοιαύτης δὲ ἀναλογίας καὶ τὸ προφέρειν καὶ προφορὰ ἐξ ἐκείνων γίνεται, καὶ ἀναφέρειν καὶ ἡ ἀπ' αὐτοῦ ἀναφορὰ, καὶ τὸ ἄλλως ἀναφέρειν ἀπὸ μανίας ἢ κάρου, ὃ ταυτόν ἐστι τῷ ἐγρηγορέναι, ᾧ ἐναντίον τὸ καταφέρεσθαι, οὗ τὸ ἐνεργητικὸν ἔχει ποτὲ καὶ ψόγον ἐν τῷ καταφερὴς, ὅπέρ ἐστι λάγνος. καὶ μὴν καταφέρεταί τις τινὸς καὶ ὡς κατηγόρος, ὅθεν καὶ καταφορὰ ἡ ἐγκατηγορία τάσις, καὶ καταφορικὸς λόγος, ὡς εἰπεῖν τοπικός. ὁμοίας ἀρχῆς καὶ τὸ διαφέρειν, καὶ τὸ διαφέρεσθαι ἤγουν ἐναντιοῦσθαι, ὅθεν καὶ διάφορος οὐ μόνον τὸ κοινὸν, ἀλλὰ καὶ ὁ ἐχθρός. καθ' ὃ Φίλιππος διάφορος τῷ πατρὶ Ἀμύντᾳ λέγεται, καὶ διαφορὰ οὐ μόνον ἡ ἑτεροιότης, ἀλλὰ καὶ ἡ μάχη. τῶν τοιούτων ἐστὶ καὶ τὸ μεταφέρειν καὶ ἡ ῥητορικὴ μεταφορὰ ἤτοι τροπὴ, καὶ ὁ μεταφορικὸς λόγος. καὶ τὸ παραφέρειν, καὶ ὁ παρ' αὐτοῦ παράφορος, ὡς μὴ φρενήρης. οὗ τὸ πάθος πα-

ραφορά. καὶ τὸ ἀντιφέρεσθαι καὶ ἀντιφερίζειν ἐπὶ ἐναντιώσεως, καὶ ἡ ἐπιφορὰ ἡ αὐτὴ οὖσα τῇ εἰρημένῃ καταφορᾷ, ὡς καὶ ὁ ἐπιφορικὸς λόγος, ὁ αὐτὸς τῷ καταφορικῷ. καὶ τὸ περιφερὲς ἐπὶ στρογγυλότητος. καὶ ἡ οὐρανίος περιφορά. καὶ ὁ ἀμφιφορεὺς, οὗ χρῆσις πολλή. καὶ ἡ ἀποφορὰ, ὅπερ ἐστιν ὀδμή. καὶ τὸ ὑποφέρειν καὶ ἀνθυποφέρειν, καὶ ἡ ἐξ αὐτῶν ἐν λόγοις ὑποφορὰ καὶ ἀνθυποφορά. καὶ τὸ ὑπερφέρειν καὶ ὑπερφέρεσθαι, καὶ ὁ ἐξ αὐτῶν ὑπερφερὴς τόπῳ ἴσως ἢ ἐνδοξότητι. καὶ τοιαῦτα μὲν ὡς ἐν βραχεῖ φάναι τὰ ἐκ τοῦ φέρω καὶ τῶν ἐξ αὐτοῦ.

Ἐλάσσων. ὁ βραχύτερος, ἀπὸ τοῦ ἐλαχὺς ἐλαχύτερος ἐλαχίων, καὶ ὁ τρίτος τύπος τῶν συγκριτικῶν ἐλάσσων, ὡς βραδὺς βραδύτερὸς βραδίων βράσσων. τὸ δὲ ἐλαχὺς παρὰ τὸ ἐλῶ τὸ ἀφαιρῶ, ἵν' ὁ ἀφαιρεθεὶς, καὶ ἐκ τούτου μειωθείς.

Ἐλαφηβολιών. μὴν Ἀθηναίων, ἀπὸ τῶν ἐλάφων ὑπονομασθεὶς, αἳ τῷ μηνὶ ἐθύοντο τῇ ἐλαφηβόλῳ Ἀρτέμιδι. 50b

Ἔλδομαι. ἐπιθυμῶ, παρὰ τὸ θέλω, τροπῇ τοῦ θ τραπέντος εἰς δ̄ κατὰ Μακεδόνας, καὶ ὑπερθέσεως γενομένης, οἷον θέλω δέλω ἔλδω ἔλδομαι, καὶ ἀπὸ τοῦ ἐθέλω ἐδέλω καὶ ὑπερθέσει ἐέλδω καὶ ἐέλδομαι.

Ἐλείψασκον. λείπω λείψω ἔλειψα ἔλειψαν, πλεονασμῷ ἐλείψασκον.

Ἐλέλικτο. ἀνέσφικτο. ἑλίσσω ἑλίξω, ἥλιχα ἥλιγμαι ἡλίγμην καὶ ἑληλίγμην ἐλήλιξο καὶ ἐλήλικτο, καὶ συστολῇ τοῦ η̄ εἰς ε ἐλέλικτο.

Ἐλέλιξεν. ἐκίνησεν, ἔσεισε. ἀπὸ τοῦ ἐλελίττω, ὅπερ ἀπὸ τοῦ ἑλίσσω, ὁ μέλλων ἐλελίξω, ἐλέλιξα. μέγαν δ' ἐλέλιξεν Ὄλυμπον. σημαίνει καὶ τὸ ἐπιστραφῆναι, ὡς τὸ,

τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.

ἀντὶ ἐπιστραφείς.

Ἐλεφήρατο. ἐλεφαίρω ἐλεφαρῶ ἐλέφηρα, ἐλεφηράμην ἐλεφήρω ἐλεφήρατο. σημαίνει δὲ κυρίως τὸ ταῖς ἐλπίσιν ἀπατᾶσθαι καὶ βλάπτεσθαι. παρὰ τὸ ἔλπω γίνεται ἐλπαίρω, τροπῇ τοῦ π̄ εἰς φ̄ καὶ πλεονασμῷ τοῦ ε ἐλεφαίρω. δύναται δὲ παρὰ τὸν ἐλέφαντα τὸ ζῶον εἶναι. βλαπτικὸν γὰρ τὸ ζῶον.

Ἔλεψεν. ἐκάθηρε. παρὰ τὸ λέπτω λέψω ἔλεψα.

Ἐληλουθώς. ἐληλυθὼς, καὶ πλεονασμῷ τοῦ ō ἐληλουθώς.

Ἐλήλατο. ἐλάω ἐλῶ ἐλάσω, ἤλακα καὶ ἐλήλακα, ἤλαμαι καὶ ἐλήλαμαι, ἠλάμην καὶ ἐληλάμην, ἤλατο καὶ ἐλήλατο.

Ἔλκεο. ἀπὸ τοῦ ἕλκω ἕλκομαι εἱλκόμην εἵλκου, τὸ προστακτικὸν ἕλκου καὶ κατὰ διάλυσιν ἕλκεο.

Ἐλοχήσατο. λοχῶ λοχήσω. τὸ δὲ λοχῶ ἐκ τοῦ λέχος. ἔστι δὲ προλοχίζω.

Ἔλπεο. ἀπὸ τοῦ ἕλπω ἕλπομαι ἠλπόμην ἤλπου, ἕλπου τὸ προστακτικὸν καὶ κατὰ διάλυσιν ἔλπεο.

Ἔλσαι τὸ συνελάσαι κατὰ συγκοπήν. ἐλάσαι γάρ ἐστιν.

Ἐλύσθη. εἱλύσθη, καθάπερ πύσθη, οἱ μὲν παρὰ τὸ ἑλεύθω ἐλεύσθη ἢ ἐλύσθη, οἱ δὲ παρὰ τὸ εἱλῶ εἱλύω εἱλύσθη καὶ ἐλύσθη, ὅ ἐστι συνεστράφη.

51 a Ἔλσας ἀντὶ τοῦ ἐλάσας, κρούσας, πλήξας.

Ἐλόωσι χρόνος ἐστὶν ἐνεστὼς ἀντὶ μέλλοντος τοῦ ἐλάσουσι.

Ἐλαύνειν διαλέκτοις τρισί. Βοιωτῶν μὲν γὰρ τὸ ἐλάω διὰ τοῦ ᾱ, Αἰολέων δὲ τὸ προστιθέναι τῷ ᾱ τὸ ῡ. ἐλαύω γὰρ λέγουσιν. ἡ δὲ πρόθεσις τοῦ ν Δωριεῖς, καὶ τὸ θύω θύνω.

Ἐλελιξάμενος. ἐπιστραφείς. μετοχὴ ἐκ τοῦ ἐλελίσσω. τοῦτο ἐκ τοῦ εἱλῶ καὶ συστρέφω, καὶ κατὰ παραγωγὴν εἱλίσσω, καὶ ἀφαιρέσει καὶ συστολῇ τοῦ ῑ ἑλίσσω καὶ δασύνεται, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐλελίσσω ἐλέλιξα ἐλελιξάμην ἐλελιξάμενος.

Ἐλίσσω. ὁ μέλλων ἑλίξω καὶ κατὰ ἀναδιπλασιασμὸν ἐλελίξω, ὁ ἀόριστος ἐλέλιξα.

Ἐλοῦμεν ἀττικὸν ἀπὸ τοῦ ἑλούομεν κατὰ συγκοπήν ἐστι. καὶ τὰ ἄλλα δὲ τούτου καὶ παθητικὰ καὶ πληθυντικὰ κατὰ συγκοπὴν γράφεται.

Ἐμεῖο. ξητητέον εἰς τὸ εἶο. ἰστέον δὲ ὅτι τὸ ἐμεῖο καὶ σεῖο καὶ εἶο ἀπὸ γενικῆς τῶν πρωτοτύπων ἀντωνυμιῶν, ὡς εἴρηται, γινόμενα ἐν τῇ εἰς εο διαλύσει προσλαμβάνουσι τὸ ι καὶ διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ δὲ τῆς γενικῆς τῶν παραγώγων ἀντωνυμιῶν γινόμενα, ὧν ἡ εὐθεῖα εἰς ος ἐστιν, ἐμὸς, σὸς, διὰ τοῦ οιο προφέρονται, ὡς τὸ σοφὸς σοφοῦ σοφοῖο.

Ἔμμεναι. εἶναι. ἰστέον ὅτι ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων τοῦ ἀορίστου εἰώθασιν οἱ Δωριεῖς ἐπεντιθέναι τὸ με, καὶ εἰ μὲν εὑρεθῶσιν ἐν τῇ παραληγούσῃ δύο φωνήεντα, ἀποβάλλειν τὸ δεύτερον, οἷον δοῦναι δόμεναι, θεῖναι θέμεναι, οὕτως εἶναι ἔμμεναι, εἰ δὲ ἓν φωνῆεν εὑρεθῇ, φυλάττειν αὐτὸ, στῆναι στήμεναι.

Ἐμπεφυῖα. ἰσχυρῶς κρατοῦσα, οἷον, ὡς ἔχετ' ἐμπεφυῖα. φύω φύσω τὸ προσπελάζω, πέφυκα πεφυκὼς, ἀποβολῇ τοῦ συμφώνου πεφυὼς, τὸ θηλυκὸν πεφυῖα καὶ ἐν συγκοπῇ πεφυῖα.

Ἐμπλήγδην δὲ κατὰ τοὺς παλαιοὺς τὸ ἀκρίτως παρὰ τὸ ἐμπελάζειν, ἤγουν ἐμπλήσσειν, ἤτοι ἐμπλήττειν ὅπως ἂν τύχοι τοῖς πράγμασι. καὶ ἄλλως δὲ ἐμπλήγδην τὸ δίκην ἐμπλήκτου τινός. ἔμπληκτος δὲ ὁ ἄστατος καὶ οἱονεὶ ἔσω πεπληγμένος, καὶ οὐ κατὰ φύσιν φρονῶν, ὥσπερ ἔκπληκτος ὁ ἔξωθεν πεπληγμένος κατὰ τοὺς ἐμβροντήτους καὶ ἐκπεπαταγμένους, καὶ ἔκθαμβος κατὰ τὴν κοινῶς λεγομένην ἔκπληξιν. ὁ μέντοι παραπλὴξ ποτὲ μὲν τὸν ἔμπληκτον δηλοῖ, ποτὲ δὲ τὸν παράμουσον καὶ ἀπαίδευτον ὡς εἰπεῖν ἀπῳδὸν, καθὰ καὶ παρὰ τῷ κωμικῷ κεῖται. τοῦ δὲ πει- 51b

νήμεναι οὔτε ἡ προφορὰ ξηλωτὴ, οὔτε ἡ τοῦ θέματος εὕρεσις. τοῦ μὲν γὰρ πεινήμεναι προϋπάρχει τὸ πεινεῖναι. αὐτοῦ δὲ θέμα τὸ πείνημι ἢ τὸ πειναίνω ἐκ τοῦ πεινῶ, ἀπόθετα καὶ αὐτὰ τῇ ποιήσει, καθὰ καὶ τὸ πένθημι ἢ πεθαίνω, ἐξ οὗ τὸ πενθήμεναι ἄκριτον, καὶ τὸ θαυμαίνω, ἀφ' οὗ τὸ ἀέθλια θαυμανέοντες. εἰκὸς δὲ ἄλλως τὸ πεινήμεναι ἀκολούθως ἔχειν τῷ φιλήμεναι, νοήμεναι.

Ἔμμορε τὸ ἐκ μοίρας ἔτυχεν, ὡς ἐκ τοῦ μείρω μερῶ μέμορα κατὰ μέσον παρακείμενον, καὶ ὑπερθέσει ἔμμορα.

Ἐμπρησθείς. κανόνισον· πρήθω τὸ καίω, ὁ μέλλων πρήσω, ὁ παρακείμενος πέπρηκα, ὁ παθητικὸς πέπρησμαι, ὁ ἀόριστος ἐπρήσθην, ἡ μετοχὴ ὁ πρησθεὶς, καὶ μετὰ τῆς ἐν προθέσεως καὶ τροπῇ τοῦ ν̄ εἰς μ̄ ἐμπρησθεὶς ἀντὶ τοῦ καυθείς. εἰ δέ ἐστι πρησθεὶς διὰ τοῦ ῑ, ἤγουν κοπεὶς καὶ σχισθείς.

Ἔμμορε. ἐκ τοῦ μείρω τὸ μερίζω ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα, ὁ μέσος μέμορα καὶ καθ' ὑπερβιβασμὸν ἔμμορα ἔμμορας ἔμμορε. ἔστι δὲ καὶ ἀπὸ τοῦ μορῶ τὸ τυγχάνω, ὁ μέλλων μορήσω, ὁ παρακείμενος μεμόρηκα, ὁ μέσος μέμορα, ὁ δεύτερος ἀόριστος ἔμορον καὶ πλεονασμῷ τοῦ ἑτέραν μ̄ ἔμμορον ἔμμορες ἔμμορε.

Ἐνίετε. καὶ νήνσὶν ἐνίετε θεσπιδαὲς πῦρ. 52 a ἤγουν ἐμβάλλετε. ἵημι τὸ πέμπω καὶ δασύνεται, ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἱεὶς ἱέντος, τὸ προστακτικὸν ἵεθι ἱέτω, ἵετε καὶ ἐνίεται.

Ἐνέοχμεν. ἠλλοίωσεν, ἐκαινοποίησεν, ἄρτι εἰργάσατο, μετεποίησεν, ἀπὸ τοῦ νέος καὶ τοῦ ἔχω ἐχμὸς, ὡς βρέχω βρεχμὸς, γίνεται νεοχμὸς κατὰ συγκοπὴν ὁ ἄκοπος καὶ ἄπονος, ἐξ αὐτοῦ νεοχμῶ νεοχμήσω ἐνεόχμησα, ὁ δεύτερος ἀόριστος ἐνέοχμον, ὡς ἔδουπον, ἔκτυπον, τὸ τρίτον ἐνέοχμεν.

Ἐνεθῆναι. ἐμβληθῆναι. ἵημι τὸ πέμπω καὶ ἐμβάλλω, καὶ συνθέσει ἐνίημι, ἐνήσω, ὁ παρακείμε-

νος ἐνεῖκα, ὁ παθητικὸς ἐνεῖμαι, ἐνείθην, ὃ καὶ ἐνέθην εὕρηται, ὡς ἀφέθην καὶ παρέθην, κατὰ ἀποβολὴν τοῦ ῑ, ἐνέθης ἐνέθη ἐνεθῆναι.

Ἐνέπειρον. πείρω ἔπειρον καὶ ἐνέπειρον.

Ἐνεπίσκημμαι καὶ ἐνεπισκήψασθαι, καὶ ἐγγύης κατάβολον καταδικασθέντων τινῶν, δημεύεσθαι τούτους ἐκέλευον πότε καὶ πόσον ἀργύριον ἐδάνεισαν, ὅταν ἐλέγετο ἐνεπίσκημμαι καὶ ἐνεπισκήψασθαι. εἰ μέντοι γε παρίστων ἐγγυητὰς τοῦ μὴ ἂν διαψεύσασθαι τοῦ δανεισθέντος οἱ δανείσαντες, τοῦτο ἐγγύης κατάβολον ἔλεγον. ἐξῆν δὲ τῇ γυναικὶ πρότερον τὰ ὀφειλόμενα προῖκα ζητεῖν, καὶ τῷ δανειστῇ τὸ ὀφείλημα ἀποδεικνύντες ὃ ἔλεγον ἐπελάμβανον τὰ ὀφειλόμενα, ἐκαλεῖτο γοῦν τοῦτο ἐνεπισκήψασθαι.

Ἐναίρειν τὸ φονεύειν, παρὰ τὸν Ἄρην τὸν πόλεμον γίνεται ἐναίρω. παράγεται γὰρ αὐτῷ τὸ ἐνυάλιον εἶναι.

Ἔνεσαν. πεντήκοντα ἔνεσαν θάλαμοι, ἀντὶ ὑπῆρχον. εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς εἶν, τὸ πληθυντικὸν ἔμεν ἔτε ἔσαν καὶ ἔεσαν, οἱ δὲ ἦμεν ἦτε ἦσαν, συστολῇ τοῦ η εἰς ε ἔσαν.

Ἐνετῆσι κατὰ στῆθος περονᾶτο σημαίνει ταῖς περόναις, καὶ ἔστιν ἡ ἐνετὴ τῆς ἐνετῆς. γίνεται δὲ παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἶμαι εἶσαι εἶται, ἕται καὶ ἑτὴ ὄνομα θηλυκὸν καὶ ἀνετή. ἐκ τοῦ ἕται καὶ ἄνε- 52b τος καὶ ἀφετός.

Ἐνεῖεν. ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω, ὁ δεύτερος ἄόριστος ἧον ἧες ἧε, τὸ ν ἐφελκυστικὸν τοῦ ε καὶ ῑ.

Ἐκεινοσὶ, ὠδὶ, δευρὶ, νυνί. τὸ δὲ οἱονεὶ, ὡσπερεὶ γράφεται διὰ διφθόγγου καὶ οὐκ ἀντίκειται. διάφορα γὰρ μέρη εἰσὶν, ἔστι γὰρ ἐπίῤῥημα τὸ ως καὶ τὸ ει σύνδεσμος συναπτικὸς καὶ τὸ περ σύνδεσμος παραπληρωματικός. τὸ δὲ οἱονεὶ τὸ οἷον ὄνομα

καὶ ῑ̈ει σύνδεσμος συναπτικός. ἰστέον δὲ ὅτι φησὶν ὁ τεχνικὸς ἔθος ἔχουσιν αἱ λέξεις αἱ εἰς σύμφωνον λήγουσαι ἢ τὸ φωνῆεν τρέπειν εἰς ῑ, οἷον ἐνθάδε ἐνθαδί, ὧδε ὧδί, δεῦρο δευρί, ἢ τὸ ῑ προσλαμβάνουσι κατὰ διάστασιν, οἷον αὖτη αὐτηί, τούτου τουτού.

Ἔνθ' εἴην. ἔω τὸ ὑπάρχω, ὁ μέσος παρακείμενος ἦα, καὶ ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦε, καὶ ἐπειδὴ τὸ ἦε φιλεῖ τὸ ν̄ ἦεν, ἐν συναιρέσει τοῦ ε̄ καὶ η̄ εἰς τὸ αὐτὸ η̄ ἦν. τοῦτο γοῦν τετραχῶς ἔλεγον ἦν καὶ ἦεν, ὅπερ ὑπέρθεσει τοῦ ε̄ ἔην γίνεται, ὡς τὸ, φοξὸς ἔην κεφαλήν. καὶ εἴην, οἷον, ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος φρεσὶ πευκαλίμῃσι νοήσει ἔνθ' εἴην.

Ἔνθους κατὰ συναλοιφὴν ἔνθεος καὶ ἔνθους, ὁ ἐνθουσιαζόμενος.

Ἐνίπτω. ἐπιπλήσσω, λοιδορῶ. παρὰ τὸ ἐνέπω τὸ λέγω κατ' ἐπένθεσιν τοῦ τ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ. τὸ γὰρ ε̄ ἡνίκα πλεονάζει, σύμφωνον τρέπεται εἰς ῑ.

Ἔνισπε σημαίνει τὸ ἔλεγεν. ἀπὸ τοῦ ἐνέπω τοῦ σημαίνοντος τὸ λέγω πλεονασμῷ τοῦ σ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ ἐνίσπω, ἐξ οὗ καὶ ῥῆμα παράγωγον ἐνισπῶ ἐνισπήσω, ὁ ἀόριστος δεύτερος ἤνισπον, καὶ κατὰ συστολὴν ἔνισπον, ὡς ἤλαυνε. σὺ δέ μοι νημερτὲς ἔνισπε. καὶ ὡς σχῶ ἴσχον, οὕτως σπῶ ἵσπον, καὶ ὥσπερ παρὰ τὸ ἔσχες σχὲς, οὕτως καὶ ἵσπον ἵσπες ἵσπε καὶ ἔνισπε.

Ἐνίσσω τὸ ἐπιπλήσσω, ἐνίξω, καὶ ἐνισσέμεν ἐκπάγλως ἐπέεσσιν.

53a Ἐννεσίῃσιν. Ὅμηρος, τῷ σ' ὀΐω τάδε πάσχειν ἐννεσίῃσιν. ἔστι δὲ ἡ ἐννεσία, καὶ γίνεται ἀπὸ τοῦ ἵημι τὸ πέμπω.

Ἐντροπαλιζόμενος. ἐπιστρεφόμενος συνεχῶς. ὥσπερ φέρω φορῶ παράγωγον, φέβω φοβῶ, ἀφ' οὗ οὐδὲ φέβοντο, βρέμω βρομῶ, σταθμῷ ἐνὶ βρομέουσι, οὕτως τρέπω τροπῶ, καὶ ἑτέρα παραγωγὴ

ὡς κομῶ κομίζω, αἰτῶ αἰτίζω, οὕτως καὶ τροπῶ τροπίζω, καὶ προσελθούσης τῆς αλ συλλαβῆς τροπαλίζω,

ἐντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων.

τὸ δὲ τροπαλίζω διὰ τῆς εν προθέσεως εἴρηται, πρὶν δ' οὔτι μετετροπαλίζεο φεύγων. τοιαῦτα δέ ἐστι ῥήματα ἀπὸ τῶν εἰς ης ὀνομάτων εἰς ζω παραγόμενα πλεονασμῷ τῆς αλ συλλαβῆς, πύκτης πυκτίζω πυκταλίζω, καὶ ἀπὸ τοῦ πυκτεύω πυκταλεύω.

Ἐννῆμαρ. κἂν παρὰ τὸ ἡμέρα συνετέθη ὄνομα, οὐκ ἔστιν ὄνομα, ἀλλ' εἰς ἐπιῤῥήματος σύνταξιν μετήχθη, καὶ ἄκλιτόν ἐστιν. καὶ σημαίνει χρόνον τινὰ ἢ καιρόν. τοιοῦτόν ἐστι καὶ τὸ ἐξῆμαρ, αὐτῆμαρ, πανδῆμαρ. δεῖ γινώσκειν ὅτι οὐδὲν τῶν εἰς αρ συντιθεμένων διὰ τοῦ ι γράφεται. τὸ δὲ ἦμαρ ἀεὶ μετὰ ἀκλίτων τάττεται ἐνῆμαρ. ἐχρῆν δὲ αὐτὸ προπαροξύνεσθαι ὡς παρ' οὐδὲν συγκείμενον, ἐπεὶ ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις. οὐδὲν γὰρ τῶν εἰς αρ συνθέτων οὐδέν ἐστι. δεῖ γινώσκειν ὅτι ὁ ποιητὴς εὐεπίφορον λέγει τὸν ἀριθμὸν, οἱ δ' ἐννέα πάντες ἀνέσταν. καὶ, ἐννέα δέ σφεας κήρυκες.

Ἔντο. οἷον, αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο. ἵημι τὸ πέμπω, ἥσω, ὁ ἀόριστος ἧσα, ὁ β' ἧν, ὁ μέσος ἔμην ἕσο ἕτο, τὸ τρίτον τῶν πληθυντικῶν ἕντο.

Ἐνώμα. νωμῶ, ἐνώμαον ἐνώμων ἐνώμαες ἐνώμας ἐνώμαε ἐνώμα.

Ἐνῶρτο. ἔστιν ὄῤῥω, ὁ μέλλων ὀρῶ, αἰολικῶς ὄρσω, ὁ παρακείμενος ὦρκα ὦρμαι, ὥρμην ὦρσο ὦρτο ἢ ἐνῶρτο.

Ἐνεῖκαι, ὃ ἐστιν ἐνεγκαι, κοινὸς πρῶτος 53b ἀόριστος ὁ ἤνεγκα, καὶ ποιητικῶς ὁ ἐνεῖκαι. δεύτερος δὲ ἀόριστος τοῦ ἐνεῖκαι οὐκ ἔστιν ἐν χρήσει. ἀντ' ἐκείνου ἐστὶ τὸ ἐνεγκεῖν.

Ἐνέγκαι. κανόνισον· ἐνέγκω, ὁ μέλλων ἐνέγξω, ὁ ἀόριστος ἤνεγξα ἄχρηστος, ἀντ' αὐτοῦ δὲ λέγομεν ἤνεγκα, ὁ δεύτερος ἤνεγκον.

Ἐνηθῆναι. ἐνίημι τὸ ἐμβάλλω, ὁ μέλλων ἐνήσω, ὁ παρακείμενος ἐνῆκα, ὁ παθητικὸς ἐνῆμαι, ὁ δεύτερος ἀόριστος ἐνήθην ἐνήθης ἐνήθη καὶ τὸ ἀπαρέμφατον ἐνηθῆναι.

Ἐνῆεν. ἔω ἐνεστὼς ἄχρηστος, ἀφ' οὗ παρατατικὸς ἔον ἦον, ἀπὸ τοῦ ἦον τὸ ἦεν ἐπὶ τρίτου καὶ μετὰ τῆς ἐν ἐνῆεν.

Ἐνεῖκε καὶ τὸ ἐνείκατο καὶ τὰ τοιαῦτα δίχα μὲν προθέσεως ἐπὶ τοῦ φέρειν καὶ κομίζειν λέγεται, μετὰ δὲ προθέσεως γίνονταί τινες ἐν τούτοις διαφοραὶ, οἷον συνενεγκεῖν μὲν λέγεται τὸ λυσιτελεῖν, συνδιενεγκεῖν δὲ τὸ συνδιαβαστάσαι φορτίον ἢ καὶ φροντίδα τινά. διενεγκεῖν δὲ τὸ διαφέρειν. περιενεγκεῖν δὲ τὸ κύκλῳ ἀγαγεῖν. μετενεγκεῖν δὲ τὸ μετακομίσαι. παρενεγκεῖν δὲ τὸ παραγαγεῖν. τὸ δ' αὐτὸ καὶ ἀπαγαγεῖν. ὑπενεγκεῖν δὲ τὸ ὑπομεῖναι. ὑπερενεγκεῖν δὲ τὸ ὑπερτερῆσαι καὶ ὕπερθεν φέρεσθαι. εἰσενεγκεῖν δὲ τὸ ἔσω ἀγαγεῖν, οὗ ἀνάπαλιν τὸ ἐξενεγκεῖν. τὸ μέντοι ἀνενεγκεῖν ἔχει πλείω τινὰ διατριβήν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν καὶ τὸ ἀναβῆναι, δηλοῖ τὸ, εἰς τὸ Κωρύκιον ἀνενείκαντο, ἦγουν ἀνέβησαν, καὶ τὸ, ἐς Σπάρτην ἀνενείκαντο, καὶ αὐτοὶ ἀνέβησαν. ὅτι δὲ καὶ ἀντὶ τοῦ ἀνέπνευσε κεῖται κατὰ Παυσανίαν δηλοῖ Θεόπομπος εἰπὼν, ἄφωνος ἐγένετο, ἔπειτα μέντοι πάλιν ἀνηνέχθη. καὶ Ἡρόδοτος, ἐκπλαγεὶς δὲ τούτοισιν ἐπὶ χρόνον ἄφθογγος ἦν, μόγις δέ κοτε ἀνενεχθεὶς εἶπε. καὶ πάλιν, ἀνενεγκάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίας, κατὰ ταυτὸν τῷ, μνησάμενος δ' ἀνενείκατο φώνησέν τε. οἱονεὶ ἀνέπνευσε καὶ ἀνεστέναξε. λέγεται δέ τις ἐκ νόσου ἀνενεγκεῖν καὶ ἐκ παραφροσύνης, ὃ καὶ ἀναφέρειν

λέγεται. ἡ δὲ ἐν τῷ ἀνενείκατο ἀνηνέγκατο τροπὴ τοῦ ῑ εἰς ν̄ καὶ ἐπὶ ἄλλων ἐφάνη γίνεσθαι, ὡς καὶ ἐπὶ τοῦ αἰεὶ αἰὲν, φαεινὸν φαεννὸν, κλεεινὸν κλεεννὸν, οὕτω καὶ ἐπὶ τοῦ κτείνω κτέννω, οὗ χρῆσις καὶ ἐν τῷ, τὸ παλαιὸν λύκους ἀπέκτεννον ἐν τῇ Ἀττικῇ, καὶ νόμος ἦν λυκοκτονεῖν καὶ τῷ κτείναντι μὲν τέκνον λύκου τάλαντον δίδοσθαι, τῷ δὲ τέλειον δύο. 54a

Ἐξαθόω. οἷον, ἐξαθόω δ' ἐπὶ πόντον ἐβήσατο. παρὰ τὸ ἄθως ἄθω πλεονασμῷ τοῦ ο̄. 10

Ἐξακέσαιο. ἀκῶ ἀκέσω ἤκεσα ἠκεσάμην ἀκεσαίμην ἀκέσαιο καὶ ἐξακέσαιο.

Ἐξαμβλοῦν. διαφθείρειν, καὶ ἐξήμβλωσεν οὐ διέσωσεν κυρίως, οὐδὲ συνήνεγκεν. κυρίως δὲ ἐξαμβλωθρίδιον τὸ διεφθαρμένον. 15

Ἐξαργυρῶσαι καὶ ἐξαργυρίσαι. τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι. οὕτως Θουκυδίδης.

Ἐξαράσασθαι. τὸ ἐκτελέσαι τὰς ἀρὰς, τοῦτ' ἔστιν τὰς εὐχὰς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι. 20

Ἐξ ἑδέων. ἐκ τῶν καθεδρῶν, παρὰ τὸ ἕξω ἕδος οὐδέτερον, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἑδέων, ὡς τειχέων, βελέων.

Ἔξερον ἔντο. ἔστι τὸ ἔρον αἰτιατική. κλίνεται δὲ οὕτως, ὁ ἔρως τοῦ ἔρου. τὸ δὲ ἔντο σημαίνει τὸ ἐξέβαλον τῆς τροφῆς ἔρωτα, ὅ ἐστιν ἐκορέσθησαν. τὸ δὲ ἔντο γέγονεν ἀπὸ τοῦ ἵημι, ὃ σημαίνει τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ β' ἀόριστος ἦν, ὁ μέσος ἕμην ἕμου ἕμετο ἕμεθα ἕσθε ἕντο. 25

Ἐξώδηκα. οἰδῶ οἰδήσω, ᾤδηκα καὶ ἐξῴδηκα. 30

Ἔξει ἀντὶ τοῦ ἔξιθι, οἷον, ἔξει τὸν ἀσκάντην λαβών. ἔστιν εἶω τὸ πορεύομαι, παράγωγον εἶμι, ὁ παρατατικὸς εἶν εἷς εἶ, καὶ ὥσπερ ἀπὸ τοῦ εἴδω τρίτον πρόσωπον τοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικὸν, οὕτως καὶ ἀπὸ τῶν εἰς μι σχηματίζου- 35

σιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον, ἵστη μετὰ κῦμα, ἀντὶ τοῦ ἵσταθι. καὶ Ἀριστοφάνης,

καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πετρῶν.

ἀντὶ τοῦ ἐμπίπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει ἕξει προστακτικόν.

54b Ἐξειλῆσαι. τοῦτο λέγουσιν οἱ Ἀλεξανδρεῖς ἐπὶ τοῦ ἐκφυγεῖν. ἐοίκασι δὲ μεταφορικῶς λέγειν ἀπὸ τῶν ἐν τῷ παλαίειν ἀναλυόντων ἑαυτούς. λέγει γὰρ ὁ Πλάτων περὶ πάλης οὕτως· τὰ δὲ ἀπ' ὀρθῆς πάλης ἐπ' αὐχένα καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως μετὰ φιλονεικίας τε καὶ καταστάσεως διαπονούμενα.

Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους. ἐκ τοῦ ἕρπω ἕρψω εἵρψα.

Ἐξελάσαιμι. ῥῆμα εὐκτικὸν ἐκ τοῦ ἐλῶ ἐλάσω, ἐκ τούτου τὸ ἐλαύνω καὶ τὸ ἔλημι.

Ἐξέμεν. τὸ ἔμεν δασύνεται. ἐκ γὰρ τοῦ ἵημι ἐστιν. ὁ β' ἀόριστος ἦν, τὸ πληθυντικὸν ἕμεν, τὸ ἀπαρέμφατον ἕμεναι καὶ ἀποκοπῇ ἕμεν καὶ ἐξέμεν. ἢ ἐκ τοῦ ἦν εἶς ἔντος ἔναι, καὶ πλεονασμῷ τῆς μὲ δωρικῶς ἕμεναι καὶ ἀποκοπῇ ἕμεν καὶ ἐξέμεν, οἷον, μὴ δ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς. ἤγουν ἐκπέμψαι.

Ἔξω. πάντα τὰ ἀπὸ προθέσεως ἀρχόμενα ἐπιῤῥήματα διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ἀνὰ ἄνω, κατὰ κάτω, εἰς εἴσω. οὕτως καὶ ἐξ ἔξω, καὶ πρὸς πρόσω. ὁμοίως καὶ τὰ εἰς ω ἀπὸ ἐπιῤῥημάτων γινόμενα διὰ τοῦ ω εἰσὶν, οἷον ἐγγὺς ἐγγυτέρω, ἔξω ἐξωτέρω.

Ἐξετάζω. ὥσπερ παρὰ μάταιον γίνεται ματαιάζω, οὕτως καὶ παρὰ τὸ ἑτεὸν τὸ ἀληθὲς ἑτεάζω τὸ τὴν ἀλήθειαν ἐρευνῶ καὶ ἐμφαίνω. καὶ ἀποβολῇ τοῦ ε ἑτάζω.

Ἐξερέβευς ὅ ἐστι σκότους. ἐρέβεος καὶ δωρικῶς ἐρέβευς.

Ἐξέτρω. ἐβλάβη, ἐξεκόπη ἡ κύησις, παρὰ τὸ τρῶ τὸ κόπτω, ὅθεν τὸ τρῶσαι τὸ σιδήρῳ τέμνειν καὶ κόπτειν. δηλοῖ δὲ καὶ τὸ βλάπτω, οἶνός σε τρώσει μελιηδής. τὸ δὲ παράγωγον αὐτοῦ τρώω. παρὰ τὸ τρῶ δὲ παράγωγον τρῶμι καὶ παρῳχημένος ἔτρων καὶ ἐξέτρων, ὡς ἔδων.

Ἐξομόσασθαι. οἱ μαρτύρησιν τισὶν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἰ μὴ μετὰ ταῦτα μὴ ἕλοιντο καταμαρτυρεῖν ὤμνυον μηδὲν ἐπίστασθαι.

Ἐξοιχνεῦσιν. ἐξίασιν. οἴχω οἰχνῶ οἰχνοῦσι καὶ ἐξοιχνεῦσιν. 55a

Ἐξώκειλε. παρὰ τὸ ἔξω τοῦ κέλλειν εἶναι. κέλλειν δὲ ἐστι τὸ εἰς τοὔμπροσθεν ἰέναι. ἐξ οὗ καὶ κέλευθος ἡ ὁδός. ὀκέλλω ὀκελῶ ὤκειλα ὤκειλε καὶ ἐξώκειλεν.

Ἐξώρουσεν. ἐξόρμησεν. παρὰ τὸ ὀρῶ, ὃ σημαίνει ὁρμῶ.

Ἐξώκειλα. ὀκέλλω, ὁ μέλλων ὀκελῶ, ὁ ἀόριστος ὤκειλα, καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξώκειλα.

Ἐξελεινόμενοι. δίκην εἰσάγουσιν πρὸς τοὺς ἐξελαύνοντας, ἢ οὐκ ἐῶντας ἐμβατεύειν. καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται. εἴρηται ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστι κωλύειν καὶ ἀπελαύνειν.

Ἐξελεῖν καὶ ἐξελέσθαι παρὰ τῷ ποιητῇ τὸ ἐπιλέξασθαι καὶ δοῦναί τι ὡς ἐξαίρετον. αἱρεῖν γὰρ καὶ ἑλεῖν ἐπὶ τῆς αὐτῆς ἐννοίας λαμβάνονται, ὅθεν καὶ συνθέτως ἐξαιρεῖν καὶ ἐξελεῖν ταῦτα νοοῦνται.

Ἐξηξάτην ἀντὶ τοῦ ἐξώρμησαν παρ' Ἀριστοφάνει ἐν Πλούτῳ,

ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ ναοῦ.

κανονίζεται οὕτως· ἄΐσσω τὸ ὁρμῶ, ὁ μέλλων ἄΐξω, ὁ ἀόριστος ἤϊξα καὶ κράσει ἦξα, ὁ μέσος ἠξάμην, τὸ τρίτον τῶν δυϊκῶν ἠξάτην καὶ ἐξηξάτην.

Ἔοιγμεν. ἐοίκαμεν, κατὰ συγκοπὴν καὶ τροπὴν ἔοιγμεν, ὡς δεδοίκαμεν δέδοιγμεν.

Ἔοικα. εἴκω τὸ ὁμοιῶ, εἴξω εἶκα οἶκα καὶ ἔοικα καὶ ἐοικώς.

Ἐόλητο. τὸ ἐκεκίνητο καὶ ἐτετάρακτο. γράφεται καὶ διὰ τῆς ει διφθόγγου. ἡ μὲν ἂρ ὡς ἐόλητο δνόον μελεδήμασι κόρη. οὕτως ὁ Ἀπολλώνιος.

Ἔοργα. παρὰ τὸ ῥέζω ῥέξω ῥέρεχα καὶ ὑπερθέσει ἔῤῥεχα, ὡς ῥίπτω ῥίψω ῥέριφα ἔῤῥιφα ἔῤῥιμαι, καὶ ὁ μέσος παρακείμενος ἔῤῥογα, ἀποβολῇ τοῦ ἑνὸς ῥ ἔρογα, καὶ ἐν ὑπερβιβασμῷ ἔοργα. ἢ ῥέρεχα ὁ παρακείμενος, ὁ μέσος ῥέρογα, ἀποβολῇ τοῦ πρώτου ῥ καὶ μεταθέσει ἔοργα. τούτου ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ἠώργειν. ἀλλ' οὐδέποτε λέξις Ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἐν ἀρχῇ ἑπομένου τοῦ ο, χωρὶς 55b εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον. ἐν διφθόγγῳ εἶπεν διὰ τὸ, ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμένεα Κρονίωνα. κατὰ διάλεκτον εἶπεν, ἐπειδὴ οἱ Αἰολεῖς τὴν ἠῶ λέγουσιν ἠόα. ὡς οὖν τὸ ἐώκει ἐκ τοῦ ἔοικα, οὕτως ἐκ τοῦ ἔοργα τὸ ἐώργει.

Ἔολπα καὶ ἐώλπειν. ἔλπω, ἔλψω, ὁ παρακείμενος ἦλφα, ὁ μέσος ἦλπα καὶ τροπῇ τοῦ η εἰς ε καὶ πλεονασμῷ τοῦ ο ἔολπα. τούτου ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ἠόλπειν, ἀλλ' ἔστιν ἐώλπειν, ἐπειδὴ καθ' ὑπερβιβασμὸν τοῦ χρόνου ἐγένετο, ὡς τὸ ἐώργειν.

Ἑορτή. παρὰ τὸ ἐπιθυμῶ γέγονεν ἑροτὴ καὶ ἑορτὴ, ἧς ἐρῶσι πάντες.

Ἑός. ὁ ἀγαθὸς, ἢ παρὰ τὸ ἐῶ τὸ σημαινόμενον τὸ κορεσθῆναι, ἀφ' οὗ τὸ θηλυκὸν ἑὴ, καὶ ὡς παρὰ ἵππος ἱππὺς, καὶ παρὰ τὸ ἑὸς ἑῦς καὶ κατ' ἔκτασιν ἠοὺς ἠέος, ὡς ἡδὺς ἡδέος, καὶ καθ' ὑπερβιβασμὸν ἑῆος.

Ἐοικυῖα. εἴκω τὸ ὁμοιῶ, εἴξω εἶχα, ὁ μέσος παρακείμενος οἶκα καὶ ἔοικα, ἀττικῶς ἐοικὼς ἐοικυῖα.

Ἐοίκεσαν ἰωνικόν ἐστι. τὸ μέντοι ἀττικὸν, ἤδη δὲ κοινὸν ἐώκεσαν.

Ἔοι, ὃ ἐστιν ὑπάρχοι, ἐκ τοῦ ἔον παρῆκται δευτέρου ἀορίστου, ἐξ οὗ ἐὼν ὁ ὑπάρχων.

Ἔοργεν. ἢ ἐκ τοῦ ἔργω, οὗ μέσος παρακείμενος ἔοργα, οὗ τρίτον τὸ ἔοργεν.

Ἐοργὼς, ἤγουν πεπρακὼς, ἀπὸ τοῦ ἔργω ἔοργα, ὡς ἔλπω ἔολπα.

Ἐπάλμενος. ἐφορμίσας, ἀπὸ τοῦ ἄλλω τὸ πηδῶ ἁλλόμενος, καὶ συγκοπῇ ἅλμενος, καὶ ψιλοῦται. τὰ γὰρ συγκοπτόμενα αἰολικῶς ψιλοῦνται, καὶ ἐν συνθέσει ἐπάλμενος.

Ἐπάγην. ἐκ τοῦ πήσσω τὸ πηγνύω, ὁ δεύτερος ἀόριστος ἔπαγον, τὸ παθητικὸν ἐπάγην.

Ἐπαῤῥησιάσατο. ἐκ τοῦ παῤῥησιάζω. τοῦτο παρὰ τὸ παῤῥησία. τοῦτο παρὰ τὸ ῥῆσις. καὶ παῤῥησία οἱονεὶ παντορησία τις οὖσα.

Ἐπάσαντο. ἐγεύσαντο. παρὰ τὸ πάτω, ὃ δὴ σημαίνει τὸ ἐσθίω, ἐξ οὗ πάτνη. φάτνη δὲ ἐν ᾗ ἐσθίουσι τὰ ἄλογα. ὁ μέλλων πατήσω, καὶ συγκοπῇ πάσω, καὶ τὰ λοιπὰ, ἢ παρὰ τὸ μάσσω, μασσήσω, ἐμάσσησα, συγκοπῇ ἔμασα ἐμάσαντο καὶ ἐπάσσαντο.

Ἐπασσύτερος. πυκνός ἐστιν. ἄσσον τὸ πλησίον καὶ ἐγγὺς, ἐξ αὐτοῦ ἀσσύτερος καὶ ἐπασσύτερος.

Ἐπαύρηαι. ἐπαυρῶ τὸ ἀπολαύω. ἀπὸ τοῦ αὔρω τὸ λαμβάνω καὶ ἐπέρω γίνεται αὔρω, ὡς παίω παύω, καὶ εἴρηται ἐν τῷ ἀπηύρων· καὶ ζήτητέον. ἐπαυρήσω, ὁ ἀόριστος δεύτερος ἐπηῦρον, ἐὰν ἐπαύρω, ἐὰν ἐπαύρωμαι, ἐὰν ἐπαύρηται ἰωνικῶς, ἀποβολῇ τοῦ τ γίνεται ἀπὸ τρίτου τὸ δεύτερον, ὡς κέλεται κέλεαι.

Ἐπάχνωσεν. ἐλύπησεν, ἔφθειρεν. ἢ μεταφορὰ ἀπὸ τῆς πάχνης τῆς φθειρούσης τὰ φυτὰ, παχνῶ παχνώσω, ἐπάχνωσα.

Ἐπεδίκασε καὶ ἐπεδικάσατο. Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασεν οἷον ἀντὶ τοῦ προέκρωε, τὸ δὲ ἐπεδικάσατο οἷον ἔπεισε τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπέξεσεν. οἷον,

δεινόν τι πῆμα Πριαμίδης ἐπέξεσεν.

ἤρθη καὶ ἠυξήθη, ἀπὸ μεταφορᾶς τοῦ ξέοντος ὕδατος ἐν τοῖς λέβησιν αἰρουμένου ἐν τῷ ξέειν.

Ἐπεκέκλετο. ἐπεκαλεῖτο.

Ἐπελήκεον. ἐπεψόφουν, ἐκρότουν. ἴσως ἀπὸ τοῦ ληκῶ.

Ἐπενήνοθε. τινὲς ἐπήνθη. ἔστι δὲ ἀντὶ τοῦ ὑπῆρχεν. εἰ γὰρ τὴν ἐψιλωμένην καὶ μαδῶσαν καὶ ὀλιγότριχον σημαίνει, πῶς ἂν ἁρμόσοιτο τὸ ἐπανθεῖν, ὃ σημαίνει τὸ δασύ, καὶ γίνεται ἐκ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω. ἔω ἔεθω, ὡς ῥέω ῥεῦθω, φλέγω φλεγεῦθω, νέμω νεμεῦθω, εἶτα κατὰ συναίρεσιν τῶν δύο εε εἰς η ἦθω, καὶ ἐν συνθέσει ἐνῆθω. τούτου ὁ μέσος παρακείμενος ἔνηθα, ὁ ἀττικὸς ἐνένηθα, καὶ ἐπειδὴ ὁ ἀττικὸς βραχεῖαν θέλει ἔχειν τὴν τρίτην ἀπὸ τέλους συλλαβήν, γίνεται μετάθεσις τοῦ ε εἰς η καὶ τοῦ η εἰς ε, καὶ γίνεται ἐνήνεθα, καὶ τροπῇ τοῦ ε εἰς ο ἐνήνοθα. ἢ οὕτως· ἔστιν ἀνθῶ, τούτου ἐντελὲς ἀνθέω, καὶ ὑπερθέσει τοῦ ε ἀνέθω, ὁ μέσος παρακείμενος ἤνοθα, καὶ μετὰ τῆς ἐν προθέσεως ἐνήνοθα. ἢ οὕτως· ἔστιν ἔθω, τὸ ἐξ ἔθους ἐπιμελοῦμαι. μετὰ τῆς ἐν ἐνέθω, ὁ μέσος παρακείμενος ἤνεθα, καὶ μετὰ τῆς ἐν προθέσεως ἐνήνεθα. καὶ οἱ Ἀττικοὶ τὸ ε τῶν παροχημένων τρέπουσιν εἰς ο, ὡς πέπεμφα πέπομφα, κέκλεφα κέκλοφα, καὶ γίνεται ἤνοθα καὶ ἐνήνοθα ἀττικῶς, ὅπερ ἄμεινον.

Ἐπέοικεν. εἴκω, ὁ μέσος παρακείμενος οἶκα καὶ ἔοικα καὶ ἀπέσικα.

Ἐπενήνεσαν. ἐπεσώρευον. ἐκ τοῦ νῶ.

Ἐπέντυεν. ἡτοίμαζεν, ἀπὸ τοῦ ἔντος, ὃ σημαίνει τὸ ὅπλον.

Ἐπέπλωκε. ἐπιπλόω, καὶ ὁ μέλλων ἐπιπλώσω, ὁ ἀόριστος ἐπέπλωσα ἐπέπλωσας καὶ ἀποκοπῇ ἐπέπλως.

Ἐπέπιθμεν. ἐκ τοῦ πείθω ὁ ἀόριστος ἔπιθον καὶ κατὰ ἀναδιπλασιασμὸν ἐπέπιθον, τὸ πρῶτον τῶν πληθυντικῶν ἐπεπίθομεν, καὶ συγκοπῇ ἐπέπιθμεν.

Ἐπερῴωσαντο. ἐσείσθησαν, ἐκινήθησαν. ἔστι ῥόω ῥῶ τὸ κινῶ καὶ σείω, ὁ μέλλων ῥώσω ἔῤῥωσα ἐῤῥωσάμην ἐῤῥώσαντο καὶ ἐπερῴωσαντο.

Ἐπεσκήψατο. ἐνεκάλεσε, ψευδομαρτυρεῖ. σπανιάκις δὲ καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φονέας. τὸ δὲ ἐνεργητικὸν τὸ ἐνέσκηψε ἀντὶ τοῦ ἐνετήλατο. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, οἷον ἐξορκίζω.

Ἐπέσσυται. ἔστι ῥῆμα σῶ, ὃ σημαίνει τὸ ὁρμῶ. ἐκ τούτου παράγωγον σέω καὶ σεύω, ὡς χῶ χέω καὶ χεύω, καὶ θῶ θέω καὶ θεύω. ὅθεν ἐπεσσεύοντο. ἐκ δὲ τοῦ σῶ ἑτέρα παραγωγὴ σύω, ὡς χῶ χύω, ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα σέσυμαι σέσυσαι σέσυται καὶ ἐν ὑπερβιασμῷ τοῦ ε ἔσσυται.

Ἔπεφνεν. ἔστι φνῶ καὶ παράγωγον φνέω καὶ συγκοπῇ φνῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν πεφνῶ πρώτης συζυγίας τῶν περισπωμένων. τινὲς δὲ παράγωγον αὐτὸ νομίζουσιν, ἀγνοοῦντες τὴν κλίσιν αὐτοῦ. οὐ γὰρ πέφνω ὁριστικῶς, ἀλλ' ὑποτακτικῶς ἔπεφνον ἐὰν πέφνω, ὡς ἔμαθον ἐὰν μάθω. ἢ φῶ ἐστι ῥῆμα, 57 a ἀφ' οὗ παράγεται τὸ φημὶ, ἐπὶ τοῦ ἀνιῶ, οὗ ὁ παθητικὸς παρακείμενος πέφαμαι πέφαται. ὡς οὖν ἀπὸ τοῦ ἵστημι ἵσταται στατὸς, οὕτως ἀπὸ τοῦ φημὶ φατὸς καὶ ἀρητὸς. ἐκ τούτου οὖν τοῦ φῶ παράγωγον φένω, οὗ ὁ δεύτερος ἀόριστος ἔφενον, διπλασιασμῷ ἐπέφενον, ὡς ἔπιθον ἐπέπιθον, συγκοπῇ ἔπεφνον. τὸ οὖν πέφνω ἐστὶν ἀπὸ τούτου, καὶ ζητεῖται διὰ τί οὐκ ὀξύνεται τούτου ἡ μετοχὴ, ὡς τὸ ἔφαγον φαγὼν, ἔπιον πιὼν, ἀλλὰ βαρύνεται, οἷον, χρειονά περ καταπέφνων. καὶ λέγεται ὅτι ὁ χαρακτὴρ ἐκώλυσεν. αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ μετ' ἐπιπλοκῆς συμφώνων ἢ βαρύνονται ἢ περισπῶνται, οὐδέ-

ποτε δὲ ὀξύνονται, οἷον τέμνων κάμνων, ὑμνῶν μεριμνῶν. τούτου χάριν ἐβαρύνθη τὸ πέφνων. ἄλλοι δὲ οὕτως λέγουσι. φῶ πρωτότυπον, παράγωγον φένω τὸ φονεύω, ὁ μέλλων φενῶ ἄχρηστος, ὁ παρακείμενος πέφαγκα, ὁ μέσος πέφονα, ὡς ἔκτονα, καὶ ἐξ αὐτοῦ ῥῆμα πεφόνω καὶ κατὰ συγκοπὴν τοῦ ō πέφνω, καὶ ἐκ τούτου τὸ ἔπεφνεν. εὕρηται δὲ καὶ οὕτως· φῶ τὸ φονεύω, ἀφ' οὗ παράγωγον φένω, τὸ αὐτὸ, ὁ ἀόριστος δεύτερος ἔφενον καὶ ἐπέφενον μετὰ τῆς προθέσεως, καὶ συγκοπῇ ἔπεφνον.

Ἐπέφραδον. ἀπὸ τοῦ φράζω φράσω ἔφρασα, ὁ δεύτερος ἀόριστος ἔφραδον καὶ ἐπέφραδον.

Ἐπηρμένος μετοχὴ, ὁ ἀρθεὶς, ἐκ τοῦ ἐπαίρω ἐπαρῶ, ὁ παρακείμενος ἐπῆρκα ἐπῆρμαι καὶ ἐπηρμένος.

Ἐπηλυγάσασθαι καὶ ἐπιλυγάζονται, ἐπισκιάζονται, ἐπικρύπτονται. λύγην γὰρ καλοῦσιν οἱ Ἀττικοὶ τὴν σκιὰν, ἢ τὴν σκοτίαν, τὴν καὶ ἠλύγην λεγομένην κατὰ πλεονασμὸν τοῦ η, ὡς μύω ἠμύω, βαιὸν ἠβαιόν. τινὲς δὲ ἀπὸ τῶν λυγῶν. διὰ γὰρ τούτων σχοίνους πλέκουσιν.

Ἐπίηρα τὴν μετ' ἐπικουρείας χάριν, ἐκ τοῦ ἐρῶ ἔρανον ἔρανα τὰ προσηνῆ καὶ κεχαρισμένα, ἐκτάσει ἤρανα, καὶ συγκοπῇ ἤρα καὶ συνθέσει ἐπίηρα.

57b Ἐπιθειάσας. ἐπιθαυμάσας, τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος, ἢ θεοὺς ἐπικαλεσάμενος, καὶ κατευξάμενος. ἀπὸ τοῦ ἐπί καὶ τοῦ θεάζειν. ἀπὸ τοῦ θέω ῥήματος γίνεται θεατής.

Ἐπίθημα. ἀνάθημα. ἀπὸ τοῦ θῶ θήσω. εἰ γὰρ ἦν ἀπὸ τοῦ τίθημι, θέμα ἂν ἦν.

Ἐπικρᾶναι. τῇ κεφαλῇ οἶμαι καταλέγειν, κατανεῦσαι. κραίνω κρανῶ, ἔκρηνα κρᾶναι.

Ἐπιλλίζουσι. διανεύουσιν. ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύοντας εἰλεῖν.

Ἐπιπτέσθαι. πετῶ καὶ κατὰ συγκοπὴν πτῶ, ὁ ἀόριστος ἔπτην, ὁ μέσος ἐπτάμην ἔπτασο ἔπτατο,

πτάσθαι καὶ τροπῇ τοῦ ᾱ εἰς ᾱ̄ πτέσθαι καὶ ἐπιπτέσθαι. τοῦ πτῆμι ὁ παρακείμενος πέπτακα καὶ πέπταμαι.

Ἐπισκύσαι. τὸ χαλεπῆναι. ἀπὸ τοῦ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας. ἐξ οὗ τὸ ἐπισκύζονται.

Ἐπισπεῖν καὶ ἐπίσπειν. πᾶς ἀόριστος μονοσύλλαβος εἰς ῶ λήγων ἐν τῇ συνθέσει τὸν αὐτὸν τόνον φυλάττει, ἐὰν ἐπιθῶ, ἐὰν προδῶ. τοῦτο δὲ, ἐὰν ἔχει παρακείμενος μετοχὴν εἰς σ̄ λήγουσαν ὀξύτονον, θεὶς καὶ δοὺς, καί τι ἐὰν εὐκτικὸν εἰς ην̄ λῆγον ἔχει καὶ καθαρεῦον, ὡς τὸ θοίην καὶ δοίην, καὶ ἀπαρέμφατον εἰς ναῑ, ὡς τὸ θεῖναι καὶ δοῦναι. ἀπὸ γοῦν τοῦ σπῶ τὸ ἐπίσπω οὐκ ἐφύλαξε τὸν αὐτὸν τόνον. Θάνατον καὶ πότμον ἐπίσπῃ. μετοχὴ γὰρ εἰς ν̄ λήγουσα παράκειται ὀξυνομένη ἡ σπῶν, καὶ εὐκτικὸν σποῖμι, καὶ ἀπαρέμφατον σπεῖν καὶ ἐπίσπειν. ἀναδίδωσι δὲ τὸν τόνον καὶ ἐπὶ δευτέρου ἀορίστου ἐπίσπωμεν, καὶ ὥσπερ ἐπὶ τοῦ ἐπισχεῖν, εἰ μὲν ἐκ τοῦ σχεῖν, τὸν αὐτὸν τόνον φυλάττει, εἰ δὲ ἐκ τοῦ ἴσχειν δισυλλάβου, παροξύνεται, οὕτω καὶ ἐπὶ τοῦ ἐπισπεῖν.

Ἐπίσταμαι. εἴδω τὸ γινώσκω, εἴσω, ῥῆμα παράγωγον ἰσάω ἰσῶ, καὶ ἕτερον εἰς μῑ ἵσημι, τὸ παθητικὸν ἵσαμαι, πλεονασμῷ τοῦ τ̄ ἵσταμαι. ἐφύλαξε δὲ τὸ π̄, ἐπειδὴ οἱ Ἴωνες ψιλωτικοί εἰσιν.

Ἐπιτέλλεο σημαίνει τὸ προστάσσω. τέλλομαι, ἐτελλόμην ἐτέλλου, τὸ προστακτικὸν τέλλου, καὶ κατὰ διάλυσιν τέλλεο καὶ ἐπιτέλλεο. 58 a

Ἐπιτεῖλαι καὶ ἐπίτειλον ἀντὶ προστάξαι καὶ πρόσταξον. Ἰώνων γὰρ ἴδιον τὸ τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν λαμβάνειν, ὡς τὸ ἀρκεῖσθαι παρ' ἑοῖσι, τῶν δ' ἀλλοτρίων ἀπέχεσθαι. ἀντὶ ἀρκοῦ καὶ ἀπέχου.

Ἐπιτετράφαται. ἰστέον ὅτι τὰ δισύλλαβα ῥήματα τῆς πρώτης συζυγίας τῶν βαρυτόνων τὰ τρέποντα τὸ ε̄ εἰς τὸ ο̄ κατὰ τὸν ἐνεργητικὸν παρακείμενον ἐν τῷ παθητικῷ παρακειμένῳ ἀναδέχεται τὴν

παραλήγουσαν τοῦ ἐνεστῶτος, οἷον λέγω λέλοχα λέλεγμαι, κλέπτω κέκλοφα κέκλεμμαι. εὑρέθη καὶ κέκλαμμαι. δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ ῥ μετ' ἐπιπλοκῆς συμφώνων. ἐκεῖνα γὰρ τρέπουσι τὴν παραλήγουσαν, ἤγουν τὸ ε̄ εἰς ᾱ, τρέφω τέτροφα τέτραμμαι τέτραπται, καὶ ἀκῶς τετράφαται, ὁ ὑπερσυντέλικος ἐτετράμμην ἐτέτραπτο, καὶ ἀκῶς τετράφατο καὶ ἐπιτετράφατο.

Ἔπλεο. ἐκ τοῦ πέλω καὶ ὑπερβιβασμῷ πλέω πλέομαι ἐπλεόμην ἔπλου καὶ κατὰ διάλυσιν ἰωνικὴν ἔπλεο. ἢ καὶ πέλω πέλομαι ἐπελόμην ἐπέλου, καὶ συγκοπῇ ἔπλου, διαλύσει ἔπλεο.

Ἔπληντο. ἔπληντ' ἀλλήλοισιν. ἐκ τοῦ πλῶ τοῦ σημαίνοντος τὸ πλησιάζω ὁ παρακείμενος πέπληκα, ὁ παθητικὸς πέπλημαι ἐπεπλήμην ἐπέπλην, καὶ ἀποβολῇ τοῦ πε̄ ἔπληντο.

Ἐποιχομένην. ἀντὶ τοῦ ἱστουργοῦσαν, ὑφαίνουσαν, οἴχω οἴχομαι οἰχόμενος οἰχομένη.

Ἐπυρακτεόν. πῦρ πυρὸς πυράζω πυρακτὸς καὶ πυρακτῶ ἐπυρακτεόν.

Ἐπῴχατο. ἀπὸ οἴγω οἴξω ᾠχα ᾠγμαι ᾴγμην καὶ ἐπῴγμην, τὸ τρίτον ᾠκτο καὶ ἀκῶς ᾴχατο καὶ ἐπῴχατο, ἀντὶ τοῦ κεκλιμέναι ἦσαν.

Ἐπέχραον. ἀντὶ τοῦ ἐν χρῷ ἐγένοντο, ἐπέπεσον, ἐβάρυναν. ἐκ τούτου δὲ καὶ τὸ χραῦσαι πλεονασμῷ τοῦ ῡ. ἤδη δὲ καὶ ὁ ζαχρηὴς ἐκ τούτου, καὶ παρ' Ἡροδότῳ τὸ ἐνέχραεν ἐς τὸ πρόσωπον τὸ σκῆπτρον. ἤγουν ἔπληξε τῷ σκήπτρῳ. 58 b

Ἐπήρετμοι. οἱ ἕτοιμοι ἐρέσσειν, καὶ ἐπ' αὐτοῖς ὄντες ἐρετμοῖς, καὶ ἀττικῶς εἰπεῖν ἐπίκωποι.

Ἐπενήνοθεν. εἰς μὲν γραφὴν πεζὴν παντὴ ἐστὶν ἀσυντελὲς, σημαίνει δὲ τὸ ἐπέθεεν καὶ ἐπέτρεχεν. ὥσπερ δέ φασι ἀπὸ τοῦ ἄχος ῥέειν ποταμὸς ἐν Ἅιδου ἀχρέων καὶ κατὰ μετάθεσιν τοῦ ε̄ ἀχέρων, οὕτω καὶ τὸ θέω τὸ τρέχω ὑπερβιβασθὲν καὶ γενόμενον

ἔθω, πεπολημε τὸ ἐπενήνοθεν, ὅπερ ἐστι μέσου παρακειμένου. ἔστι γὰρ ἔθω καὶ μετὰ προθέσεως ἐνέθω, οὗ μέσος παρακείμενος ἦνοθα, ἐξ οὗ τὸ ἐπενήνοθα τῆς πρώτης ἐκείνης προθέσεως τῆς ἐν τῷ ἐνεστῶτι αὐξηθείσης, καὶ μὴ προσλογισθείσης εἰς πρόθεσιν, διὰ τὸ καθ' ἕξιν συγκεῖσθαι. ὁποῖόν τι καὶ ἐν τῷ καμμύω γέγονεν. ἐνταῦθα γὰρ ἡ κατὰ πρόθεσις καθ' ἕξιν σύγκειται καὶ οὐ λογίζεται παρακεῖσθαι τῷ μύω ῥήματι, καὶ διὰ τοῦτο λογιζόμενον ὡς ἁπλοῦν οὐκ αὐξάνει ἔσωθεν, ὡς τὰ ἐκ προθέσεως συγκείμενα ῥήματα, ἀλλὰ ἔξωθεν. οὐ γὰρ μόνον κατέμυσε φαμὲν, ἀλλὰ καὶ ἐκάμμυσεν. ἰστέον δὲ ὅτι καθ' ὁμοιότητα τοῦ ἦνοθα κανονίζεται καὶ τὸ ἔοργα καὶ ἔολπα καὶ αὐτὰ ὄντα μέσου παρακειμένου. τινὲς δὲ ἐπενήνοθέ φασι ἀντὶ τοῦ ἐπεκινεῖτο, ἀπὸ τοῦ ὄθω τὸ κινῶ κατὰ κλίσιν ὁμοίαν μέσου παρακειμένου.

Ἐπεσβόλον. τοῦτ' ἔστιν ἔπεσιν ὡς βέλεσι βάλλοντα. ὃ ταυτόν ἐστι τῷ βλάσφημον. βλάσφημος γὰρ ὁ βάλλων ταῖς φήμαις λέγεται.

Ἐπαινήσω. οὗ κοινότερον τὸ ἐπαινέσω καὶ παρ' Ἡσιόδῳ καὶ ἄλλοις.

Ἐπιπλώσας γίνεται μὲν ἐκ τοῦ πλώω δισυλλάβου ῥήματος. εὕρηται δὲ ἀλλαχοῦ ἐπιπλὼς κατ' ἀποκοπήν.

Ἐπισχερὼ ὀξυτονεῖται μὲν ὁμοίως τῷ ἰὼ, σημαίνει δὲ τὸ κατὰ τάξιν, καὶ ὡς εἰπεῖν εἰχομένως, καὶ ἐφεξῆς, καὶ συναπτῶς, καὶ συνεχῶς. ὡς γὰρ ἐκ τῆς 59 a ἐπὶ προθέσεως καὶ τοῦ ἔχω καὶ ἕξω γίνεται τὸ συνεχῶς καὶ τὸ ἐφεξῆς, οὕτως ἐκ τῆς αὐτῆς προθέσεως καὶ τοῦ σχέω σχῶ σύγκειται τὸ ἐπισχερώ. ποιητικὴ δὲ λέξις, κειμένη καὶ ἐν Ὀδυσσείᾳ καὶ παρὰ Θεοκρίτῳ καὶ ἑτέροις.

Ἔπτατο, ἔπτη καὶ ἔπτατο. πέτω, καὶ κατὰ παραγωγὴν τονικὴν πετῶ καὶ ποτῶ, ὡς ἔω τὸ καθέζομαι ἑῶ, πέλω πολῶ, φέβω φοβῶ, τύπτω τυπτῶ,

κύω κυῶ, ῥίπτω ῥιπτῶ, καὶ κατὰ συγκοπὴν πτῶ, παράγωγον πτῆμι πτήσω, ὁ δεύτερος ἀόριστος ἔπτην ἔπτης ἔπτη, ὁ μέσος δεύτερος ἀόριστος ἐπτάμην ἔπτασο ἔπτατο.

Ἐπέφνομεν, οὗπερ ὁ ἐνεστὼς τριπαθής. ἔπαθε γὰρ διπλασιασμὸν γενόμενος ἐκ δισυλλάβου τοῦ φαίνω πεφαίνω, καὶ ἀντιστοιχίαν δασέος ἀντὶ τοῦ πεφαίνω, καὶ συγκοπὴν ἐν τῷ πέφνω.

Ἐπέμυξάν φησι Ἀθηναίη τε καὶ Ἥρη καὶ τὰ ἑξῆς. ἔστι δὲ μύζειν τὸ μεμυκότων χειλέων ἦχον ἀποτελεῖν διὰ τῆς ῥινὸς, ἐξ οὗ καὶ ὁ μυκτήρ.

Ἐράσθην οὐκ ἀπὸ τοῦ ἐρῶ, ἦν γὰρ ἂν ἠράσθη, ὡς μακρᾶς οὔσης παραληγούσης, ἀλλ' ἀπὸ τοῦ ἔρω γίνεται ἐράζω ἐράσω ἤρακα ἤρασμαι ἤρασται, ἐραστὸς ἐρατὸς, ἐρατίζω, ἠράσθην, συστολῇ ἐράσθην.

Ἔρδω τὸ πράττω, ἢ τὸ τελῶ καὶ θύω, παρὰ τὸ ῥέξω καὶ καθ' ὑπερβιβασμὸν ἔρζω, καὶ τροπῇ δωρικῇ τοῦ ζ̄ εἰς δ̄, ἐπειδὴ ἐν ἁπλῇ λέξει σύμφωνον πρὸ τοῦ ζ̄ οὐχ ὁρᾶται, γίνεται ἔρδω. πρόσκειται ἐν ἁπλῇ λέξει διὰ τὸ ἐνζάξαι σύνθετον καὶ μελάνζοφος. ὁ μέλλων ἕρξω τῷ λόγῳ τοῦ ῥέξω, ἵνα φυλαχθῇ τὸ κεχρεωστημένον. ἐξ οὗ καὶ τὸ ἔρξω.

Ἐρεύω ἀπὸ τοῦ ἐρῶ τὸ λέγω ἐρέω, ἐπεκτάσει τοῦ ε̄ καὶ πλεονασμῷ τοῦ ῡ ἐρεύω, ὡς θέω θεύω. ἢ ῥῶ τὸ λέγω ῥέω, ὡς χῶ χέω καὶ πλεονασμῷ τοῦ ε̄ ἐρέω καὶ ἐρεύω.

Ἐρεύμενοι. Ἡσίοδος,

καί σε ἕολπα
γηθήσειν βιότοιο ἐρεύμενον ἔνδον ἐόντος.

ἀντὶ τοῦ μεταλαμβάνοντα τοῦ βιότου καὶ τῆς ζωῆς τοῦ ἐκτὸς ἔρας καὶ τῆς γῆς ἐν ἀποκειμένου ὑφαιρούμενοι τὰ λοιπαρὰ τῶν βοσκημάτων. αἱρῶ αἱροῦμαι αἱρούμενοι καὶ ἐρεύμενοι.

Ἐρέχθεον. οὕτως διὰ τοῦ ε̄ Ἀρίσταρχος καὶ φησὶ στεναγμοῦ τινὸς καὶ ποιᾶς φωνῆς ἔμφασιν δηλοῦν καὶ ἴσως παρὰ τὸ ἐρείκω ἐστί. τίθεται δὲ καὶ περὶ φωνῆς ἁπλῶς, οἷον, πολλοὶ μὲν βόες ἀργοὶ ἐρέχθεον. 59b

Ἐρέφω. κοσμῶ, στεφανῶ. οἱ μέν, ὅτι πρωτότυπον, οἱ δὲ ὅτι ἀπὸ τῆς ἔρας.

Ἐρέω σημαίνει δευτέρας μὲν βαρυτόνων τὸ ἀπαγγέλλω. ἀλλ' ἔκ τοι ἐρέω. περισπωμένως δὲ τὸ ἐρευνῶ ἢ ἀναζητῶ.

Ἐρηρέδαται. ἐρείδω ἐρείσω ἤρεισμαι ἤρεισται καὶ ἐρήρεισται, ἀκῶς ἐρηρέδαται. οἷον, λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται.

Ἐρήρειστο. ἤρμοστο καὶ ἐπέπηκτο. φυλάττει δὲ τὸ ρει διὰ διφθόγγου πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήριστο ἀντὶ τοῦ πεφιλονείκητο. ἔστι δὲ ὅτε καὶ οἱ Δωριεῖς φυλάττουσι τὴν φύσει μακρὰν ἐν τοῖς ἀττικοῖς παρακειμένοις καὶ ὑπερσυντελίκοις, οἷον ὁρῶ ὅρηκα, ὁ ἀττικὸς ὁρώρηκα, καὶ φυλάττεται παρὰ Δωριεῦσιν ἡ φύσει μακρὰ, ὥρηκα ὁρώρηκα.

Ἐρηρότηκα. ἐρωτῶ ἐρωτήσω ἠρώτηκα, καὶ ἀττικὸς παρακείμενος ἐρηρότηκα, ὁ ὑπερσυντέλικος ἠρωτήκειν καὶ ἠρηροτήκειν, καὶ συστολῇ. λέγει γὰρ ὁ κανὼν, καὶ τὴν τρίτην συλλαβὴν συστέλλει.

Ἐριδμαίνοντα. ἐρεθίζοντα. ἐκ τοῦ ἐρίζω ἐρίδω, τροπῇ τοῦ ξ̄ εἰς δ̄, κατὰ παραγωγὴν ἐριδαίνω καὶ πλεονασμῷ τοῦ μ ἐριδμαίνω. ἕτεροι δὲ ἀπὸ τοῦ ἐρίζω ἐρίσω ἔρισμα, καὶ τροπῇ αἰολικῇ τοῦ σ εἰς δ̄, ὡς ὀσμὴ ὀδμὴ, ἴσμεν ἴδμεν, ἔριδμα, καὶ ὡς πῆμα πημαίνω, δεῖμα δειμαίνω, ὄνομα ὀνομαίνω, οὕτως ἔριδμα ἐριδμαίνω.

Ἐριθεύων. δουλεύων, καὶ ἐρίθεια ἡ δούλη. ἀπὸ τοῦ ἐριθεύω. τοῦτο ἀπὸ τοῦ ἔριθος. τοῦτο δὲ σημαίνει τὸν ἐργάτην καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια. καὶ τὸ μὲν παρὰ τὴν ἔραν τὴν γῆν ἔρα-

θος καὶ τροπῇ ἔριθος, τὸ δὲ ἀπὸ τοῦ ἔριον νήθειν. δύο δέ ἐστιν εἰς θος ὀνόματα βαρύτονα παραληγόμενα τῷ ι, ἔριθος καὶ λέκιθος, ὁ τοῦ ὠοῦ κρόκος. πρόσκειται βαρύτονα διὰ τὸ κάκιθος, ὁ κακιζόμενος.
60a ἐκ τούτου γίνεται ἐριθεύς. ἔστι δὲ εἶδος ὀρνέου.

Ἐῤῥάδαται. ἐκ τοῦ ῥῶ ῥάζω, ὁ μέσος παρακείμενος ἔῤῥαδα ἐῤῥάσται καὶ ἐῤῥάδται, ὡς πέφρασται καὶ πεφράδαται.

Ἔροιτο. ἔρω τὸ ἐρωτῶ, ἔρομαι ἐροίμην ἔροιτο.
10 Ἐῤῥίγησιν. ἀπὸ τοῦ ῥιγῶ ἐῤῥίγουν ἐῤῥίγηκα ἔῤῥιγα, καὶ κατὰ μεταπλασμὸν ἐῤῥίγω, ὡς δέδοικα δεδοίκω, τὸ ὑποτακτικὸν ἐὰν ἐῤῥίγω ἐὰν ἐῤῥίγῃς ἐὰν ἐῤῥίγῃσιν, ἀντὶ τοῦ εὐλαβηθῇ, φοβηθῇ.

Ἐῤῥέθη. ῥῶ ῥήσω ῥέρηκα, ὑπερθέσει ἔῤῥηκα,
15ὡς ἔῤῥιφα, ἔῤῥημαι ἐῤῥήθην, συστολῇ τοῦ η εἰς ε ἐῤῥέθην, ὡς εὕρομαι εὑρέθη. τὸ δὲ ἐρήθη ἀπὸ τοῦ ἐρῶ ἐρήσω εἴρηκα εἴρημαι εἰρήθην, καὶ ἀποβολῇ τοῦ ι ἐρήθην.

Ἔρυξαν. ἐκώλυσαν. παρὰ τὸ ἐρύκω ἐρύξω ἔρυξα.
20 Ἔρχατο καὶ ἔρχαται ἀπὸ τοῦ εἴργω, ἐξ οὗ καὶ εἰρκτή, ὁ παρακείμενος εἶρχα εἶργμαι εἶρκται. οἱ δὲ Ἴωνες τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθέσει τοῦ ἅ ποιοῦσι τὸ τρίτον ἕρχαται. ὡσαύτως καὶ ὁ ὑπερσυντέλικος εἶρκτο καὶ ἕρχατο ἐκθλίψει τοῦ ι.

25 Ἐρωτῷο. ἐρωτάω ἐρωτῶ ἐρωτάομαι ἐρωτῶμαι, ἐρωταοίμην ἐρωτῴμην ἐρωτάοιο ἐρωτῷο.

Ἐρετμὰ μεταπέπλασται. ἔστι γὰρ ἀρσενικὸν ἐρετμός.

Ἐρχατόωντό κοινῶς παρῆκται. προϋπάρχει μὲν
30γὰρ ἰωνικὸν τὸ ἔρχατο. ἐξ αὐτοῦ δὲ γίνεται τὸ ἐρχατῶ, οὐκ ἀγαθὸν ῥῆμα εἰς πεζὴν γραφήν.

Ἔρξαν. γίνεται ἀπὸ τοῦ ἔργω, οὐ τοῦ δηλοῦντος τὸ πράττω, ὃ καὶ τρισυλλάβως ἐέργω λέγεται, ὡς δῆλον ἐκ τοῦ ἔεργα, ἀλλὰ τοῦ σημαίνοντος τὸ
35ἐγκλείω, ἀφ' οὗ τὸ εἴργω τὸ παρ' Ἀττικοῖς δασυνό-

μενον, ὡς ἡ εἰρκτὴ δηλοῖ, καὶ ἡ κάθειρξις. λέγει δὲ καὶ κλανὴν συῶν τὴν ὀξεῖαν βοήν. ἔφθη δὲ καὶ ἐπὶ κυνῶν τὴν λέξιν εἰπεῖν.

Ἐρέων ἔστι μὲν ποιητικὴ λέξις καὶ ἀπ' αὐτοῦ γίνεται τὸ ἐρευνᾶν ἐπενθέσει τοῦ υ καὶ τοῦ ν̄, ὁποίῳ τρόπῳ καὶ τὸ ἐλαύνειν ἀπὸ τοῦ ἐλάειν γίνεται.

Ἐρωεῖν ποτὲ μὲν τὸ ὁρμᾶν καὶ προπηδᾶν, ποτὲ δὲ καὶ ἀναποδίζειν.

Ἔρδειν. προϋπάρχει τὸ ῥέζειν, ἐξ οὗ μεταθέσει καὶ τροπῇ συνήθει τοῦ ζ̄ εἰς δ̄ ἔρδειν γίνεται. Δωριεῖς δὲ ῥέδειν τὸ τοιοῦτό φασιν.

Ἔρειο ἀντὶ τοῦ ἐρώτησον, ἐκ τοῦ ἔρεο πλεονασμῷ τοῦ ῑ διὰ τὸ μέτρον. φησὶ γὰρ, ἀλλ' ἴθι Πάτροκλε Νέστορ' ἔρειο ὅντινα τοῦτον ἄγει.

Ἐρμείω. δῆλον ἤδη ἐν ἄλλοις γέγονεν ὡς ἀπὸ τετρασυλλάβου ἰωνικῶς συνεκόπη τοῦ ἑρμείω, καθὰ καὶ τὸ βορέω ἐκ τοῦ βορέεω δι' εὐφωνίαν.

Ἐρηρέδαται ἰωνικόν ἐστι. γίνεται μὲν συνήθως ἀπὸ τοῦ ἐρήρεισται τρίτου προσώπου τῶν ἐνικῶν ἀποβολῇ δύο στοιχείων καὶ προσθέσει τῆς δᾱ συλλαβῆς. ὃ γίνεται καὶ ἐπὶ τοῦ ὠνόμασται ὠνομάδαται καὶ τῶν τοιούτων.

Ἐρήσομαι. κανόνισον ἐρέω ἐρῶ, ὁ μέλλων ἐρήσω, καὶ ὁ μέσος μέλλων ἐρήσομαι ἐρήσῃ ἐρήσεται.

Ἐρασθείς. κανόνισον· ἐράζω ἄχρηστον, ἐράω δὲ ἐρῶ εὔχρηστον, ὁ μέλλων ἐράσω ἄχρηστον ἀπὸ τοῦ ἐράζω ἐνεστῶτος, ὁ παρακείμενος ἤρακα, ὁ παθητικὸς ἤρασμαι, ὁ ἀόριστος ἠράσθην, ἡ μετοχὴ ὁ ἐρασθείς.

Ἐῤῥίφθων. κανόνισον· ῥίπτω, ὁ μέλλων ῥίψω, ὁ παρακείμενος ἔῤῥιφα, ὁ παθητικὸς ἔῤῥιμαι, ὁ ὑπερσυντέλικος ἐῤῥίμην ἔῤῥιψο καὶ τὸ προστακτικὸν ἔῤῥιψο ἐῤῥίφθω.

Ἔῤῥωσο. κανόνισον· ῥώω ῥῶ, ὁ μέλλων ῥώσω, ὁ παρακείμενος ἔῤῥωκα, ὁ παθητικὸς ἔῤῥωμαι ἔῤῥω-

σαι ἐῤῥωται, ὁ ὑπερσυντέλικος ἐῤῥώμην ἐῤῥωσο, καὶ τὸ προστακτικὸν ἐῤῥωσο ἤγουν ὑγιῶς ἔχε, καὶ τὸ ἐῤῥῶσθαι ἀπὸ τῶν αὐτῶν θεμάτων κανονίζεται. ὁ παθητικὸς ἐῤῥωμαι ἐῤῥωσαι ἐῤῥωται, καὶ τὸ ἀπαρέμφατον ἐῤῥῶσθαι.

Ἐρείομεν. ἀπὸ τοῦ περισπωμένου τοῦ ἐρῶ. ἔχει δὲ παρένθεσιν τοῦ ῑ. ἐρέομεν γὰρ τὸ ἐντελὲς καὶ παρενθέσει τοῦ ῑ ἐρείομεν.

61 a *Ἐῤῥωγα.* κανόνισον· ῥήσσω, ὁ μέλλων ῥήξω, ὁ μέσος παρακείμενος ἔῤῥηγα, καὶ τροπῇ τοῦ η εἰς ω ἐῤῥωγα.

Ἐῤῥω καὶ ἔῤῥε. ἔῤῥω τὸ φθείρω. ἀπὸ τοῦ φθείρω γίνεται φθέῤῥω ἀποβολῇ τοῦ ῑ καὶ πλεονασμῷ τοῦ ῥ. ἢ ἐκ τοῦ φθείρω αἰολικῶς φθέῤῥω. οἱ γὰρ Αἰολεῖς πρὸς τὰ ἐπαγόμενα ἀμετάβολα τρέπουσι τὸ ῑ, ὡς εἴπομεν πολλάκις. ἀφαιρέσει οὖν τῶν καταρχὰς δύο συμφώνων ἔῤῥω, ἡ μετοχὴ ἐῤῥών, ἐνθάδε ἔῤῥον, ὁ παρατατικὸς ἔῤῥον, καὶ τὸ προστακτικὸν ἔῤῥε.

Ἔρξεις ἀντὶ τοῦ πράξεις. ῥέζω, καὶ κατὰ μετάθεσιν τῶν γραμμάτων ἔρξω, τὸ δεύτερον ἔρξεις.

Ἔραμαι χρηστόν ἐστι καὶ Ἀττικοῖς, ὡς ἀπὸ τοῦ ἐράω ἐρῶ. καὶ οὐκ ἄν τις ῥᾴον δείξῃ ὅτι κατὰ τὸ ἵσταμαι γίνεται. τὸ δὲ καὶ μεγλυκὺς ἵμερος αἱρεῖ περιφραστικόν ἐστι τοῦ ἔραμαι.

Ἐῤῥιγε μέσος παρακείμενός ἐστι τοῦ ῥιγέω ῥίγῶ ῥιγήσω ἐῤῥίγηκα. δῆλον δὲ πολλαχόθεν ὡς ἐπὶ μὲν βαρυτόνων ἰσοσυλλαβεῖ ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ, οἷον λέλειφα λέλοιβα, πέπεικα πέποιθα. ἀπὸ δὲ περισπωμένων μιᾷ φασι ἐνδεῖ ὁ μέσος τοῦ προτέρου, οἷον δουπῶ δεδούπηκα, οἷον δεδουπότος Οἰδιπόδαο. κτυπῶ ἐκτύπηκα ἔκτυπα, οἷον ἔκτυπε μητιέτα Ζεύς. τοῦτο δέ τινες τὸ ἔκτυπε καὶ δεύτερος ἀόριστος φασί. ἔστι γὰρ ἀληθῶς ὥσπερ ἔδουπον, οὕτω καὶ ἔκτυπον, κατὰ τὸ ἔχραισμον καὶ τὰ

ὅμοια. ἀντιβολῆσαι δὲ καὶ νῦν τὸ συναντῆσαι καὶ ἄντην τὰς ὄψεις βαλεῖν. παρὰ μέντοι τοῖς μεθ' Ὅμηρον ἱκέσιος ἡ λέξις καὶ σημαίνει τὸ ἄντην καὶ πρὸ ποδῶν τινος ῥίπτεσθαι.

Ἐρηρέδαται. ἔστι μὲν ἰωνικὸν, γίνεται δὲ ἀπὸ τοῦ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται, ἀποβολῇ τοῦ σ τῆς ληγούσης καὶ συστολῇ τῆς παραληγούσης ἐρήρεται, καὶ πλεονασμῷ τῆς δα συλλαβῆς ἐρηρέδαται. ὁμοίως τὸ ὠνόμασται ὠνόμαται ὠνομάδαται. τοιαῦτα δὲ καὶ τὸ πέφρασται πεφράδαται, καὶ ἐσκεύασται ἐσκευάδαται παρ' Ἡροδότῳ, οἷον, τὰ προπύλαια ἐσκευάδαται. εἰ δὲ γράφεται ἐληλέδαται, οὕτω γὰρ ἔχουσι τῶν ἀντιγράφων τινὰ, καὶ λέγεται καὶ ἐπὶ 61b τοιούτου σημαινομένου ἡ λέξις, ὡς τὸ καὶ ἕρκος ἐλήλαται, καὶ ἀμφὶ δὲ τεῖχος ἥλασε πόλει, ἐκ τοῦ ἐλήλαται τηνικαῦτα γίνεται παθητικοῦ παρακειμένου τὸ ἐληλέδαται ἐπεντεθέντων πρὸ τοῦ α τῆς παραληγούσης τοῦ ε καὶ τοῦ δ, ὁμοίως τῷ ἀκηχέδαται ἤγουν λελύπηνται καὶ τοῖς τοιούτοις. ἰστέον δὲ ὅτι τὸ μὲν ἐρηρέδαται θεματικὸν ἔχει τὸ δ ἐκ τοῦ ἐρείδω, ἐξῆς δὲ τὸ ὠνομάδαται, πεφράδαται, ἐσκευάδαται ἀπὸ συγγενείας ὥρμηνται τῆς τοῦ ξ πρὸς τὸ δ, ὡς ἀπὸ τοῦ ὀνομάζω, φράζω, σκευάζω. τῆς δὲ τοῦ ξ καὶ δ πρὸς ἄλληλα μεταχωρήσεως παραδείγματα μυρία, ὧν κατὰ τοὺς παλαιοὺς καὶ τὸ ὀζμὴ ὀδμὴ, ἴζμεν ἴδμεν δωρικῶς, φράζω ἀφραδὴς, ἀναλόγως δὲ καὶ ἀριφραδὴς τὸ ἐπίθετον καὶ Ἀριφράδης βαρυτόνως πρὸς διαστολὴν τὸ κύριον. ἔτι δὲ καὶ ἐρίζω ἐρίδω ἄχρηστον, ἀφ' οὗ ἐν χρήσει τὸ ἐριδμαίνω καὶ τὸ ἐριδαίνω, καὶ γυμνάζω γυμνάδω, καὶ διπλασιασμῷ αἰολικῷ καὶ δωρικῷ γυμνάδω.

γυμνάδομαί τε καὶ ποτὶ πυγὰν ἅλλομαι.

Ἔρχατο ἰωνικὸν καὶ αὐτὸ ἐκ τοῦ εἶρκτο τρίτου προσώπου ἰωνικοῦ, καθὰ καὶ εἰλίχατο ἐκ τοῦ εἴλικτο, οἷον εἰλίχατο.

Εἴργω. ὁ παθητικὸς παρακείμενος εἶργμαι, τὸ γ εἶρκται καὶ ἰωνικῶς ἕρκαται καὶ ἔρχαται. ὡσαύτως καὶ ὁ ὑπερσυντέλικος εἶρκτο καὶ ἰωνικῶς ἔρχατο.

Ἐρέρε καίριον ὂν δὶς ἐλέχθη κατὰ θυμικὴν διάθεσιν. ἑρμηνεύουσι δὲ αὐτὸ οἱ Ἀριστάρχειοι.

Ἑστηκώς. ἑστήκω ἑστήξω ἕστηχα ἕστηκα ἑστηκῶς, ἀποβολῇ τοῦ κ ἑστηώς. οἱ δὲ ἐκ τοῦ ἵστημι.

Ἑστόβεον. ἐλοιδόρουν, ὕβριζον, ἀπὸ τοῦ ἐστόμενον, τὸ διὰ στόματος λέγειν. στοβῶ γὰρ τὸ στομῶ τροπῇ τοῦ μ εἰς β.

Ἑστῶσα. κανόνισον· ἵστημι, μέλλων στήσω, παρακείμενος ἕστακα, ὁ μέσος ἕσταα. ἢ ἑστήκω ἑστήξω ἕστηχα, καὶ μέσος ἕστηκα ἑστηκῶς καὶ συγκοπῇ ἑστώς. ἢ μετοχὴ ἑσταώς, ἀφ' οὗ ἑσταυῖα, οὗ τὸ οὐδέτερον τὸ ἑσταὸς διὰ τοῦ ο μικροῦ, κατὰ κρᾶσιν δὲ ἑστώς, τὸ θηλυκὸν ἡ ἑστῶσα, τὸ οὐδέτερον διὰ τοῦ ω μεγάλου. αἱ γὰρ πάθος δεχόμεναι μετοχαὶ ποιοῦσι τὸ θηλυκὸν διὰ τοῦ ωσα, οἷον μεμῶσα, βεβῶσα, γεγῶσα, ἑστῶσα, τὸ δὲ οὐδέτερον διὰ τοῦ ω μεγάλου, οἷον μεμώς, βεβώς, γεγώς, ἑστώς. αἱ δὲ μὴ πάθος ἔχουσαι τὸ θηλυκὸν διὰ τοῦ υια ποιοῦσι, οἷον μεμαυῖα, τετυφυῖα, τὸ δὲ οὐδέτερον διὰ τοῦ ο μικροῦ, οἷον μεμαὸς καὶ τετυφός.

Ἔστω. ἔω τὸ ὑπάρχω παράγωγον ἐμὶ, τὸ πρῶτον τῶν πληθυντικῶν ἐμὲν, ὅπερ γίνεται κατὰ πλεονασμὸν τοῦ σ ἐσμέν. ἀπὸ τοῦ ἐμὲν τὸ προστακτικὸν ἔθι ἀναλόγως, ἐπειδὴ εἰς σ ὀξύτονος ἡ μετοχὴ καὶ διὰ τοῦ ντ κλίνεται, εἰς ἔντος, οἷον παῖδά τε ἔντα ἀντὶ ὄντα. πλεονασμῷ τοῦ σ ἴσθι. ἅμα γὰρ τῷ πλεονασμῷ τρέπουσι τὸ ε εἰς ι, οἷον ἔχω ἴσχω. τοῦτο τὸ ἴσθι κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ἀνελάβετο ε καὶ γέγονεν ἔστω, τὸ δυϊκὸν ἔστον ἔστων, τῷ δ' αὐτοὶ μάρτυροι ἔστων. ἕτεροι δὲ οὕτως. εἶμι εἶν εἰς ἔντος ἴθι ἔτω, ὅπερ τροπῇ τοῦ ε εἰς η γίνεται ἤτω. προσλαβὸν δὲ τὸ σ ἔστω καὶ ἤστω. οἱ

δὲ λοιπὸν οὕτως. ἔω ἔσω ἧκα ἄχρηστος, ἧμαι ἧμην ἧσο, τὸ προστακτικὸν ἔσο τὸ ὕπαρχε, τὸ τρίτον ἔτω καὶ πλεοναςμῷ ἔστω. οὐ καλῶς δέ. τὸ γὰρ γ̄ πρόσωπον παθητικοῦ προστακτικοῦ ἀπὸ τοῦ ὑπερσυντελίκου οὐ διὰ ψιλοῦ τοῦ τ̄, ἀλλὰ δασέος ἤγουν τοῦ θ̄ γράφεται.

Ἐστόν. ἄμφω δὲ ὑστέρω ἐστόν. τὸ δυϊκὸν ἐτὸν καὶ πλεοναςμῷ τοῦ σ̄ ἐστόν.

Ἔς. ἵημι τὸ πέμπω, ἧσω, ἧν, ὁ δεύτερος ἀόριστος, ἕς. σημειώσαι τὸ θὲς, δὸς, ἕς.

Ἐσάλευσεν. ἐκ τοῦ σάλος. τοῦτο δὲ καὶ ἐπὶ νεῶν λέγεται καὶ ἐπὶ ἀνθρώπων, ἐπὶ μὲν νεῶν, ὡς Δίων ἐν Ῥωμαϊκοῖς· ὀλίγα μὲν καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει. τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπεσάλευσαν. ἐπὶ δὲ ἀνθρώπων· ἐφ' ἑνὶ τῶν παίδων τὰς ἐλπίδας ἐσάλευεν.

Ἔσαν. τὼ οἱ ἔσαν κήρυκες. εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς εἶν, ἔμεν ἔτε ἔσαν.

Ἔσεαι. ἐκ τοῦ ἔσεται τρίτου προσώπου ἀποβολῇ τοῦ τ̄, μεταγομένου εἰς δεύτερον κατ' Ἴωνας. οἱ δὲ ἐκ τοῦ ἔσῃ, καὶ διαλύσει ἰωνικῇ τοῦ ῃ̄ εἰς ε̄ καὶ ᾱ, καὶ συναιρέσει τοῦ ᾱ καὶ τοῦ ῑ προσγεγραμμένου εἰς τὴν αι̯ δίφθογγον ἔσεαι.

Ἔσευα. ἐκ τοῦ σῶ τὸ ὁρμῶ γίνεται σέω παράγωγον καὶ πλεοναςμῷ τοῦ ῡ σεύω, ὁ ἀόριστος ἔσευσα, ἀποβολῇ τοῦ σ̄ ἔσευα, ὡς ἄλευα. ἀτρεκὲς αἷμ' ἔσευα βαλών. ὁ παθητικὸς ἐνεστὼς σεύομαι σεύονται.

Ἔσθω. παρὰ τὸ ἔδω ἐστός, ὡς βιβάζω βιβαστὸς, ἐγείρω ἐγερτὸς, καὶ ὡς ἀπὸ τοῦ βιβαστὸς βιβάσθω, καὶ ἐγερτὸς ἐγέρθω, οὕτως ἐστὸς ἔσθω.

Ἐσθῶ περισπώμενον ἐπὶ τοῦ ἐνδύομαι πρὸς ἀντιδιαστολὴν τοῦ σημαίνοντος τὸ ἐσθίω. γίνεται δὲ ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, ὁ μέλλων ἑσθήσω, ἡ ἔσθησις ἐσθήσεως. ἐν ἐσθήσεσι ἀσπαπτούσαις.

Ἐσκευωρῆσθαι. κατεστοχᾶσθαι, ἐπιβεβουλεῦσθαι, ἀπὸ τοῦ σκευωρῶ. τοῦτο ἀπὸ κεύθω, ὃ σημαίνει τὸ κρύπτω, πλεονάσμῳ τοῦ σ, ἐκβολῇ τοῦ θ.

Ἐσκίδναντο. σκιδνῶ τὸ διασκορπίζω, σκίδνημι δσκίδναμαι ἐσκιδνάμην ἐσκίδναντο.

Ἐσκορδισμένος. παροξυμένος. ἀπὸ τῶν σκορόδων. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν ἀλεκτρυόνων τῶν διὰ τὴν νόσον χριομένων σκόροδα.

Ἐσπαθημένος. πεπυκνωμένος. ἀπὸ τῶν κατα-10κρουσῶν σπαθῶν τὴν κρόκην, καὶ ἐσπάθα ἀντὶ ἐσπατάλα, ἔφθειρε τὰ οἰκεῖα.

Ἐσεῖται. ἔω ἔσω καὶ ἔσσω, ποιητικὸν, ἔσσομαι ἔσσεται καὶ ἐσεῖται ἐσεῖται δωρικῶς. οἱ γὰρ Δωριεῖς ἐκβολὴν ποιοῦντες τοῦ σ πλεονάζουσι τὸ ι καὶ περισπῶσιν, 15οἷον πλευσεῖται, ῥασεῖται, ἐσεῖται. οὗ οἱ ἐσεῖται ἄρκιον.

Ἔσσυται καὶ ἐσσυμένος ἀντὶ τοῦ ἐφορμεῖται, ἐπιθυμεῖ. φεῦγε μάλ' εἴ τοι θυμὸς ἐπέσσυται. ἐκ τοῦ σῶ τὸ ὁρμῶ παράγωγον σύω σύσω σέσυκα σέ-20συμαι σέσυται, καὶ ἐν ὑπερθέσει ἔσσυται, ἐξ οὗ καὶ τὸ ἐσσυμένος.

Ἔσταν. ἔστησαν, ὁ ἀόριστος δεύτερος κατὰ συγκοπὴν ἔσταν.

63a Ἔστασαν. τοῦτο μὲν δασύνεται, ὅτι ἐκ τοῦ 25ἐστήκεισάν ἐστι κατὰ συγκοπήν. τὸ δὲ τοὺς ἔστασαν υἷες Ἀχαιῶν ψιλοῦται, ἐπειδὴ ἀπὸ τοῦ ἔστησάν ἐστιν.

Ἐστιχόωντο. ἐκ τοῦ στίχω τὸ ἐν τάξει πορεύομαι γίνεται στίχος, καὶ ἐκ τούτου στιχῶ στιχήσω 30δευτέρας συζυγίας καὶ στιχίζω τὸ στίχους ποιῶ, καὶ λοιπὰ ἐκ τοῦ στιχῶ τοῦ σημαίνοντος τὸ πορεύομαι, ἐστίχαον, ὁ παθητικὸς ἐνεστὼς στιχάομαι στιχῶμαι, ἐστιχαόμην ἐστιχώμην, τὸ γ' τῶν πληθυντικῶν ἐστιχῶντο, πλεονασμῷ τοῦ ο ἐστιχόωντο. τὸ στίχω ἀπὸ 35τοῦ στίζω, ἀφ' οὗ καὶ στιγμή. ὁ μέλλων στίξω, ἔστιχα στιχῶ καὶ στίχος, στοιχεῖον.

Ἔστησα ψιλοῦται, διότι πέφυκεν ὁ ἀόριστος ἀποβάλλειν τὸ ε̄, οἷον ἔστησα στῆσα, καὶ διὰ τοῦτο τοῦ παρακειμένου δασυνομένου, ὁ ἀόριστος ψιλοῦται. ἢ ὅτι ὁ μὲν παρακείμενος ἐκ τοῦ ἑστήκω ὢν δασύνεται, ὁ δὲ ἀόριστος ἐκ τοῦ ἵστημι ψιλοῦται. προέρχεται γὰρ ἀποπίπτει τὸ ε̄.

Ἑστηκώς. ἑστήκω ἑστήξω ἕστηχα ἕστηκα ἑστηκώς, ἀποβολῇ τοῦ κ̄ ἑστηώς. οἱ δὲ ἐκ τοῦ ἵστημι.

Ἐσυνῆκεν ἀττικῶς κλίνεται ὡς τὸ παροινῶ πεπαρώνηκα καὶ ἐνοχλῶ ἠνώχληκα.

Ἐσφηκώμην. ἐσφιγμένου, ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ τὸ μέσον εἰσὶν ἐσφιγμένοι. ἔνθεν καὶ ὁ σφήν. καὶ Ὅμηρος, χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Ἔσφαξαν. ἐκ τοῦ φῶ τοῦ σημαίνοντος τὸ φονεύω γίνεται φάζω, ὡς βῶ βάζω, καὶ πλεονασμῷ τοῦ σ̄ σφάζω σφάξω.

Ἐσχατιόωντα. ἐσχατιόω ἐσχατιῶ ἐσχατιῶντα καὶ ἐσχατιόωντα. σημαίνει ἔσχατον ὄντα καὶ πεπλανημένον, καὶ παρὰ τὰ ἔσχατα μέρη διατρίβοντα. καὶ Ἐσχατιώντης λίμνη μετὰ ἰσθμὸν, ὅτι πολλοὶ ὢν ἀπὸ Θρᾴκης σὺν Εὐμόλπῳ στρατευσαμένων ἐν αὐτῇ λουσάμενοι ἀπέθανον, ὥσπερ ἐσχάτῳ λουτρῷ λουσάμενοι. ἢ ἀπὸ τῆς Ποσειδῶνος θυγατρὸς Ἐσχατιώτιδος, ἥτις ἐγκατῴκησε, Ποσειδῶνος αὐτῇ χρησαμένου.

Ἐσσὶ ποιητικὸν μέν ἐστι καὶ εἰς λογογραφίαν 63b οὐ χρήσιμον, παράγεται δὲ οὕτως. ἔστι ῥῆμα ἓω δηλοῦν ὕπαρξιν, ἐξ οὗ κατὰ παραγωγὴν τροπῇ τοῦ τέλους εἰς μι γίνεται ἐμὶ τὸ ὑπάρχω, ὃ προσλαβὸν τὸ ῑ γίνεται εἰμὶ, τὸ ὑπάρχω. ἐκ τούτου τοῦ ἐμὶ τροπῇ τῆς μι εἰς σ τῷ λόγῳ τῶν εἰς μι ἐνεστώτων γίνεται δεύτερον ἐς, καὶ ἐπεὶ οὐδέποτε ῥῆμα μονοσύλλαβον συστέλλεται χωρὶς τοῦ θὲς, δὸς, ἐς, ἀνάγκη ἐκταθῆναι τὸ ἐς, ὃ δηλοῖ τὸ ὑπάρχεις, καὶ γενέσθαι μακρὸν φύσει, ἢ θέσει. ἀλλὰ φύσει μακρὸν οὐκ ἔστι γενέσθαι. ἢ γὰρ τὸ ε̄ εἰς η̄ τραπήσεται, συνεμπίπτει τῷ

ῆς ἀντὶ τοῦ ἔφης, ἢ τὸ ῑ προσλήψεται καὶ γενήσεται εἷς, ἀλλὰ τοῦτο προκατελήφθη δεύτερον πρόσωπον εἶναι τοῦ εἶμι, ὃ δηλοῖ τὸ ἔρχομαι, ὡς τὸ, τίς, πόθεν εἷς ἀνδρῶν. ἀνάγκη οὖν, ἐπεὶ οὐ δύναται φύσει ἐκταθῆναι, γενέσθαι κἂν γοῦν θέσει μακρὸν, καὶ τοίνυν διπλασιαζομένου τοῦ σ̄ γίνεται τὸ ἐσσ. ἐπεὶ δὲ οὐδέποτε λέξις ἑλληνικὴ εἰς δύο σύμφωνα καταλήγει διὰ τὸ δυσεκφώνητον, πλεονάζει τοῦ ῑ καὶ γίνεται ἐσσὶ, καὶ οὕτως ἀναπληροῦται τὸ λεῖπον διὰ τῆς τοῦ ῑ ἐκτάσεως. ἔστι δὲ μονῆρες τὸ ῥῆμα. οὐδὲν γὰρ τῶν δευτέρων προσώπων εἰς ῑ λήγει, διὸ οὐδὲ ἐφελκυστικόν ποτε τοῦ ν̄ γίνεται, ὡς τὸ τίθησι καὶ δίδωσι καὶ τὰ ὅμοια.

Ἐστόν. δεύτερον δυϊκὸν, ὀξύνεται μὲν ἀκολούθως τῷ εἰμὶ ἐσσὶ καὶ τοῖς ἑξῆς, ἕως τοῦ τρίτου τῶν πληθυντικῶν. ἔχει δὲ τὸ ε̄ ἐν τῇ παραληγούσῃ ποιητικῶς τε καὶ ἄλλως αἰτιατικῶς, ἐξ ἀφορμῆς τοῦ ἐσσὶ καὶ ἐστὶ καὶ ἐσμὲν καὶ ἑξῆς, καὶ καινὸν οὐδὲν, εἴ γε καὶ τὸ ἦτην ἦγουν ὑπαρχέτην μετὰ τοῦ σ̄ ἐστὶν ἐν τῷ ἀδελφῷ ἦτην ἦγουν ἀδελφοὶ ὑπῆρχον.

Ἔστων ἢ ἐκ τοῦ ἔστωσαν συγκέκοπται ἢ ἐκ τοῦ ἔστω τρίτου ἑνικοῦ γέγονε προσλήψει τοῦ ν̄.

Ἔστω. κανόνισον· εἰμὶ τὸ ὑπάρχω καὶ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος, καὶ τὸ προστακτικὸν ἔσθι, τὸ γ' ἔτω, καὶ προσθήκῃ τοῦ σ̄ ἔστω καὶ ἔστωσαν τὸ τρίτον τῶν πληθυντικῶν, ὃ καὶ ἔστων γράφεται.

64 a Ἐσεῖται. ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω, ὁ μέσος μέλλων πρῶτος ἔσομαι ἔσῃ ἔσεται. οἱ δὲ Δωριεῖς ἐν τοῖς παθητικοῖς προστιθέασι τὸ ῑ καὶ περισπῶσι, πλεύσεται πλευσεῖται, ἔσεται ἐσεῖται.

Ἔσσο τὸ ἐνεδέδυσω. τὸ θέμα εἰμι, ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧμαι, ὁ ὑπερσυντέλικος ἥμην καὶ ἔμην ἰωνικῶς, τὸ δεύτερον ἔσο καὶ διπλασιασμῷ τοῦ σ̄ ἔσσο.

Ἔσβη. σβέω σβῶ ἔσβεσα, ὁ δεύτερος ἔσβον, ὁ παθητικὸς ἐσβήν ἔσβης ἔσβη.

Ἔστιν. ἡ παραγωγὴ οὕτω σκευωρεῖται τῷ τεχνικῷ. εἰμὶ τὸ ὑπάρχω, οὗ ἀκολούθως τροπῇ τῆς μι εἰς σι τὸ τρίτον εἰσὶ, κατὰ τὸ τίθημι τίθησι καὶ τροπῇ δωρικῇ τοῦ σ εἰς τ εἰτὶ, ἵνα τὴν πρὸς τὸ πληθυντικὸν συνέμπτωσιν ἀποφύγῃ, ἀποβολῇ δὲ τοῦ ι ἐτὶ καὶ προσθήκῃ τοῦ σ ἐστὶν, ἵνα ὀπωσοῦν ἡ παραλήγουσα μηκυνθῇ. τὰ γὰρ εἰς μι μακρᾷ θέλει παραλήγεσθαι ἐν τοῖς ἑνικοῖς. δύναται δὲ τὸ ἐστὶ καὶ ἀπὸ τοῦ ἐσσὶ δευτέρου προσώπου εἶναι, ἢ τροπῇ τοῦ δευτέρου σ εἰς τ, ἢ ἀπελεύσει μὲν ἐκείνου, ἀντενθέσει δὲ τοῦ τ.

Ἔσκε δοκοῦν κοινότερον ἀπὸ τοῦ ἔω ἔσω ἔσκω γίνεσθαι, Ἡρακλείδης ἄλλως σκευωρεῖ εἰπὼν οὕτως· ὥσπερ φιλῶ ἐφίλουν ἐφίλεις ἐφίλει καὶ ἐπὶ ἄλλων ὁμοίως, οὕτω καὶ ὦ οὖν εἶς εἶ, τὰ ὑπαρκτικά. τοῦτο δέ, φησι, πεποίηκε φανερὸν Ὅμηρος διὰ τοῦ ἔσκω δωρικοῦ ῥήματος. Δωριέων γὰρ τὰ εἰς ει δίφθογγον περατούμενα ἐν παρατατικῷ χρόνῳ ἐπὶ τρίτου προσώπου ἀπὸ κατὰ ἀφαίρεσιν τοῦ ι ἐκφερόντων, μετὰ προθέσεως τριῶν στοιχείων, οἷον ἐφίλει ἐφίλεσκεν, ἐνόει ἐνόεσκεν, οὕτω καὶ αὐτὸς ἀπὸ τοῦ προειρημένου εἶ ἔσκε φησὶ, ἀφελὼν τὸ ι καὶ τρία στοιχεῖα προσθεὶς, ἤγουν τὸ κ καὶ τὸ σ καὶ τὸ ε. καὶ οὕτω μὲν ὁ Ἡρακλείδης.

Ἔσκε. ὡς παρὰ τὸ ἔφερον φέρεσκον καὶ παρὰ τὸ ἔλεγον λέγεσκον, οὕτω παρὰ τὸ ἔω ἔσκον ἔσκε. τὸ δὲ ἔον ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω.

Ἑστηότα εὑρίσκεται γραφόμενον καὶ ἑστεότα, καὶ περὶ αὐτοῦ καὶ τῶν κατ' αὐτὸ Ἡρακλείδης γράφει ὡς αἱ ὁμοφωνίαι τῶν ῥημάτων διαλανθάνειν 64b ποιοῦσι καὶ θέματα καὶ κλίσεις, οἷον πολλάκις ἑνὸς παρατατικοῦ πολλοὶ ἐνεστῶτες εὑρίσκονται, ἑνὸς δὲ φημι ἐν φωνῇ μόνῃ νοουμένου, καὶ μὴ ἐν γραφῇ,

καὶ μᾶλλον εἰ καὶ πνεῦμα διάφορον εἴη αὐτῷ. τοῦ γοῦν εἶκα παρακειμένου δυσὶ πνεύμασι χρωμένου εἰσὶν ἐνεστῶτες, εἰ μὲν ψιλοῦται, ἕθω, οἷον, ἔθων Οἰνῆος ἀλωήν. αἴδω, οἷον, αἰδομένων δ' ἀνδρῶν. αἴθω τὸ καίω, αἴσθω, ἄδω, ἕδω τὸ ἐσθίω. δασυνομένου δὲ ἐνεστὼς ἂν γένοιτο ἥδω καὶ ἕξω καὶ ἕω, οὗ σύνθετον τὸ ἀφῆκα, καὶ ἥκω. ἔτι δὲ καὶ τὸ ἵημι, καὶ οὕτω μὲν παρακειμένου ἑνὸς πολλοὶ ἐνεστῶτες εὕρηνται, ἑνὸς δὲ αὖθις ἐνεστῶτος παρακείμενοι πολλοί, ὡς ἐπὶ τοῦ φιλῶ καὶ γηθῶ, ἐφ' ᾧ εἷς μὲν παρακείμενος ὁλόκληρος πεφίληκα, γεγήθηκα, οἷς, φησὶ, καὶ Ὅμηρος χρῆσθαι εἴωθεν ἐφ' ἑτέρων ῥημάτων, ὡς ὅτε ἐκ τοῦ τετύχηκα τετύχηκα λέγει, διὰ πρύσιον τετυχηώς. τέταρτος δέ φησι παρακείμενος τοῦ φιλῶ πεφίλεια, πρὸς ὃν Ὅμηρος ἔγραψε τὸ νεκύων κατατεθνειώτων, ἐκ τοῦ τέθνεια παρακειμένου. πέμπτος παρακείμενος ἐκ τοῦ πεφίλεια ὁ πεφίλεα δίχα τοῦ ι, οὗ πρὸς ἀκολουθίαν τὸ ἕστεότ' ἐν Ἀΐδαο, ἀπὸ τῆς ἑστεὼς φησὶ μετοχῆς τοῦ στῶ ῥήματος. πολλάκις δέ, φησι, ὑπαλλάττουσι καὶ ἕκτην διαφορὰν παρακειμένων ἐκ τοῦ ε εἰς τὸ α. τὸ γοῦν ἕστεα ἕσταα λέγουσιν, ἀφ' οὗ μετοχὴ ἑσταώς. τοῦτο δέ, φησι, ἢ μετάπτωσίς ἐστι τοῦ ε εἰς α ἰωνικῶς, ἢ τοῦ η εἰς α. κατὰ δὲ τὸ ἕσταα ἑσταὼς γίνεται καὶ δεδαώς ἐκ παρακειμένου τοῦ δέδαα. οὕτω δὲ καὶ βεβαώς καὶ μεμαὼς καὶ γεγαὼς καὶ ἄλλα. ἐν τούτοις δὲ ὁ αὐτὸς Ἡρακλείδης καὶ τὸ πεπαθυῖα διασαφῶν, ὅπερ ἐν τοῖς ἑξῆς που κεῖται παρ' Ὁμήρῳ, λέγει ὅτι τὰ ὑποτακτικὰ ὧν αἱ μετοχαὶ εἰς ων ὀξύτονοι, οἷον τύχω τυχὼν, εὕρω εὑρὼν, ὁμοίως τοῖς περισπωμένοις ὁριστικοῖς κατὰ τὸν παρακείμενον κλίνεται, οἷον τετύχηκα εὕρηκα, ἐξ ὧν μετοχαὶ τετυχηκὼς, εὑρηκώς. οὐκοῦν καὶ τοῦ πάθω παθὼν κίνησις ὁμοία, πεπάθηκα πεπαθηκὼς, θηλυκὸν πεπαθηκυῖα. ὥσπερ δὲ λεληκὼς λεληκὼς, γεγηθηκὼς γεγηθὼς ἰωνικῇ συγκοπῇ, οὕτω καὶ πεπαθηκὼς πεπαθὼς, οὗ θηλυκὸν πεπα-

θυΐα. σημειωσαι δὲ ἐν τοῖς προειρημένοις τὸ ἐν φωνῇ μόνῃ καὶ μὴ ἐν γραφῇ, ὃ δηλοῖ παρακείμενον φωνούμενον μὲν ἀκολουθίᾳ κλίσεως καὶ νοήσει μόνῃ, μὴ γραφόμενον δὲ, ὡς ἄχρηστον δηλαδὴ καὶ ἀνέξοιστον, ὡς Ἡρακλείδης φησί.

Ἐτελείετο. ἀπὸ τοῦ τελῶ τελείω, ὡς κιχῶ κιχείω, νικῶ νικείω, ἀπὸ ἐνεστῶτος. ἀπὸ δὲ μέλλοντος, δράσω δρασείω, ὄψω ὀψείω, τελέομαι ἐτελειόμην ἐτελείου ἐτελείετο. ἢ ἐκ τοῦ ἐτελεῖτο πλεονασμῷ τοῦ ε̄.

Ἐτετύφειν. δεῖ γινώσκειν ὅτι οἱ Ἴωνες τὴν τοῦ ὑπερσυντελίκου εῑ δίφθογγον ἐν μὲν τῷ πρώτῳ προσώπῳ διὰ τοῦ ε̄ καὶ α προσφέρουσιν, οἷον ἐτετύφειν ἐτετύφεα καὶ ἐπεποιήκεα τοῦ ν̄ ἀποβληθέντος, ἐπειδὴ τὸ ᾱ ἀποβλητικόν ἐστι τοῦ ν̄, οἷον Ξέρξην Ξέρξεα. τὸ γὰρ μοῦσα μοῦσαν καὶ ἔτυψα ἔτυψαν ἀπὸ κλίσεως ἔχουσι τὸ ν̄. ἐν δὲ τῷ τρίτῳ προσώπῳ εἰς δύο ε̄ε̄ διαλύουσιν, οἷον ἐτετύφει ἐτετύφεε. διὰ τί δὲ ἐπὶ τοῦ πρώτου προσώπου διαλύουσιν οἱ Ἴωνες τὴν εῑ δίφθογγον εἰς ε̄ καὶ ᾱ, ἐπὶ δὲ τοῦ τρίτου προσώπου πάλιν ποιοῦσι τὴν διάλυσιν εἰς δύο ε̄ε̄, καίπερ τοῦ δευτέρου προσώπου εἰς εις λήγοντος; ἐπειδὴ τὸ ᾱ χαρακτηριστικόν ἐστι τοῦ πρώτου προσώπου, οἷον ἔτυψα, τὸ δὲ ε̄ τοῦ τρίτου προσώπου ἐστὶ χαρακτηριστικόν. εἰς δὲ τὸ τρίτον πρόσωπον πάλιν ποιοῦσι τὴν διάλυσιν εἰς δύο ε̄ε̄ οἱ Ἴωνες, ἐπειδὴ γνησία ἐστὶν ἡ διάλυσις τῆς εῑ διφθόγγου εἰς δύο ε̄ε̄, οὐ μέντοι εἰς ε̄ καὶ ᾱ. καὶ γὰρ τὰ δύο ε̄ε̄ συναιρούμενα τὴν εῑ δίφθογγον ἀποτελεῖ, οἷον Πηλέες Πηλεῖς. ὀφείλει οὖν εἰς ἐκεῖνα ἀναλυθῆναι, ἐξ ὧν καὶ συνέστηκεν. ἰστέον δὲ ὅτι τὰ διαλυθέντα ἰωνικῶς συναιροῦσιν Ἀθηναῖοι καὶ ποιοῦσιν εἰς η̄, ἐπεποίηκα λέγοντες ἐπεποιήκη. ὅθεν τὸ ἐκεχήνεα ἐκεχήνη λέγουσιν Ἀθηναῖοι, κιρνοῦντές τὸ ε̄ καὶ ᾱ εἰς η̄, ὡς Ἀριστοφάνης, ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον. ἐφυλάχθη δὲ ἡ συναίρεσις καὶ ἐν τῷ τρίτῳ προσώπῳ τῶν δύο ε̄ε̄ εἰς 65b

ἤ, ἐπειδὴ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῶν ἐνικῶν ἰσοσυλλαβεῖ αὐτῷ, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτεν, εἰ οὖν τὸ πρῶτον δι' ἑνὸς φωνήεντος ἐκφέρεται κατὰ τὴν λήγουσαν, οἷον ἐκεχήνη ἐγὼ, δῆλον ὅτι καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου προσώπου δι' ἑνὸς φωνήεντος ἔσται.

Ἐτίθει. ἀπὸ τοῦ τίθημι ἐτίθην ὁ παρατατικός. καὶ κατὰ μὲν πρῶτον πρόσωπον τοῦ παρατατικοῦ διὰ τοῦ η γράφεται, ὡς ἀπὸ τοῦ εἰς μι ἑνεστῶτος, τὰ δὲ δεύτερα καὶ τρίτα διὰ διφθόγγου, ὡς ἀπὸ τῶν περισπωμένων, οἷον ἐτίθεις ἐτίθει, ἀφίεις ἀφίει, ὡς ἀπὸ τοῦ τιθῶ καὶ ἀφιῶ.

Ἐτύχθη ἀπὸ τοῦ τεύχω κατ' ἔλλειψιν τοῦ ε, καὶ τὸ κακὸν τυκτὸν ἀλλοπρόσαλλον, καὶ γυναικὸς ἀντιτέτυξο.

Εὐτείχεον ἰωνικῶς κεκίνηται ἀπὸ τοῦ τεῖχος τείχεος εὐτείχεος, ἄλλως μέντοι τὸ κοινὸν εὐτειχέα ἦν ἄν. ὡς γὰρ σθένος εὐσθενὴς, βέλος ὀξυβελὴς, οὕτω καὶ τεῖχος εὐτειχὴς, οὗ ἡ αἰτιατικὴ εὐτειχέα.

Ἐτετύκοντο. τεύχω, ὁ δεύτερος ἀόριστος ἔτυχον, ὁ μέσος ἐτυχόμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐτύχοντο, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ τροπῇ τοῦ χ εἰς κ ἐτετύκοντο.

Εὔαδεν. ἔστιν ἄδω τὸ σημαῖνον τὸ ἀρέσκω, τοῦτου ὁ μέσος παρακείμενος ᾆδα, ὁ δεύτερος ἀόριστος ἤδον, καὶ κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α ἔαδον, καὶ πλεονασμῷ τοῦ υ εὔαδον εὔαδες εὔαδε. ἢ παρὰ τὸ ἤδω ὁ πρῶτος ἀόριστος ἆδον ἆδες ἆδεν, οἷον, ἆδε δ' Ἕκτορι μῦθος ἀπήμων. τῷ ἆδε προσῆλθεν ἡ ευ δίφθογγος καὶ γίνεται εὔαδεν.

Εὐμελίω. εὐμελίας εὐμελίου εὐμελίεω, ὡς Ἀτρείδεω, καὶ συγκοπῇ εὐμελίω, ὡς Αἰνείεω Αἰνείω καὶ Ἀσίεω Ἀσίω. γράφεται καὶ κατὰ διάλυσιν τῆς ευ διφθόγγου εἰς ε καὶ υ.

Εὐοχθέων σημαίνει τὸ χαίρων. Ἡσίοδος, εὐ-
οχθέων δ' ἶξεαι πολιὸν ἔαρ, τοῦτ' ἔστι πλήθων
τῆς ὀχῆς. οὐχὴ γὰρ ἡ τροφὴ λέγεται πλεονασμῷ τοῦ
θ, ὄχθος λέγεται ὁ κόπος, εὐοχθέων δὲ ὁ καλῶς 66 a
*ἔχων τοῦ κόπου, τοῦτ' ἔστιν ὁ εὐκεκοπιακώς. ἢ ἄχ-*5
θος λέγεται ἡ λύπη, εὐαχθέων δὲ τοὐναντίον ἡ χαρὰ,
τοῦτ' ἔστιν οὕτως ἔχων καὶ χαίρων. καὶ πλήθω τὸ
τοῦ καρποῦ εὐαχθέστερον. παραγένῃ ἐπὶ τὸν καθα-
ρὸν καιρὸν τοῦ ἔαρος.

*Εὐπλίσσοντο. καλῶς ἐβάδιζον καὶ διέβαινον.*10
πλίσσεσθαι γὰρ τὸ βάδην διαβαίνειν, καὶ πλίγμα τὸ
διάστημα τῶν ποδῶν. Σοφοκλῆς, οἷον δράκοντα
δ' αἷρον ἀμφιπλὶξ εἰληφότε, περιβάδην.

Εὐσέλμοιο ὄνομα σύνθετον ἐκ τοῦ ἐΰσελμος.
*τοῦτο ἐκ τοῦ σελλὶς καὶ σημαίνει τὴν καθέδραν, καὶ*15
σέλλα, ἡ γενικὴ σελλίδος, καὶ ῥῆμα σελλίζω κατὰ πα-
ραγωγὴν, σέλλισμα καὶ σέλμα συγκοπῇ καὶ τροπῇ τοῦ
α εἰς ος, ὡς σχῆμα εὔσχημος; γίνεται εὔσελμος. ἢ ἐῶ
τὸ καθέξομαι, ἕημι ἕεμαι ἕμα, πλεονασμῷ τοῦ λ ἕλ-
*μα, προσθέσει τοῦ σ σέλμα, ἐξ οὗ καὶ σελλίον καὶ*20
σέλλα, καὶ μετὰ τοῦ εὖ μορίου εὔσελμος καὶ διαλύ-
σει ἐΰσελμος.

Ἐΰς, ὁ ἀγαθός. ὡς παρὰ τὸ ἥδω ἡδὺς, καὶ βρί-
θω βριθὺς, οὕτω παρὰ τὸ ἔω τὸ ὑπάρχω ἐΰς. τὸ γὰρ
*ἀγαθὸν βέβαιον καὶ ἑδραῖον ὑπάρχει. ἢ παρὰ τὸ ἔω*25
τὸ εὐφραίνομαι καὶ ἥδομαι, ἐπεί με πρῶτον ἔα-
σας. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι παρὰ τὸ ἔω γίνεται
ἐὸς ὁ ἀγαθὸς, τὸ θηλυκὸν ἐὴ, ἀφ' οὗ τὸ θεοὶ δο-
τῆρες ἑάων. ἐκ δὲ τοῦ ἐὸς γίνεται ἐΰς, καὶ τροπῇ
τοῦ ε εἰς η ἠΰς. 30

Εὖσαι τὸ φλογίσαι, ἀπὸ τοῦ εὖω. λαμβάνεται
καὶ ἐπὶ τοῦ θῦσαι.

Εὐφρόνη ἡ νὺξ παρὰ τὸ εὖ φρονεῖν ἡμᾶς ἐν
αὐτῇ, καὶ ὁ χρησμὸς, νὺξ καὶ βουλή. ὁ γὰρ νοῦς ὅτε
*ἀσχολεῖ, κριτὴς γίνεται τῶν πραγμάτων. ἢ παρὰ τὸ*35

εὐφραίνειν τὸ σῶμα διὰ τῆς ἀναπαύσεως. ἔστι παρώνυμον παρὰ τὸ εὔφρων εὐφρονος εὐφρύνη.

Εὔφρων παρὰ τὸ φρῶ τὸ προΐεμαι. τοῦτο δὲ παρὰ τὸ προϊῶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ π εἰς φ φρῶ. ἐκ δὲ τούτου παράγωγον φρῆμι. ὅθεν τὸ εἴσφρες.

66 b Εὔτυκτον γίνεται μὲν ἐκ τοῦ τεύχω, ἀπέβαλε δὲ τὸ ε διὰ εὐφωνίαν. ὥσπερ γὰρ ἡ κύστις ἐκ τοῦ κεύθω οὖσα, καὶ ἐκ τοῦ πεύθω ἡ πύστις, ὅ ἐστιν ἡ μάθησις, οὕτω καὶ τὸ νευστάζειν νυστάζειν φαμὲν καὶ τὸ ἐτεύχθη ἐτύχθη. καὶ ἡ τέχνη δὲ ὁμοίως καὶ ὁ τέκτων ἀπεβάλλοντο τὸ υ ἐκ τοῦ τεύχω γενόμενα.

Εὔαδον. ἐκ τοῦ ἥδω τὸ εὐφραίνω γίνεται ὁ δεύτερος ἀόριστος ἧδον, καὶ κατὰ διάλυσιν τοῦ η εἰς εα καὶ α γίνεται ἔαδον καὶ πλεονασμῷ τοῦ υ εὔαδον.

Ἐφεῖντο. ἵημι τὸ πέμπω, ἥσω, εἶκα, ὁ παρακείμενος εἶμαι εἵμην εἶντο καὶ ἐφεῖντο.

Ἐφείω. ἐπιβάλλω. εἴω τὸ πέμπω καὶ ἐν συνθέσει ἐφείω.

Ἔφθασαν. ἐκ τοῦ θω τὸ τρέχω πλεονασμῷ τοῦ φ φθω συζυγίας δευτέρας τῶν περισπωμένων. τούτου τοῦ φθάω φθω ὁ μέλλων φθάσω, ὁ ἀόριστος ἔφθασα ἔφθασαν, ἢ ἐκ τοῦ φθάω φθω φθῆμι παράγωγον, ὁ δεύτερος ἀόριστος ἔφθην ἔφθησαν καὶ συστολῇ τοῦ η εἰς α ἔφθασαν. ἐκ δὲ τοῦ φθῆμι καὶ τὸ φθάμενος καὶ φθαίην εὐκτικόν.

Ἐφθίατο. φθίω, ὅπερ ἀπὸ τοῦ φθίνω γίνεται κατὰ ἀποβολὴν τοῦ ν, ἔνθεν καὶ φθίσις, φθίσω, ὁ παρακείμενος ἔφθικα ἔφθιμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἔφθιντο καὶ ἐφθίατο.

Ἐφιεῖς. ἐκ τοῦ ἵημι ἵην ἱεῖς καὶ ἐφιεῖς.

Ἐφίζανεν. ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ καθέζομαι, ἕζω καὶ τροπῇ ἵζω ἱζάνω καὶ ἐφιζάνω.

Ἔφλαδον σημαίνει τὸ ἐσχίσθην ἀπὸ τοῦ θλῶ, φλῶ, παράγωγον φλάζω, ὁ δεύτερος ἀόριστος ἔφλαδον.

Ἔφθη. ἔφθασεν, ἐκ τοῦ φθῶ φθῆμι ὁ δεύτερος ἀόριστος ἔφθην ἔφθης ἔφθη.

Ἔφριξεν. ἐπυκνώθη. ἔφριξε δὲ μάχη φθισίβροτος ἐγχείησι. φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι πυκνῶς.

Ἐχθήρειε. ἐχθαίρω ἐχθαρῶ ἤχθηρα, αἰολικῶς ἐχθήρεια ἤ ἤχθηρα, ἐχθήρας ἐχθήραντος ἐχθήραιμι, αἰολικῶς ἐχθήρεια.

Ἐψιάασθαι. ὁμιλεῖν. παρὰ τὸ ἔπω τὸ λέγω, ἔψω ἐψιάω ἐψιῶ ἐψιῶμαι ἐψιάασθαι ἐψιᾶσθαι. 67 a

Ἐψιόωντο. ἐψιάω ἐψιῶ, τὸ λέγω, ἀπὸ τοῦ ἔπω ἔψω ἐψιῶντο καὶ πλεονασμῷ τοῦ ō ἐψιόωντο.

Ἔψιω ἀπὸ τοῦ ἔπω ἔψω ἐψίω.

Ἔῳγεν. οἷον, χιλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν. οἴγω, ὁ παρατατικὸς ᾤγον, ὁ μέσος παρακείμενος ᾠγα ᾠγας ᾠγε, καὶ πλεονασμῷ τοῦ ē ἔῳγεν.

Ἐῴκει. ἐκ τοῦ εἴκω τοῦ σημαίνοντος τὸ ὁμοιῶ ὁ μέσος παρακείμενος εἶκα, κατὰ διάλυσιν ἔϊκα, κατὰ δὲ ἐπένθεσιν τοῦ ō ἔοικα. ἢ ἐστὶν εἴκω, ὁ μέσος παρακείμενος λόγῳ παραλήγούσης οἶκα. τὸ γὰρ ē ἐὰν εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι ἢ μόνον ἢ μετὰ τοῦ ī, τρέπεται εἰς ō ἐν τῷ μέσῳ παρακειμένῳ καὶ τὸ ī προσγράφεται, οἷον λέγω λέξω λέλογα, πλέκω πλέξω πέπλοκα, λείβω λείψω λέλοιβα. οὕτως οὖν εἴκω εἴξω οἶκα καὶ πλεονασμῷ τοῦ ē ἔοικα. ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ᾐοίκειν διὰ τοῦ η̄ καὶ τῆς οι διφθόγγου, ἀλλ' ἐγένετο ὑπερβιβασμὸς τοῦ χρόνου, ἡ μὲν πρώτη συλλαβὴ συνεστάλη, ἡ δὲ δευτέρα ἐξετάθη, καὶ γέγονεν ἐῴκει τοῦ η̄ εἰς τὸ ē συσταλέντος καὶ τοῦ ō εἰς ῶ ἐκταθέντος καὶ τοῦ ī ὑπογραφέντος. οὕτως καὶ τὸ ἐώργει καὶ τὸ ἐώλπει. ἔσωθεν οὖν γίνεται ἡ αὔξησις, ἐπειδὴ ἡνίκα ὁ παρακείμενος ἀπὸ φωνήεντος ἄρχεται, ἀπὸ τοῦ αὐτοῦ φωνήεντος θέλει ἄρχεσθαι καὶ ὁ ὑπερσυντέλικος, οἷον ἄγω ἦχα ἤχειν, ἐλεύθω ἤλευκα ἠλεύκειν, ὀρύσσω ὤρυχα ὠρύχειν. οὕτως καὶ ἔοικα

ἐώκειν. τὸ δὲ ἐώρταζον διὰ τοῦτο ποιεῖ ἔσωθεν τὴν αὔξησιν, ἐπειδὴ εἰσί τινα ῥήματα τὴν τοῦ ἐνεστῶτος ἀρχὴν φυλάττοντα καὶ ἐπὶ τοῦ παρατατικοῦ, οἷον εὐεργετῶ εὐηργέτουν, εὐαρεστῶ εὐηρέστουν, οὕτως οὖν ἑορτάζω ἐώρταζον.

Ἐῶμι. ἐάω ἐῶ ἐάων ἐῶν, ἐάοντος ἐῶντος, ἐάοιμι ἐῷμι.

Ἐών, μὴ δ' οὕτως ἀγαθός περ ἐών. ἐνεστὼς καὶ παρατατικός. ἔω τὸ ὑπάρχω, ἐών. τὸ δὲ ἐὼν τοῦ ὢν ἐντελέστερόν ἐστιν.

67 b Ἑώρων ἀπὸ τοῦ ὁρῶ, ὁ παρατατικὸς ὥρων, καὶ πλεονασμῷ τοῦ ε ἑώρων, τῆς δασείας φυλαττομένης. ὡσαύτως καὶ ἀπὸ τοῦ οἰνοχοῶ ὠνοχόουν, καὶ πλεονασμῷ τοῦ ε ἐωνοχόουν, καὶ ἀπὸ τοῦ ᾐνῶ, ᾐνοῦμαι ᾔνημαι ἐήνημαι καὶ ἐᾐνημένος.

Ἔωσεν. ὤθω βαρύτονον ὥσω ὥσα ὦσε καὶ ἔωσεν.

Ἐὼν ἤγουν ὑπάρχων, κοινῶς μὲν δοκεῖ ἀπὸ τοῦ ἦον δευτέρου ἀορίστου γενέσθαι, διὸ καὶ ἀναλόγως ὀξυτονεῖσθαι, Ἡρακλείδης δὲ παραλόγως ὀξύνεσθαι αὐτό φησι καὶ ἡμαρτῆσθαι λογιζόμενος αὐτὸ οὐ μετοχὴν δευτέρου ἀορίστου ἀπὸ θέματος τοῦ ἔω βαρυτόνου, ἀλλὰ ἐκ περισπωμένου τοῦ ᾦ ἤγουν ὑπάρχω. ἔτι δὲ λέγει σφοδρῶς καὶ ὅτι ἐγώγε ἄνοιαν καταδικάζω τῶν οἰομένων ἐπέκτασιν τῆς ω εἶναι τὴν ἐὼν μετοχήν. οὐδεμία γάρ, φησί, εἰς ων λήγουσα μετοχὴ μετεκτείνεται διὰ τοῦ η, εἶτα γράψας τὰ δοκοῦντα, ἐν οἷς καὶ ὅτι πᾶσα μετοχὴ εἰς ων λήγουσα καθαρὸν ὀξύτονος τὸ ι ἔχει παραλῆγον, οἷον πιὼν πιὼν ἰὼν, ἐπάγει, ὥστε ἄμεινον ἡμῶν Βοιωτοὶ τὴν ἐὼν ἰὼν λέγουσι. μέμφεται δὲ καὶ τὸν Σιδόνιον Διονύσιον εἰπόντα διαλέκτῳ ἀτθίδι πεποιῆσθαι ὅσα πλεονάζει τὸ ε καταρχὰς, ὧν ἐστι καὶ τὸ ἐωνοχόει καὶ τὸ ἐών. ἀγνοεῖ δέ, φησι, ἐκεῖνος τὸ ἔργων ἐέργων καὶ τὸ ἔλπων ἐέλπων καὶ τὸ ἔειπε ἀντὶ τοῦ εἶπε.

Ἐωνοχόει. κανόνισον· οἰνοχοέω οἰνοχοῶ καὶ ἡ μετοχὴ ὁ οἰνοχοέων ὁ οἰνοχοῶν, τοῦ οἰνοχοέοντος οἰνοχοοῦντος, καὶ παρατατικὸς ὠνοχόεον ὠνοχόουν ὠνοχόεε, εἰς τὸ τρίτον ὠνοχόει καὶ πλεονασμῷ τοῦ ε ἐωνοχόει.

Ζ.

Ζαὴν ἄνεμον, τὸν σφοδρῶς πνέοντα. Ὁμηρος, ὣρσε δ' ἔπι ζαὴν ἄνεμον. ὥσπερ παρὰ τὸ πέτω γίνεται πέτην, οὕτως καὶ παρὰ τὸ ἄω τὸ πνέω γίνεται ἀὴν καὶ μετὰ τοῦ ζα μορίου ζαήν. τὸ γὰρ τέλειον ζαῆνα, ὡς πετῆνα. ζαὴν γὰρ ζαῆνος κλίνεται, ἀλλὰ κατ' ἔκθλιψιν. 68 a

Ζαθέην. ἄγαν θείαν ἤτοι θαυμαστὴν καὶ πολλῆς θεᾶς ἀξίαν.

Ζατρεύω. τῷ ἐν μύλωνι κυρίως βασανίζω, παρὰ τὸ ζα ἐπιτατικὸν καὶ τὸ τρέω τὸ φοβοῦμαι ζατρεύω. ὅθεν καὶ ζητρεῖον τὸ τῶν δούλων δεσμωτήριον. ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι, παρὰ τὸ δεῖν τὸ δεσμεύειν καὶ τὸ τρεῖν τὸ φοβεῖσθαι ζητρεῖον τροπῇ τοῦ δ εἰς ξ καὶ τῆς ει εἰς η. ἢ παρὰ τὸ ζα καὶ τὸ τρεῖν ζατρεῖον καὶ ζητρεῖον τροπῇ τοῦ α εἰς η.

Ζατρεφέων. ἄγαν εὐτραφῶν, παρὰ τὸ ζα καὶ τὸ τρέφω ὁ ζατρεφές.

Ζαφλεγέες. ἄγαν καὶ μεγάλως πεφλεγμένοι, ἢ λαμπρὸς ἐκ τοῦ ζα καὶ τοῦ φλέγω.

Ζάφελος σημαίνει τὸν ἄγαν ἠυξημένον, παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω, ἢ ὠφελῶ. βαρύνεται δὲ τὸ ζάφελος τῷ τοιούτῳ λόγῳ. τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, οἷον ζάπλουτος, ζάθεος, ζάκοτος, ζάκορος, οὕτως καὶ τὸ ζάφελος ζαφέλου. τὸ δὲ ζαφελῶς ἐπιῤῥήμα περισπᾶται, ἐπειδὴ τὰ διὰ τοῦ λῶς ἐπιῤῥήματα παραληγόμενα τῷ ε ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον εὐτελῶς, παντελῶς, ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συν-

εξέδραμε. πρόσκειται ὡς ἐπιτοπλεῖστον διὰ τὸ εὐτραπέλως.

Ζεύς. τῶν εἰς ευς ὀνομάτων ὑπὲρ μίαν συλλαβὴν ὄντων μονήρης μένει ὁ Ζεὺς, ὡς μονοσύλλαβος πολλαῖς εὐθείαις παρὰ τοῖς παλαιοῖς ποικίλλεται. Δὶς γὰρ, οὗ γενικὴ Διὸς, καὶ Ζῆν καὶ Ζὰν καὶ Ζὰς καὶ Ζῆς παρὰ Φερεκύδῃ. καὶ βοιωτικῶς Ζεὺς καὶ Δὰν, καὶ τοῦ Ζεὺς ἔστι καὶ αἰτιατικὴ παρὰ Πολυκράτει τῷ σοφιστῇ μονοσύλλαβος τὸν Ζεῦν περισπωμένη κατὰ τὸ λὶς λῖν καὶ τὰ λοιπὰ τοιαῦτα μονοσύλλαβα.

Ζείδωρος. ἡ τὰ πρὸς ζωὴν δωρουμένη, τροπῇ βοιωτικῇ τοῦ η εἰς τὴν ει, ὡς τέθεικα, καὶ οὐτήσω ὠτειλή. ἢ παρὰ τὸ ζεῖν ζειδωρος καὶ κράσει τῶν δύο εε ζείδωρος.

Ζητῶ καὶ ζητεύω, ὡς τὸ ζητεύει βίοτον. οὕτω καὶ ἀγορῶ, ἐξ οὗ ἀγορήσατο καὶ ἀγορητὴς καὶ ἀγορεύω, ἐξ οὗ τὸ μήτι φόβον δ' ἀγόρευε.

Ζώγρει. ζῶντα λάμβανε. παρὰ τὸ ζῶ καὶ τὸ ἀγρεύω, ὁ τὰ ζῶντα ἀγρεύων.

Ζωπυρῆσαι. ἐκ μεταφορᾶς τοῦ πυρὸς ἐπὶ τῶν ἐξ ἀῤῥωστίας ἀναῤῥωνυμένων.

Ζῆς. κανόνισον· ζάω τὸ πνέω. τοῦτο κατ' ἐπέκτασιν τῆς ζα συλλαβῆς γίνεται, οἱονεὶ πάνυ πνέω, καὶ τροπῇ τοῦ α εἰς ω μέγα ζῶ, τὸ δεύτερον ζάεις, καὶ λοιπὸν κατὰ κρᾶσιν δωρικὴν τοῦ α καὶ ε εἰς η γίνεται ζῆς.

Ζώην. ζάω ζῶ ὁ ζάων ὁ ζῶν τοῦ ζάοντος τοῦ ζῶντος, ζάοιμι ζῷμι, ὡς βοῷμι, τὸ β' ζῷς, τὸ γ' ζῷ, καὶ οἱ Ἴωνες ἐν τοῖς τοιούτοις εὐκτικοῖς εἰώθασιν ἐπιτιθέναι τῷ τρίτῳ προσώπῳ τὴν ην συλλαβὴν καὶ μετάγειν αὐτὸ εἰς πρῶτον. ἢ γίνεται κατὰ μεταπλασμὸν τῆς μι εἰς ην, ἢ κατὰ ἐνίους τῷ ζῷ τρίτῳ προσώπῳ οἱ Ἀττικοὶ προστιθέασι τὸ η καὶ γίνεται ζῴη. τοῦτο προσθήκη τοῦ σ δεύτερον γίνεται. τὸ δεύτερον δὲ τρέπον εἰς η τὸ σ ποιεῖ τὸ πρῶτον. ἕτεροι δὲ τὴν μι εἰς ην τρέποντες καὶ τὸ ο εἰς ω ἐκτείνοντες ποιοῦσιν αὐτό.

Η.

Ἡ σημαίνει τὸ εἶπεν. ἔστι φῶ τὸ λέγω παράγωγον φημὶ, ἀφαιρέσει τοῦ φ̄ ἠμὶ, ὁ ἀόριστος δεύτερος ἦν ἦς ἦ.

Ἠι ἀντὶ τοῦ ὅπου. δεῖ γινώσκειν ὅτι τὰ εἰς η̄ λήγοντα ἐπιῤῥήματα ἔχει τὸ ῑ προσγεγραμμένον.

Ἤια τὸ ἐπορευόμην. ἀπὸ τοῦ εἶω τὸ πορεύομαι ὁ μέσος παρακείμενος εἶα καὶ διαλύσει ἔϊα καὶ τροπῇ τοῦ ε̄ εἰς η̄, μένοντος καὶ τοῦ ῑ προσγεγραμμένου. 69 a οἱ δὲ Ἴωνες ἤϊα λέγουσι καὶ ἄλλως.

Ἦα κοινότερον μὲν εἰπεῖν πρῶτος ἀόριστος τοῦ ἦον ἐστὶν, ὃς ἰωνικῶς ἔον λέγεται, οὗ μετοχὴ ἐὼν, περὶ ἧς πολλὰ Ἡρακλείδης βαθυλογεῖ. ἰάδι δὲ συστολῇ εὕρηται καὶ ἔα, ἀφ' οὗ κατὰ κρᾶσιν ἡ δίχα τοῦ ν, οὗ τὸ κοινὸν καὶ τετριμμένον ἦν μετὰ τοῦ ν̄ ὁ πολλὰ λογοπραγήσας Ἡρακλείδης ἐσπάραξεν, ὃς τοι-15 αῦτά τινα περὶ τῶν διειλημμένων γράφει. Ἴωνες τοὺς παρῳχημένους ἀπὸ τῶν αὐτῶν στοιχείων προφέρονται ταῖς μετοχαῖς, οἷον εἰπὼν εἶπον, λαβὼν λάβον, οὕτως ἦ καὶ ἔα ἰακῶς, οἷον, εἰ τότε κοῦρος ἔα, ἐπεὶ ἡ ἐὼν μετοχὴ ἀπὸ τοῦ ε̄ ἄρχεται. ἡμάρτηται δέ, φησι,20 τὸ ἔα εἰς ᾱ περατούμενον καὶ Ἀσιανῆς ἔχεται φωνῆς. καὶ οἱ ἑλληνίζοντες δὲ ἐν Κιλικίᾳ οὕτω προφέρονται. τὰς γὰρ εἰς ων̄ ληγούσας ὀξυτόνους μετοχὰς δέον ἐπὶ τῶν ῥημάτων εἰς ον περαιοῦσθαι βραχυνόμενον κατὰ πρῶτον πρόσωπον, οἷον λαβὼν ἔλαβον, φαγὼν ἔφα-25 γον καὶ τὰ ὅμοια, αὐτοὶ ἀποβάλλοντες τὸ ν καὶ μετατιθέντες τὸ μικρὸν ο̄ εἰς βραχὺ ᾱ προφέρονται ἀπὸ τοῦ λαβὼν καὶ φαγὼν, ἔλαβα λέγοντες καὶ ἔφαγα, καὶ τρίτα δὲ τούτων πληθυντικὰ εἰς αν̄ λήγοντα λέγουσιν. ὁ οὖν ἀπὸ τῆς ἐὼν, φησὶ, μετοχῆς ἔα λέγων30 ἀντὶ τοῦ ἔον ἁμαρτάνει, ὡς εἰ καὶ ἀπὸ τοῦ λαβὼν ἔλαβα φαίη. λέγει δὲ καὶ ἀναλογώτερον τοῦ ἔα τὸ ἦα, γλώσσης μὲν ὂν Ἀσιανῆς, κείμενον δὲ παρὰ Καλλιμάχῳ. αἱ γὰρ ἀπὸ ψιλουμένου ε̄ δισύλλαβοι μετοχαὶ

τὸ ε̄ εἰς η̄ μεταβάλλουσιν ἐν ῥήμασι. λέγει δὲ καὶ χρῆσιν εἶναι τοῦ ἔον παρ' Ἀλκαίῳ, καὶ ὅτι ὥσπερ φαγόντος ἔφαγον, δραμόντος ἔδραμον, ἀπελεύσει τῆς ληγούσης μετοχῆς, οὕτω καὶ ἐόντος ἔον ῥητέον καὶ οὐκ ἔα, καὶ ὡς ἰακώτερον μὲν τὸ ἔον, τὸ δὲ ἦον κοινόν, ὅθεν τὸ ἦες καὶ ἦε. τὸ δὲ ἦον ἐπὶ πρώτου προσώπου ἐξαιρέσει τοῦ ο̄ ἦν γίνεται, ᾧ ὁμόφωνον κατὰ
69b Χαλκιδεῖς τὸ ἦν ἐκεῖνος, ἀφ' οὗ δωρικῶς Ἡσίοδος ἔφη τὸ, τῆς δ' ἦν τρεῖς κεφαλαί. τὸ δὲ τοιοῦτον ἡσιόδειον ἦν ποιεῖ, φησί, τὸ ἦσαν προσθέσει τοῦ ο̄ καὶ τοῦ ᾱ, ὃ δὴ καὶ οἱ τῇ Ἀσιανῇ χρώμενοι φωνῇ ποιοῦσι τὸ ἔφυγον καὶ ἦλθον παρενθέσει τῆς ᾰ συλλαβῆς ἐφύγοσαν λέγοντες καὶ ἤλθοσαν. οὕτω δὲ καὶ τὰ ὅμοια. παραδίδωσι δὲ καὶ αὐτὸς καὶ ὅτι Ἀριστάρχειοι τὸ ἦν ἔα γενέσθαι εἶπον κατὰ τμῆσιν, ὁποία τις γίνεται καὶ ἐν τῷ ἦνται ἕαται καὶ τοῖς ὁμοίοις, καὶ ἐν τῷ Ἀστυάγην Ἀστυάγεα, Διομήδην Διομήδεα, καὶ ἐν τῷ ἤδειν ἤδεα καὶ τοῖς λοιποῖς, περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται. καὶ οὕτω μὲν ταῦτα οὐ παρέργως.

Ἠβῶμι καὶ ἡβώη, ὡς βοῶμι καὶ ζώη.

Ἡβώω ἡβῶ, ἡβώω πλεονασμῷ τοῦ ω̄, ἢ ἐπαυξήσει τοῦ χρόνου, ὡς ἀλάω. ἡβῶ γὰρ καὶ πλεονασμῷ τοῦ ο̄ ἡβόω, ὡς ἀντίω ἀντιόω, καὶ ἐπεκτάσει τοῦ ο̄ εἰς ω̄ ἡβώω, ὡς εἴρηται.

Ἠγάθεον. τὸ θεῖον καὶ θαυμαστόν, παρὰ τὸ ἄγαμαι ἀγάθεος καὶ ἠγάθεος καὶ ἀγάθεον καὶ ἠγάθεον. ἢ παρὰ τὸ ἄγαν καὶ τὴν θέαν ὁ ἀξιοθεατότατος.

Ἠγερέθοντο. ἀγείρω ἀγερῶ ἀγερέθω, ἔνθεν ἠγερέθοντο.

Ἠγερέεσθαι. ἠθροίζεσθαι. ἀγερέω ἀγερῶ, ἀγερέομαι ἀγεροῦμαι, ἠγερεόμην ἠγερούμην, ἠγερεόμεθα ἠγερέεσθαι.

Ἤγερθεν. ἐγείρω ἐγερῶ ἤγερκα ἤγερμαι ἠγέρθην, τὸ τρίτον τῶν πληθυντικῶν ἠγέρθησαν, καὶ αἰολικῶς καὶ δωρικῶς ἤγερθεν.

Ἠγηλάξω. ὡς ἀκούω ἀκουάζω, κύπτω κυπτάζω, οὕτως ἄγω ἀγάζω καὶ πλεονασμῷ τοῦ αλ ἀγαλάζω καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ ἠγηλάζω. ἢ παρὰ τὸ ἀγέλη ἀγελάζω καὶ ἠγηλάζω.

Ἠγνοίησεν. ἀγνοῶ καὶ πλεονασμῷ τοῦ ῑ ἀγνοιῶ, ὡς ἀπὸ τοῦ ἀλοῶ τὸ τύπτω ἀλοιῶ, ὁ μέλλων ἀγνοιήσω, ὁ ἀόριστος ἠγνοίησα, τὸ γ' ἠγνοίησεν.

Ἠγορόωντο. ἐδημηγόρουν ἢ ἠθροίζοντο. ἀγοράω ἀγορῶ ἠγορῶντο καὶ πλεονασμῷ τοῦ ο̄ καὶ ἀναδιδόσει τοῦ τόνου ἠγορόωντο. 70a

Ἤερθεν σημαίνει μὲν ἐνταῦθα τὸ ἠθροίσθησαν, ἀπὸ θέματος τοῦ ἀγείρω, ἔστι δὲ αἰολικόν. κανονίζεται δὲ ἀπὸ τῆς ἀγερθέντος γενικῆς τῆς μετοχῆς ἀποβολῇ τῆς τος. ἰστέον δὲ ὅτι τὸ ἤγερθεν σημαίνει ποτὲ καὶ τὸ ἀνέστησαν, ἀπὸ τοῦ ἐγείρω. διὸ ἐνταῦθα διασαφῶν ἑαυτὸν Ὅμηρος ἐπάγει μετὰ τὸ οἱ δ' ἐπεὶ οὖν ἤγερθεν, τὸ, ὁμηγερέες τ' ἐγένοντο, περιφράζων τὸ ἤγερθεν καὶ οἱονεὶ λέγων, ταυτόν ἐστιν ἤγερθεν εἰπεῖν ἐν μιᾷ λέξει καὶ ὁμηγερέες ἦγουν ὁμοῦ ἀγηγερμένοι ἐγένοντο.

Ἡγεῖσθαι ἐπὶ μὲν ἀρχῆς τινος λαμβανόμενον καὶ ἐξουσίας γενικῇ συντάσσεσθαι φαίνεται, οἷον ὁ Ἀγαμέμνων ἡγεῖται τῶν Ἑλλήνων· ἐπὶ δὲ προοδεύσεως καὶ ὁδηγίας δοτικῇ μάλιστα συντάσσεται, ὡς τὸ Κάλχας ἡγήσατο ταῖς ναυσὶ τῶν Ἑλλήνων εἰς Τροίαν. τοῦτο δὲ καὶ ἀφηγεῖσθαι παρὰ τοῖς ὕστερον λέγεται. ταυτὸν γὰρ παρ' αὐτοῖς τὸ ἡγεῖσθαι καὶ προηγεῖσθαι, καὶ μὴν καὶ τὸ ἐξηγεῖσθαι. ἰστέον δὲ ὡς οἱ μεθ' Ὅμηρον ἔστιν ὅτε καὶ ἀντὶ τοῦ οἴεσθαι τὸ ἡγεῖσθαι τιθέασιν.

Ἤιδη. Ὅμηρος, ὃς ἤδη τά τ' ἐοντα. εἶδω τὸ γινώσκω καὶ ἐπίσταμαι, εἴσω εἶκα εἶδα, ὁ ὑπερσυντέλικος εἴδειν, καὶ ἐπεὶ οἱ Ἀττικοὶ τὸ ει τῶν παρωχημένων εἰς η̄ τρέπουσιν, γίνεται ἤδειν. ἀλλ' ἀντίκειται ὁ λέγων κανών, εἰ μέντοι ἐν δισυλλάβῳ μέλλοντι

τὸ ε̄ εὑρεθῇ, ἢ μόνον ἢ μετὰ τοῦ ῑ, εἰς ο̄ αὐτὸ τρέπει ὁ μέσος παρακείμενος. ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἀπὸ τοῦ εἶδω εἴσω ἐστὶν, ἀλλ' ἀπὸ τοῦ εἰδέω εἰδῶ περισπωμένου, ἀφ' οὗ εἴδημι εἰδήσω εἴδηκα εἰδήκειν καὶ συγκοπῇ τοῦ η̄ καὶ κ εἴδειν, κατ' ἔκτασιν ἀττικὴν τοῦ ε̄ εἰς η̄ ᾔδειν. τούτου τοῦ εἴδει διαλύουσιν οἱ Ἴωνες τὴν ει διφθογγον, ἐν μὲν τῷ πρώτῳ προσώπῳ εἰς 70b ε̄ καὶ α, γίνεται ᾔδεα τοῦ ν̄ ἀποβαλλομένου, ἐπειδὴ τὸ α̅ ἀποβλητικόν ἐστι τοῦ ν̄· ἐν δὲ τῷ τρίτῳ εἰς δύω εε̄, οἷον ᾔδεε ᾔδη,

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

καὶ ὁμοφωνεῖ τῷ α̅, καὶ λέγουσι τινὲς ὅτι τοῦ τεχνικοῦ λέγοντος, οὐκ ἐνδέχεται κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, ἰδοὺ εὕρηται ὁμοφωνοῦν κατὰ τὸν αὐτὸν χρόνον καὶ τὴν αὐτὴν διάλεκτον. ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἔστι κατὰ τὴν αὐτὴν διάλεκτον τὸ πρῶτον καὶ τρίτον πρόσωπον. ἡ γὰρ κρᾶσις τῶν πρώτων προσώπων τῆς παλαιᾶς ἀτθίδος ἐστὶν ἰδίωμα. τὸ οὖν ᾔδη ἐγὼ τῆς παλαιᾶς ἀτθίδος ἐστὶ, τὸ δὲ ᾔδη ἐκεῖνος τῆς νέας, ὥστε τὸ παρὰ τῷ ποιητῇ ὃς ᾔδη τά τ' ἐόντα καὶ τὸ οὐδὲ τὰ ᾔδη ἄρα Ζεὺς μήδετο ἔργα Ἀριστάρχειόν ἐστιν ἁμάρτημα. οὐκ ὤφειλεν γὰρ αὐτὸ νεάσαι παρὰ τῷ ποιητῇ τῆς παλαιᾶς ἀτθίδος ὄν. αὕτη γὰρ τῷ πρώτῳ μόνῳ χρῆται.

Ἤιδεισθα. ᾔδειν ὑπερσυντέλικος, τὸ δεύτερον ᾔδεις, καὶ προσχηματισμῷ τῆς θα̅ ᾔδεισθα.

Ἤ δ' ὃς ἀντὶ ἔφη οὗτος. διὸ καὶ δασύνεται κατὰ τὴν ἐσχάτην. ἔστι γὰρ ἄρθρον ὑποτακτικὸν τὸ ὅς. τὸ δὲ ἦ ἀντὶ τοῦ ἔφη. καὶ ἦν δ' ἐγὼ ἀντὶ ἔφην ἐγώ.

Ἤιδη ἀντὶ τοῦ ἠπίστατο, διὰ τῶν δύο η̄η̄ παρὰ τῷ ποιητῇ γράφεται δι' αἰτίαν τοιαύτην. ἔθος τοῖς Ἀττικοῖς πολλάκις τὴν διὰ τοῦ ε̄ καὶ ῑ̄ δίφθογγον διὰ τοῦ η̄ καὶ ῑ̄ προάγειν, καὶ οὐ μόνον ἐν τῷ ἱερῆς

καὶ βασιλῆς καὶ ἱππῆς, ἀλλὰ καὶ ἐπὶ ῥημάτων, ὡς ὅτε τοῦ ἧκαζον τὴν ἄρχουσαν διὰ τοῦ η προάγουσιν, ὁμοίως δὲ καὶ τοῦ ἥειν, ὃ δηλοῖ τὸ ἦλθον. ὥσπερ γὰρ ἀπὸ τοῦ εἰκάζω τὸ ἧκαζον, οὕτω καὶ ἀπὸ τοῦ εἶω τὸ πορεύομαι τὸ ἥειν προάγεται, τῶν μὲν ἐνεστώτων ἐχόντων τὴν διὰ τοῦ ε καὶ ι γραφὴν, τῶν δὲ ἀπ' αὐτῶν παρωχημένων διὰ τοῦ η καὶ ι τὴν τῆς ἀρχούσης ἀπαρτιζόντων δίφθογγον, κατὰ τὸν ὅμοιον δὴ τρόπον καὶ τὸ ᾔδειν, ὃ δηλοῖ τὸ ἠπιστάμην, ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι γεγονὸς, ὅμως ἐν τῇ παραλη- 71 a
γούσῃ κατὰ τὴν παλαιὰν καὶ αὐτὸ ἀτθίδα τὸ η μετὰ τοῦ ι ἔχει, καὶ οὕτω μὲν καθίσταται ἡ παραλήγουσα. ἡ δὲ λοιπὴ σκευωρία τοῦ ῥήματος τοιαύτη ἐστίν. ἔθος ἰωνικὸν ἐκράτησε τοὺς ἐνεργητικοὺς ὑπερσυντελίκους διὰ τὸ ε καὶ α προάγειν τὴν λήγουσαν τοῦ πρώτου προσώπου τῶν ἑνικῶν. τὸ γοῦν ἐπεποιήκειν ἐπεποιήκεα φασὶν Ἴωνες καὶ τὸ ἐτετύφειν ἐτετύφεα καὶ τὸ ἥειν ἥεα, οἷον ἥεα πολλὰ γουνούμενος. ὡσαύτως καὶ τὰ λοιπά. οὕτω γοῦν καὶ τὸ ᾔδειν διαλύοντες ᾔδεα λέγουσιν, ὡς τὸ, ἐγὼ γὰρ εἰ τάδε ᾔδεα. τούτου δὲ κερασθέντος γίνεται ᾔδη ἐν πρώτῳ προσώπῳ καὶ δηλοῖ τὸ ἠπιστάμην, οἷον ᾔδη ἐγὼ, τοῦτ' ἔστιν ἐγίνωσκον, καὶ εἰσὶ τούτου χρήσεις παρά τε ἄλλοις καὶ Σοφοκλῆ. τοῦ τοίνυν πρώτου προσώπου τοῦ ᾔδεα τοῦ ε καὶ α εἰς η κεράσαντος, ἐκβαίνει καὶ τὸ τρίτον ὁμόφωνον, καὶ διὰ τοῦτο καὶ τὴν αὐτὴν ἔχει γραφήν. εἰ δὲ ἀδύνατον κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, ἀλλ' ὁ τοιοῦτος κανὼν ἐπὶ τῶν ἀσυναιρέτων ῥημάτων εἴρηται. τὰ δὲ συναιρεθέντα ἐπεὶ πάσχουσι, καὶ οὕτω τῆς πρωτοτυπίας κατ' ἀνάγκην ἐμπίπτουσιν, οὐδὲ τὴν τοῦ κανόνος φυλάττουσι παρατήρησιν.

Ἤιδεα. διάλυσίς ἐστιν ἰωνικὴ τοῦ ᾔδειν ἀντὶ τοῦ ἠπιστάμην, ὡς καὶ προδεδήλωται. οὕτω καὶ τὸ πεποιήκειν πεποιήκεα φασὶν Ἴωνες, καὶ τοὺς λοιποὺς δὲ ἐνεργητικοὺς ὑπερσυντελίκους ὁμοίως προφέρουσιν.

Ἧε σημαίνει τὸ ὑπῆρχεν. ἔω, οὗ ὁ παρακείμενος ἧκα, ὁ μέσος ἧα, ὁ δεύτερος ἀόριστος ἧον, ὡς τέτυπα ἔτυπον, ἧες ἧε.

Ἠείδει. οὐδέ τις ἠείδει. εἴδω τὸ γινώσκω, τὸ δεύτερον εἴδεις, τὸ τρίτον εἴδει καὶ πλεονασμῷ τοῦ η ἠείδει. τινὲς δὲ λέγουσιν ὅτι μᾶλλον ἐν τῷ μέλλοντι πλεονάζει.

Ἠερέθονται. παρὰ τὸ ἐρέθω τὸ παροξύνω, οἷον μή μ' ἔρεθε σχετλίη, γίνεται ἠερέθω, ὡς μύω ἠμύω κατὰ πλεονασμὸν τοῦ η. ἐπὶ δὲ τοῦ ἀπαι- 71 b ωροῦνται καὶ κρέμανται, οἷον

ἀεί δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

παρὰ τὸ ἀείρω τὸ κουφίζω ἀερῶ ὁ μέλλων, ἐξ οὗ ἀερέθω, ὡς ἀγείρω ἀγερέθω, οἷον ἠγερέθοντο κατὰ Πριάμου, καὶ φλέγω φλεγέθω, καὶ μετάγεται εἰς ἐνεστῶτα ἀερέθω ἀερέθομαι, ὡς ἀγερέθομαι, ἠερεθόμην. ἢ ἐκ τοῦ αἴρω ἀρῶ ἀρέθω, καὶ πλεονασμῷ τοῦ ε ἀερέθω καὶ ἠερέθω.

Ἧειρεν. ἐδέσμευσεν. εἴρω τὸ δεσμεύω, εἶρον, καὶ πλεονασμῷ τοῦ η ἧειρον.

Ἠεροειδές. ἀναπεπταμένον τοῦ μεταξὺ ἀέρος καὶ μηδενὸς ἐμποδίζοντος, παρὰ τὸ ἀὴρ ἀέρος. ἢ ἀερῶδες σκοτεινόν. ἢ ἀντὶ τοῦ ἀερόμετρον.

Ἠερίη. ἐὰν ἀντὶ τοῦ ὀρθρινὴ, ὡς εἴρηται, λαμβάνηται, πλεονασμὸν ἔχει τοῦ ε. ἦρ γὰρ ὁ ὄρθρος καὶ κλίνεται ἦρος ἦρι, οἷον ἦρι μάλα Ἑλλήσποντον πλεούσης. ὅθεν καὶ ἠὼς ἠριγένεια. ἠρίη γοῦν ἡ ὀρθρινὴ καὶ πλεονασμῷ ηερίη, οἷον καὶ τὸ ἠερίη γέ τοι παρέζετο καὶ λάβε γούνων. τινὲς δὲ ἠερίαν τὴν ἀερίαν νοοῦσιν· οὐ γάρ ἐστιν εἰς οὐρανὸν κάτωθεν ἀνελθεῖν, εἰ μὴ διὰ μέσου ἠέρος ἤτοι ἀέρος.

Ἥλιος δοκεῖ ἐκ τοῦ ἥλιος γενέσθαι κατὰ ἐπένθεσιν τοῦ ε. ψιλοῦται δὲ διὰ τὸν κανόνα τὸν λέγοντα ὅτι τὸ η πρὸ φωνήεντος ὂν κατὰ διάστασιν ψιλοῦται,

οἷον ἠΐθεος, ἠΐος ὁ τοξικός. οὕτως οὖν καὶ ἠέλιος. σημειοῦνται δὲ οἱ παλαιοὶ καὶ ὅτι ὁ ποιητὴς ἀεὶ οὕτω λέγει τετρασυλλάβως, ἅπαξ δέ ποτε καὶ τρισυλλάβως ἔφη ἤλιον. ἰστέον δὲ καὶ ὅτι ἐπειδὴ ἔστιν ἄω τὸ λάμπω καὶ προσθέσει τοῦ υ αὔω, ἐξ ὧν ἀὼς ἡ ἡμέρα καὶ αὔως αἰολικῶς, δύναται τὸ ἠέλιος ἐκ τοῦ ἄω ἔχειν τὴν ψιλήν, ἐξ οὗ καὶ ἐτυμολογεῖται. γίνεται δὲ ἀπό τε τοῦ ἄω τοῦ ῥηθέντος καὶ τοῦ ἔλη ἡ θερμασία ἀέλιος, ὡς τὸ ἀκτὶς ἀελίου παρὰ Σοφοκλῆ. ἀμφότερον γὰρ ἔχει ὁ ἥλιος. λάμπει τε γὰρ φωτιστικῶς, ἔτι δὲ καὶ θερμαίνει, καὶ τροπῇ τῆς ἀρχούσης γίνεται ἠέλιος.

Ἤειρεν ἀντὶ τοῦ συνέπλεκεν εἴρηται. ἀείρειν γὰρ νῦν τὸ ὁμοῦ εἴρειν καὶ συμπλέκειν. ἐξ οὗ καὶ τὸ τέτρωρον καὶ ἡ ξυνωρὶς καὶ ὄαρ ἡ γυνή. 72a

Ἠείδεις ἀντὶ τοῦ ἐπίστασο, καὶ ἔστιν ἴσως ἀπὸ τοῦ ᾄδεις πλεονασμῷ τῆς ει διφθόγγου.

Ἴκτο. ἔστιν εἶκω τὸ ὁμοιῶ, εἶξω, εἶχα εἶγμαι εἶξο εἶκτο ἴκτο ἵκτο.

Ἴεν. εἶω τὸ πορεύομαι, εἶσω εἶκα, ὁ μέσος παρακείμενος εἶα καὶ διαλύσει ἴα καὶ τροπῇ ἴα ἴεν.

Ἵσαν ἀντὶ τοῦ ἠπιστάμην. ἴσημι, καὶ ὁ παρατατικὸς ἴσην ἴσαν, συστολῇ τοῦ η εἰς α πλεονασμῷ τοῦ η ἴσαν.

Ἵσαν ἀντὶ τοῦ ἐπορεύοντο. εἶμι τὸ πορεύομαι, ὁ παρακείμενος εἶν εἷς εἶ, δυϊκὰ ἶτον ἶτην, πληθυντικὰ ἶμεν ἶτε ἴσαν, καὶ πλεονασμῷ ἴσαν.

Ἴσκομεν. ἐΐσκω ἔϊσκον. τὸ δὲ ἐΐσκω ἀπὸ τοῦ εἴδω εἴσω εἴσκω καὶ ἐΐσκω.

Ἰχθῆ. ἐξέδραμεν, ἠνέχθη. αἴσσω αἶξω ἴαχα ἴγμαι ἰχθῆναι.

Ἴα τὰ ἐφόδια, ὅ ἐστι βρώματα εἰς ὁδὸν ἐπιτήδεια, παρὰ τὸ ἰέναι κατ' ἔλλειψιν τοῦ ἐξ ἀρχῆς ῑ διὰ τὸ εὐφωνότερον. κεῖται δέ που ἡ λέξις καὶ ἐπὶ ἁπλῶν βρωμάτων παρὰ τῷ ποιητῇ, ἔτι καὶ ἐπὶ ἀχύρων, ἃ 35

καὶ αὐτὰ λέγεται οὕτως. ἢ ὡς ἁπλῶς βρώματα ζώων δηλαδή. ἢ παρὰ τὸ λέναι ὡς κοῦφα καὶ οἷα κινεῖσθαι πάσῃ πνοῇ. εἰ δὲ καὶ ῥῆμά ἐστιν ἤϊα δηλοῦν τὸ ἐπορευόμην, ὡς τὸ ἤϊα γυνόμενος, ἑτέρου τοῦτο λόγου. οἱ δὲ παλαιοὶ φασι καὶ τοιαῦτα ἤϊα κυρίως κατὰ Ἐρατοσθένην ὀσπρίων καλάμους, καὶ δισυλλάβως ἐν συναιρέσει ἦα, ὡς καὶ Φερεκράτης

τὴν γαστέρ' ἤων καὶ ἀχύρων σεσαγμένους.

Ὅμηρος δὲ τὰ ἁπλῶς βρώματα.

Ἤϊεν ἐς κλισίην, τοῦτ' ἔστιν ἐπορεύετο. ἐκ τοῦ εἴω ἐνεστῶτος, οὗ συναίρεσις τὸ εἶω.

72b Ἠλάσκω σημαίνει τὸ ἐπὶ τοῦ αὐτοῦ τόπου πλανᾶσθαι, οἷον,

αἵτε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν.

ἔστιν ἀλῶ τὸ πλανῶ. ἐκ τούτου γίνεται ἀλάσκω, ὡς γηρῶ γηράσκω καὶ ἠλάσκω κατὰ τροπήν. ἀπὸ δὲ τοῦ ἠλάσκω καὶ ἠλασκάζω καὶ ἀλασκάζω, ὡς κύπτω κυπτάζω, ῥίπτω ῥιπτάζω, ἀκούω ἀκουάζω.

Ἠλεύατο. ἐξέκλινεν, ἐξέφυγεν. ἔστι καὶ ἀλεύατο. Ὅμηρος, καὶ ἀλεύατο κῆρα μέλαιναν. ἀλέω κυρίως τὸ ἀπὸ ψύχους εἰς θέρμην ἐκφεύγω. ἀλέα γὰρ ἡ θέρμη, καὶ ὡς χέω χεύω, θέω θεύω, οὕτως ἀλέω ἀλεύω πλεονασμῷ τοῦ ῡ, ἀλεύσω ἤλευσα, ἀποβολῇ τοῦ σ̄ ἤλευα, ὁ μέσος ἀόριστος ἠλευάμην ἠλεύω ἠλεύατο καὶ συστολῇ ἰωνικῇ ἀλεύατο.

Ἤλθοσαν. ἐκ τοῦ ἦλθον τρίτου προσώπου τῶν πληθυντικῶν γίνεται ἦλθοσαν. οἱ γὰρ Ἴωνες ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ̄ ὀξύτονον ποιοῦσιν ἰσοσύλλαβον τὸ τρίτον τῶν πληθυντικῶν τῷ πρώτῳ προσώπῳ, οἷον ἦλθομεν ἤλθοσαν. ἐπὶ δὲ τῶν ἐχόντων τὴν μετοχὴν εἰς σ̄ ὀξύτονον ποιοῦσιν ἐνδειαν, οἷον ἐκοσμήθημεν ἐκόσμηθεν.

Ἤλευθα. παρὰ τὸ ἐλεύθω ὁ μέλλων ἐλεύσω, ὁ παρακείμενος ἦλευκα, ὁ δεύτερος ἀόριστος ἦλυθον, καὶ ἐν συγκοπῇ ἦλθον. καὶ πῶς γίνεται ἦλθοσαν; οἱ γὰρ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ̄ μετ' ὀξείας ποιοῦσιν ἔνδειαν, ἐκοσμήθημεν ἐκόσμηθεν. καὶ Ὅμηρος, αὐτὰρ ἐπεὶ κόσμηθεν.

Ἠλάσκειν. γίνεται μὲν ἐκ τοῦ ἄλω, δηλοῖ δὲ τὸ πλανᾶσθαι, καὶ καλῶς εἴρηται ἐπὶ νηῶν. πλανῶνται γάρ πως ἀεὶ πετόμεναι.

Ἠλεὲ εἴληπται μὲν ἀντὶ τοῦ ἠλίθιε, πεπλανημένε τὸν νοῦν, οἱονεὶ ἀλεὲ παρὰ τὴν ἄλην. εὕρηται δὲ ἐν Ἰλιάδι καὶ δισύλλαβον ἐν τῷ, φρένας ἠλὲ διέφθορας. καὶ οὐκ ἔστι διακρῖναι εἴτε πρωτότυπον μὲν ὁ ἠλὸς, ἐξ οὗ κατ' ἐπένθεσιν ὁ ἠλεὸς, ὡς κενὸς κενεὸς, εἴτε ἀνάπαλιν προτερεύει ὁ ἠλεὸς, ἐξ αὐτοῦ δὲ συγκέκοπται ὁ ἠλός.

Ἠμαθόεις. παρὰ τὸ ἄμαθος ἀμαθόεις καὶ ἰωνικὸν ἠμαθόεις ἠμαθόεντος. 73 a

Ἥμάλαψεν. ἔλαψεν, ἐρόφησε, κατέπιεν. παρὰ τὸ ἅμα λάπτειν ἀμαλλάπτω μεταφορικῶς ἀπὸ τῶν κυνῶν. Λυκόφρων,

ἐκ ποντίου λέοντος ὃν ποτε γνάθοις
Τρίτωνος ἡμάλαψε κάρχαρος κύων.

Ἤμβροτεν. ἁμαρτῶ ἁμαρτήσω ἡμάρτηκα ἥμαρτον καὶ ὑπερθέσει τοῦ ρ̄ καὶ πλεονασμῷ τοῦ β̄, διὰ τὸ ἀμετάβολον ἀμεταβόλου μὴ προηγεῖσθαι ἐν συλλήψει καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ ἤμβροτον ἥμβροτε. κυρίως δὲ ἀποτυχεῖν.

Ἥμενον. καθεζόμενον. ἕω ἕημι ἕεμαι ἧμαι, ἥμενος καθήμενος.

Ἡμῖν. ἄμμιν γὰρ λέγουσιν οἱ Αἰολεῖς βαρυτόνως καὶ συστέλλουσι τὸ ῑ̆. ἧμιν δὲ λέγουσιν οἱ Ἴωνες προπερισπωμένως καὶ συστέλλουσιν. οἷον

ὦ φίλοι οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι.

καὶ ἁμὶν λέγουσιν οἱ Δωριεῖς συστέλλοντες τὸ ῑ, καὶ ὀξύνουσι.

Ἤμην ὅτε δασύνεται, σημαίνει τὸ ἐκαθεζόμην, ἀπὸ τοῦ ἕω ἧμι ἕεμαι ἧμαι ἥμην καὶ ἐκαθήμην. ὅτε δὲ τὸ ὑπῆρχον σημαίνει, ψιλοῦται, ἀπὸ τοῦ εἰμὶ ὁ παθητικὸς ἐνεστὼς ἔμαι, ὁ παρατατικὸς ἥμην. ἰστέον δὲ ὅτι τὸ ἥμην ἐπὶ τοῦ ὑπῆρχον ἀπηγόρευται. λέγεται δὲ ἦν. χρῶνται δέ τινες τούτῳ τῶν νεωτέρων, οἷον·

ἥμην πότ', ἥμην τῶν σφριγώντων ἐν λόγοις.

Ἡμί. ἀπὸ τοῦ φημὶ γέγονεν ἀττικῶς ἠμὶ τὸ λέγω, ἐξ οὗ ἦ. ἦ ῥᾳ καὶ ἀπεπαλὼν, ἀντὶ τοῦ ἔφη.

Ἡμικύκλιον. τὰ εἰς υς λήγοντα ὁπότε μὴ ἀπὸ γενικῆς, ἀπὸ δὲ εὐθείας συντεθῶσιν, ἀποβολῇ τοῦ σ τὴν σύνθεσιν ποιεῖται, βραδὺς βραδύηκος, ὀξύηκος, ταχύποτμος, ὠκύμορος, θηλύμορφος, πρεσβυγενής. οὕτως οὖν καὶ εἰ ἐστὶν ἥμισυς, ὤφειλεν ἡμισυμέδιμνον καὶ ἡμισυκύκλιον, ἀλλὰ κατὰ συγκοπὴν ταῦτα γεγόνασι. ὁμοίως καὶ τὸ ἡμίθεος καὶ ἡμίφωνος.

Ἥμος. τοῦτο μὲν παρ' Ἴωσι ψιλοῦται καὶ οὐχ ὑποτάσσει, παρὰ δὲ Ἀττικοῖς δασύνεται καὶ ὑποτάσσει. παρ' αὐτοῖς δὲ ὑποτάσσει καὶ ὁ ὅτε καὶ ὁ μέν.

73b Ἠμύω καὶ ἤμυσεν. ἔστι μύω καὶ πλεονασμῷ τοῦ η ἠμύω. ὁ δὲ Ἡσίοδος ἀμύω εἶπε διὰ τοῦ ᾱ, οἷον ἀμύοντα χαμάζε. καὶ μήποτε κατ' ἔκτασίν ἐστι τὸ ἠμύω, καὶ ἔστιν εἰπεῖν ὅτι ὥσπερ τὸ σταφὶς γίνεται κατὰ πλεονασμὸν τοῦ ᾱ ἀσταφὶς, λέγεται δὲ καὶ μετὰ τοῦ ο ὁ σταφὶς, οὐ λέγομεν δὲ ὅτι ἐτράπη τὸ ᾱ εἰς ο, ἀλλ' ἄμφω κατὰ πλεονασμὸν γεγόνασι, τὸ μέν τοι ᾱ, τὸ δέ τοι ο, οὕτως καὶ ἐπὶ τοῦ ἀμύει οὐ λέγομεν ὅτι κατ' ἔκτασιν γίνεται ἠμύει, ἀλλὰ καὶ τὸ η πλεονάζει καὶ τὸ ᾱ.

Ἦν. ἀντὶ τοῦ ἥμην. Εὐριπίδης, νεώτατος δ' ἦν Πριαμιδῶν. καὶ ἦν ἀντὶ τοῦ ὑπῆρχεν ἐκεῖνος. γέγονε δὲ ἦν ἐγὼ οὕτως. ἔστι ῥῆμα εἰμὶ, ὁ παρατατι-

κὸς εἶν, καὶ ἀττικῶς ἐκτείνεται τὸ ε̄ εἰς η̄ καὶ γίνεται ἦν χωρὶς τοῦ ῑ. τούτου δὲ τοῦ ἦν τὸ δεύτερον ἧς καὶ κατ' ἔκτασιν ἦσθα. τὸ δὲ ἦν ἐκεῖνος ἔστι τρίτον πρόσωπον παρατατικοῦ. ὁ ἐνεστὼς ἔω τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦον, ὡς ἐλέγχω ἤλεγχον, τὸ δεύτερον ἦες, τὸ τρίτον ἦε, προσλαμβάνει τὸ ν̄ καὶ γίνεται ἦεν. καὶ συναιρέσει τοῦ η̄ καὶ ε̄ εἰς τὸ αὐτὸ η̄, ὥσπερ ἡ ἐμὴ ᾿ημὴ, γίνεται ἦν, καὶ μένει τὸ ν̄ τῆς συναιρέσεως γενομένης. οὐ γὰρ πειστέον τοῖς λέγουσιν ὅτι ὁ δεύτερος ἀόριστος ἐστὶ, διὰ τὸ τὴν ἐὼν μετοχὴν ὀξύνεσθαι. ἐνεστὼς γάρ ἐστι τὸ ἐὼν καὶ σεσημειωμένον κατὰ τὸν τόνον. τοῦτο δὲ τὸ ἦν τετραχῶς λέγεται. λέγεται γὰρ καὶ ἦν καὶ ἔην καὶ ἦεν καὶ ἦην. καί κε πάλαι ἐνθάδ' Ὀδυσσεὺς ἦην. καὶ ὡς δ' ὅταν ἀῖξῃ νόος ἀνέρος φρεσὶ πευκαλίμησι νοήσῃ ἔνθ' εἴην, ἢ ἔνθα ἦεν, καὶ ὑπερθέσει ἔην. ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ἦν πρώτου προσώπου τὸ δεύτερον ἧς συ ἀναλόγως, τροπῇ τοῦ ν̄ εἰς σ̄. ζητοῦμεν δὲ πόθεν τὸ ἦν ἐκεῖνος τρίτον γέγονεν, καὶ λέγομεν ὅτι ἀπὸ τοῦ ἦν πρώτου προσώπου τὸ δεύτερον ἧς, τὸ τρίτον ἦ ὤφειλεν ἐκβολῇ τοῦ σ̄. καὶ λέγομεν ὅτι τὸ ἦν τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου οὐκ ἔστιν ἀπὸ τοῦ εἰμὶ, ὡς τὸ ἦν ἐγὼ πρῶτον τοῦ παρατατικοῦ, ἀλλ' ἀπὸ τοῦ ἦον δευτέρου ἀορίστου τοῦ ἀπὸ τοῦ ἔω ἐνεστῶτος, συναιρέσει τοῦ η̄ καὶ ε̄ εἰς τὸ αὐτὸ γιγνόμενον. εὑρίσκεται οὖν τὸ ἦν ἐκεῖνος τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου λαμβανόμενον τοῦ ἦν ἐγὼ παρατατικοῦ τρί- 74 a
τον πρόσωπον.

Ἦν ἀντὶ τοῦ ἐὰν κράσει τοῦ εᾱ εἰς η̄ ῆν, οἷον ἦν δὲ μηκυνθῇ λόγος.

Ἠνεμόεσσα. ἄνεμος, ἀνεμόεις ἀνεμόεσσα ἠνεμόεσσα.

Ἠνίπαπεν. ἐνέπω καὶ ἐνίπω ἐνίψω ἤνιφα ἤνιπα ἤνιπε καὶ πλεονασμῷ τῆς πᾱ ἠνίπαπεν.

Ἠνεσχέθην. σχῶ σχήσω ἔσχηκα ἔσχημαι ἐσχήθην, συστολῇ τοῦ η̄ εἰς ε̄ ἐσχέθην, μετὰ τῆς ἀνά ἀνασχέθην ἠνεσχέθην.

Ἤνδανε. ἥδω τὸ εὐφραίνομαι, κατὰ παραγωγὴν ἡδάνω ἀττικῶς, προσθέσει τοῦ ν̄ ἡνδάνω.

Ἠνιξάμην πρὸς τὸ σημαινόμενον εἴτε ἀπὸ τοῦ ἐνίσσω τοῦ σημαίνοντος τὸ κακολογῶ, εἴτε ἀπὸ τοῦ γραφομένου διὰ τῆς αῑ διφθόγγου καὶ σημαίνοντος τὸ ἐν περιβολῇ λέγω.

Ἦνις. ἐνιαυσιαῖας. ἔστιν ἔνος ὁ ἐνιαυτὸς, ἀφ' οὗ παρώνυμον ἔνις καὶ κατ' ἔκτασιν ἦνις. κλίνεται ἤνιος, ὡς ὄφις. τὸ πληθυντικὸν ἤνιαι καὶ κατὰ συναλοιφὴν ἦνις, τὰς ἑνὸς οὔσας ἐνιαυτοῦ.

Ἤντετο σημαίνει τὸ ἐπέκειτο, ἢ μᾶλλον ὑπήντετο, ἄντω ἄντομαι ἠντόμην ἤντετο. εὕρηται καὶ οὕτως. ἔω τὸ ἐνδύομαι, παράγωγον ἔημι ἥσω, ὁ δεύτερος ἀόριστος ἦν, ὁ μέσος ἔμην ἔσο ἕτο, καὶ προσθέσει τῆς ἐν καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ καὶ πλεονασμῷ τοῦ τ̄ ἤντετο. διὸ καὶ ψιλοῦται. ἰστέον δὲ ὅτι οἱ παλαιοὶ θώρακας ἐφόρουν, ἕνα μὲν ἀπὸ τοῦ ὤμου μέχρι τοῦ ὀμφαλοῦ, ἕτερον δὲ ἄχρι τῶν γουνάτων, ὃς ζῶμα ἐκαλεῖτο. οὕτως δὲ ᾠκονόμητο εἰς τὸ ῥᾳδίως κύπτειν εἰς γῆν.

Ἥνδανεν δασύνεται, ὡς δηλοῖ καὶ ἐν τῇ τραγῳδίᾳ τὸ ἀφανδάνοντα. γίνεται δὲ ἐκ τοῦ ἥδω κατὰ παραγωγὴν ἡδάνω, καὶ τροπῇ τοῦ η̄ εἰς ᾱ καὶ πλεονασμῷ τοῦ ν̄ ἀνδάνω. τὸν ὅμοιον δὲ τρόπον γίνεται καὶ ἐκ τοῦ λήθω λανθάνω, καὶ μήθω μανθάνω, καὶ λήχω λαγχάνω, καὶ δήκω δαγκάνω. ἐξ οὗ Ἡρακλείδης συγκεκόφθαι φησὶ τὸ δάκνω κατά τινας, οἳ εἶναί φασιν αἰολικόν. ἔτι δὲ καὶ ἀττικὰ βαρύτονα ῥήματα συγκόπτεται, οἷον ἀγείρω ἄγρω ἀγρόμενος, ἐγείρω ἔγρω, 74b ἔγρετο δὲ Ζεύς. ὀφείλω ὄφλω, ἵνα εἴη οὕτω καὶ δαγκάνω δάκνω. αὐτὸς μέντοι ἐκ τοῦ δήκω πεποιῆσθαί φησι τοῦτο δυσὶ διαλέκτοις, δωρίδι καὶ ἰάδι. οἷ

τε γὰρ Δωριεῖς προστιθεῖσί, φησι, τὸ ν̄, οἵ τε Ἴωνες βραχύνουσι τὸ η̄ διὰ τοῦ α, ὡς καὶ ἡ μεσημβρία δηλοῖ, καὶ ἡ πάρη ἤγουν ἡ πήρη, καὶ τὸ λελακυῖα. καὶ τοιοῦτον μὲν τοῦτο. εἰ δὲ τὰ προδρηθέντα ἐξ ὑποτακτικῶν κατὰ τινὰς γίνονται, τοῦ ἄδω λάθω μάθω λάχω δάκω, εἴη ἂν αὐτοῖς ὅμοια καὶ τὸ φύγω φυγγάνω, τύχω τυγχάνω, θίγω θιγγάνω, πάθω πανθάνω, ἐρύγω ἐρυγγάνω.

Ἠνιοχεύειν ἐκ τοῦ ἡνιοχέειν γίνεται πλεονασμῷ τοῦ ῡ αἰολικῶς, ὡς καὶ τὸ ζητέω ζητεύω παρ' Ἡσιόδῳ καὶ ὅσα τοιαῦτα. ἐκ δὲ τοῦ ἡνιοχεύειν καὶ ἡνιοχεία καὶ ἡνιοχεὺς γίνεται.

Ἠνίπαπε πλεονασμὸν ἔχει ποιητικόν. τὸ γὰρ κοινὸν ἤνιπα μέσος παρακείμενος τοῦ ἐνίπω.

Ἦν ἀντὶ τοῦ ὑπῆρχον, ἐν πρώτῳ προσώπῳ προσφυῶς ἔχει τὸ ν̄ κατὰ συγκοπὴν τοῦ ἦον, ὅπερ ἐστὶν ὑπῆρχον. τὸ δὲ τρίτον οὐχ οὕτως ἔχει κατὰ τὸν Ἡρακλείδην λόγον ἔχοντα οὕτως. τοῖς εἰς βραχὺ περαιουμένοις, εἶτα συναιρεθεῖσι τοιούτοις προσώποις οὐκ ἔτι μετουσία τοῦ ν̄ ἐστὶν, ὥστε ἐν τῷ ἦον ἦες ἦε καὶ συναιρέσει ἦν οὐκ ὀρθῶς ἔχει ἡ προσέλευσις τοῦ ν. καινὸν δέ φησι καὶ τὸ ἤσκειν ἤρια καλά, διαλυθὲν γὰρ εἰς τὸ ἤσκεεν πῶς προσλήψεται τὸ ν, ὅπου γε οὐδεὶς παρατατικὸς εἰς ν̄ περατοῦται ἐν ἐνικῷ παρ' Ἕλλησιν. ἐτέρωθι δὲ λέγει ὁ αὐτὸς καὶ ὅτι ὥσπερ τὸ κυέε τυρὸν ἤγουν ἔκνεεν, ἔκοπτεν, εἰς τὸ η̄ συναιρεθὲν, οἷον κυῆ τυρὸν ἐν Ἰλιάδι, οὐκ ἔτι σὺν τῷ ν̄ ἐξηνέχθη, οὕτως οὐδὲ τὸ ἦ μετὰ τοῦ ν̄ γραφήσεται, ἀλλὰ δηλαδὴ δίχα τοῦ ν̄, κἂν σημαίνει τὸ ὑπῆρχεν, ἀπὸ τοῦ εε δηλονότι. καὶ οὕτω μὲν κατέστησεν ὁ σοφὸς τὴν τοιαύτην γραφήν. ἔστι δὲ ἄλλως καὶ μετὰ τοῦ ν̄ νοῆσαι τὸ ἦν δωρικῶς ἅμα καὶ ἀττικῶς κατὰ τὸν αὐτὸν Ἡρακλείδην εἰπόντα οὕτω· τὸ παρ' ἡμῖν ἔπλει καὶ ἔῤῥει παρὰ μὲν τοῖς Ἴωσιν ἔπλεεν ἔῤῥεεν, ὡς τῆς ει διφθόγγου τεμνομένης παρ' αὐτοῖς

75a εἰς ἄμφω ταῦτα. παρὰ δὲ Δωριεῦσιν, ὧν τῇ διαλέκτῳ καὶ οἱ ἀρχαῖοι Ἀττικοὶ χρῶνται, τὰ τοιαῦτα δύο ε εἰς ῆν συναιρεῖται. τὸ γὰρ ἔπλεεν ἐρρέεν ἔπλην καὶ ἐρρήν παρ' αὐτοῖς. εἰ τοίνυν τοῦτο δέδοται, τί κωλύει κατὰ τὸ ἔπλεεν ἐρρέεν δωρικῶς ἔπλην ἐρρήν, οὕτως εἶναι καὶ ἦν ἦν περισπωμένως μέντοι διὰ τὸ τοῦ ῥήματος μονοσύλλαβον, χαιρέντων τῇ δωρικῇ φωνῇ καὶ τῶν Ἀττικῶν, οἳ καὶ τὸ Δάματερ δωρικὸν ὂν φιλοῦσι λαλεῖν, ὅτε τι θαῦμα πρόκειται, ὡς καὶ ὁ τοῦ κωμικοῦ Πλούτος δηλοῖ. ἔτι ἰστέον ὅτι τὸ εἰρημένον ἦν ἐπὶ τρίτου ἑνικοῦ προσώπου ὁ Ἀλκμᾶν ἧς λέγει μετειλημμένου τοῦ ν εἰς σ δωρικῶς, ὡς ὁ Ἡρακλείδης παραδίδωσιν. ἔστι δὲ αὐτοῦ χρῆσις καὶ παρὰ τῷ βουκολιαστῇ, ὡς καὶ ἐν τῷ πεποιήκαμεν καὶ λέγομεν καὶ τοῖς ὁμοίοις τρέπουσι τὸ ν εἰς σ οἱ Δωριεῖς, λέγοντες πεποιήκαμες, λέγομες καὶ τὰ ἄλλα ὡσαύτως δηλοῦσιν οἱ χρησάμενοι. τὸ δὲ παρ' Ἡσιόδῳ, τῆς δ' ἦν τρεῖς κεφαλαί, ἀντὶ τοῦ ἦσαν, Βοιωτῶν λέγεται γλώσσης εἶναι, οἳ ἑνικὰ ῥήματα πληθυντικοῖς ὀνόμασι συνέταττον.

Ἠπεδανὸς σημαίνει τὸν ἀσθενῆ, παρὰ τὸ πέδον, ὃ σημαίνει τὴν γῆν, πεδανὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἀπεδανὸς καὶ ἠπεδανὸς, ὁ ἐκ τῆς πέδου ἀναστῆναι μὴ δυνάμενος δι' ἀσθένειαν.

Ἠπύει. φωνεῖ. παρὰ τὸ ἔπω τὸ λέγω, ἀφ' οὗ τὸ παράγωγον ἐπύω, ὡς πλήθω πληθύω, καὶ ἠπύω. ἐκ τούτου ἠπύτης ὁ μεγαλόφωνος.

Ἤραρα. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ἦρα ὁ μέσος παρακείμενος, καὶ ἀττικῶς ἄρηρα, καὶ κατὰ μετάθεσιν ἤραρα.

Ἤρεον. ὑπὸ δ' ἤρεον ἕρματα νηῶν. αἱρέω αἱρῶ, ἤρεον ἤρουν, τὸ τρίτον τῶν πληθυντικῶν ὁμοίως.

Ἤρετο. ἔρω τὸ ἐρωτῶ, ἔρομαι, ἠρόμην.

Ἤρημεν. ἠρήκαμεν, καὶ συγκοπῇ ἤρμεν.

Ἠρήρει. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων αἰολικῶς ἄρσω, ἦρκα ἦρα, ἄρηρα, ἠρήρειν. οἱ δὲ ἐκ τοῦ ἄρω τὸ ἀρέσκω καὶ ἁρμόζω λέγουσιν ἀρέω ἀρῶ ἀρέσω ἤρεκα, ἀττικῶς ἀρήρεκα, ὁ μέσος παρακείμενος ἦρα, καὶ ἀττικῶς ἄρηρα, ὁ ὑπερσυντέλικος ἠρήρειν, ὃ καὶ κατὰ συστολὴν ἰωνικὴν τοῦ η εἰς α ἀρήρειν εὕρηται.

Ἠέρθη. ἀείρω ἀρῶ ἦερκα ἦρμαι ἠέρθην. 75b

Ἥρω Δημοδόκῳ, ὅπερ ἢ ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ ἤρωϊ, ἢ ἀπὸ κλίσεως ἰσοσυλλάβου ἐστὶν ὁ ἥρως τοῦ ἥρω. τοιούτου λόγου καὶ τὸ γέλω ἔκθα-νον, καὶ μετ' ὀλίγα δὴ ἐν τῷ οἷον δόμος Ἀλκι-νόοιο ἥρως, δοκεῖ τισι τὸ ἥρως μὴ κλητικὴν, ἀλλὰ γενικὴν εἶναι συγκοπεῖσαν ἐκ τοῦ ἥρωος.

Ἤριπε. θέμα αὐτοῦ τὸ ἐρείπω, καὶ γίνεται μὲν ἐκεῖθεν τὸ ἐρείπιον. ἐκ τούτου δὲ τὸ ἐριπῶ, ὁμοίως τῷ ἔτυχον τυχῶ, ἔτυπον τυπῶ, ἔστιβον στιβῶ, ἐξ οὗ καὶ ὁ ἀστίβητος, ἔστιχον στιχῶ, ἐξ οὗ καὶ τὸ ἐστιχόωντο.

Ἥρα φέρει, ὅ ἐστιν χάριν, ὥσπερ ἐπίηρα φασὶ οἱ ὕστερον. γίνεται δὲ τὸ ἦρα κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἐρῶ ἤρανον, τὸ ἐπιθυμητὸν, ὡς κόπτω κόπανον, πληθυντικὸν ἤρανα καὶ ἀποκοπῇ ἦρα.

Ἧσθα. εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ παρατατικὸς ἦν, αττικῶς, ἦς, τροπῇ τῆς ει διφθόγγου εἰς η καὶ κατὰ προσχηματισμὸν τῆς θα συλλαβῆς ἦσθα.

Ἧσθαι. αὐτὰρ ἐμ' αὖτως ἧσθαι. ἕω ἕημι ἕεμαι ἧμαι ἕεται ἧται, καὶ τὸ ἀπαρέμφατον ἕεσθαι ἧσθαι.

Ἥσθην. ἐχάρην, ἰάνθην, ἡδέως ἔχω. ἀπὸ τοῦ ἥδω ῥήματος ὁ παθητικὸς παρακείμενος ἧσμαι, ὁ ἀό-ριστος ἥσθην ἥσθης ἥσθη. ἥσθην, ὑπῆρχον, δυϊκῶς.

Ἡσθείην. εὐφρανθείην. ἥδω ἥσω ἧκα ἧσμαι ἥσθην ἡσθεὶς ἡσθέντος ἡσθείην.

Ἤσκειν. ἀσκέω ἀσκῶ, ἤσκεον ἤσκουν ἤσκεες ἤσ-κεε, τοῦ γ' ἐφελκομένου τοῦ ν ἤσκεεν. τὸ γὰρ ν ἐφελ-

κυστικόν ἐστιν ἐν τοῖς τρίτοις προσώποις τῶν ῥημάτων. καὶ κατὰ συναίρεσιν ἦσκειν.

Ἧσε, ἀορίστου τρίτου πρόσωπον. τὸ θέμα ἄδω ἄσω, ἀόριστος ἦσα, καὶ τὸ τρίτον ἦσε ἤγουν ἔψαλλε.

Ἧισμεν. ἰστέον ὅτι ταῦτα διὰ τοῦ η γράφεται, τὸ ἦστην ἦσμεν ἦστε ἦσαν. ἔστι δὲ εἴδω τὸ γινώσκω, ὁ ὑπερσυντέλικος ᾔδειν, τὸ δυϊκὸν ἤδειτον ἠδείτην, καὶ συγκοπῇ τῆς ει διφθόγγου καὶ τροπῇ τοῦ δ εἰς σ ἤστην, οἷον

τῷ δ' ἄρ οὐδὲν ἦστην ἄλλο πλὴν δάκνειν.

76a τὸ πληθυντικὸν ἦσμεν ἀντὶ τοῦ ἤδειμεν, οἷον, εἰ δὲ μὴ Φρυγῶν πύργους πεσόντας ἦσμεν. καὶ ἦστε ἀντὶ τοῦ ἤδειτε καὶ ἦσαν ἀντὶ τοῦ ἤδεισαν. Εὐριπίδης Ῥήσῳ, οὐδ' ἀφιγμένον τὸ πάμπαν ἦσαν.

Ἥσσων ἀπὸ τοῦ ἅμα καὶ ἶσος ἄμισυς καὶ τροπῇ ἥμισυς, τὸ συγκριτικὸν ἡμισύτερος, ὁ δεύτερος τύπος ἡμισίων, ὁ τρίτος ἥσσων καὶ ἀττικῶς ἥττων.

Ἕστο. ἐκαθέζετο. ἢ ἐκ τοῦ ἕζω τὸ καθέζομαι, ἢ ἐκ τοῦ ἕω, ὃ σημαίνει τὸ αὐτό, ἕω ἧκα ἧσμαι ἥσμην ἧσο ἧστο.

Ἧστην ἀντὶ τοῦ ὑπῆρχον. εἰμὶ, εἶν ὁ παρατατικὸς, τὸ δυϊκὸν ἔστον ἔστην, τροπῇ τοῦ ε εἰς η ἧστην. οἷον

ἄμφω γὰρ ἔστην τὴν ὁδὸν ποιουμένω.

Ἡσθῆσθαι. νοεῖσθαι, αἰσθάνεσθαι, ἀπὸ τοῦ αἴσθω, ὃ δηλοῖ τὸ αἰσθάνομαι, ὁ μέλλων αἰσθήσω, ὁ παρακείμενος ἤσθηκα, ὁ μέσος ἧσθα, ὁ δεύτερος ἀόριστος ἧσθον, ὁ μέσος παθητικὸς δεύτερος ἀορίστος ἡσθόμην, τὸ δεύτερον πρόσωπον ἥσθου, τὸ τρίτον ἥσθετο, καὶ τὸ ἀπαρέμφατον ἡσθῆσθαι.

Ἧσθα. ἰστέον ὅτι Σικελῶν κατὰ τὴν Ἡρακλείδου παράδοσιν τὸ ε ᾧ ἕπεται τὸ σ μετατιθέντων εἰς ι, οἷον ἑστία ἱστίη. δοκεῖ τὸ ἔσθω ἡμαρτημένον εἶναι, γενόμενον μὲν ἀπὸ τοῦ ἔθω προσλήψει τοῦ σ,

μὴ τρέψαν δὲ τὸ ε εἰς ι κατὰ τὸ ἔχω ἴσχω καὶ τὰ ὅμοια. αὐτὸ δὲ ἔθω, οὗ χρῆσις ἐν τῷ, ἔθων οἰνῆος ἀλωὴν, ἀπὸ τοῦ ἔδω λέγει ὁ Ἡρακλείδης παρεῖχθαι Δωριέων ἔθει, οἳ φασι καὶ τὸν μαδὸν μαστὸν λέγουσι, καὶ τὸ ψεῦδος ψύθος ἄραντες τὸ ε.

Ἦτορ. ἡ ψυχή. παρὰ τὸ ἄω τὸ πνέω. καὶ γὰρ πνεῦμα ψυχή. οἷον, δίχα δέ σφισιν ἐνὶ φρεσὶ θυμὸς ἄητο. γίνεται ἄητορ καὶ ἀφαιρέσει τοῦ α ἦτορ. ἢ ὡς παρὰ τὸ φέρω γίνεται φὼρ ὁ ληστὴς κατὰ ἔκτασιν τοῦ ο εἰς ω, καὶ μετὰ τοῦ στερητικοῦ α ἄτορ καὶ ἦτορ, ὥστε κυρίως ἐπὶ τῆς ἀφόβου ψυχῆς καὶ μὴ ὑποδεχομένου τρῶσιν τετάχθαι.

Ἤτω. εἰμὶ, ἦν ὁ παρατατικὸς, εἷς ἔντος, ἔθι ἔτω καὶ τροπῇ ἤτω. ἢ οὕτως. εἰμὶ, ἦν ἦς ἦ, τὸ προστακτικὸν ἦ, τὸ τρίτον ἤτω, ὡς τὸ ἐπίστη. 76b

Ἠτήκει. αἰτῶ τὸ ζητῶ, ὁ μέλλων αἰτήσω, ὁ παρακείμενος ἤτηκα, ὁ ὑπερσυντέλικος ἠτήκειν ἠτήκεις ἠτήκει.

Ἠτίμησεν. ὅρα ὅτι οὐ κατὰ τοὺς ὕστερον λέγει ἀτιμῶ ἀτιμώσω ἐν τρίτῃ συζυγίᾳ, ἀλλὰ ἀτιμήσω κατὰ δευτέραν συζυγίαν, ὡς καὶ ἀλλαχοῦ φανήσεται.

Ἠύρω. ἀόριστος ἠυράμην ἠύρω καὶ ἐν συνθέσει ἀπηύρω. ὤφειλεν οὖν ἀφηύρω εἶναι. ἀλλ' ἔστιν εἰπεῖν ὅτι ἰωνικόν ἐστιν. οἱ δὲ Ἴωνες ψιλωταί. ἀπηλιώτης γάρ φασιν ἄνεμος ἀντὶ ἀφηλιώτης, ἀπὸ τοῦ ἡλίου πνέων, δηλονότι ὁ καλούμενος ἀνατολικὸς, καὶ ἀντ' ἄδου ἀνθ' ἅδου. οὕτως οὖν ἀπηύρω, οὗ τὸ θέμα εὔρω εὑρῶ ἧυρα, ὁ μέσος ἠυράμην ἠύρω.

Ἤϋσεν. ἐφώνησεν. αὔω τὸ φωνῶ, αὔσω, διαλύσει ἀΰσω, ἠῦσα καὶ ἤϋσα, ἠῦσε καὶ ἤϋσεν. Ὅμηρος

σμερδαλέως κονάβησεν ἀϋσάντων ὑπ' Ἀχαιῶν.

Ἥφαιστος ὅ τε θεὸς καὶ τὸ πῦρ, παρὰ τὸ ἅπτω ἅψω, ἄψαυστός τις ὤν. τοῦ γὰρ πυρὸς οὐκ ἔστιν ἅψασθαι. ἢ παρὰ τὸ ἅπτω καὶ τὸ αἴθω, ὃ οὗ ἂν ἅψεται,

κατακαίει αὐτό. ἢ ἀπὸ τοῦ τὰ ἅπτοντα καὶ διεγείροντα αὐτὸ κατακαίειν καὶ ἀφανίζειν.

Ἦχος παρὰ τὸ χέω μετὰ τοῦ ἐπιτατικοῦ ᾰ ἄχος καὶ ἦχος, ἡ εἰς ἀέρα χεομένη φωνή.

Ἠὼς διαλέκτου Ἰώνων. τὸ δὲ ἕως Ἀττικῶν. Δωριέων δὲ τὸ ἀώς. Αἰολέων δὲ τὸ αὔως.

Θ.

77 a Θαάσσων. ἐκ τοῦ θοῶ γίνεται θοάζω καὶ τροπῇ τοῦ ζ εἰς δύο σσ θοάσσω καὶ τροπῇ τοῦ ο εἰς α θαάσσω καὶ θαάσσων.

Θάλασσα. παρὰ τὸ σάλον σάλασσα καὶ θάλασσα. ἢ παρὰ τὸ ἅλς ἁλὸς ἅλασσα καὶ θάλασσα. ἢ παρὰ τὸ ἄσσον εἶναι θανάτου θάνασσα καὶ θάλασσα.

Θάπτω. ὡς παρὰ τὸ βῶ τὸ βάπτω, οὕτως καὶ παρὰ τὸ θιθῶ γίνεται τὸ θάπτω. ἄϊδιον γὰρ ἀπόθεσιν οἱ θαπτόμενοι ἔχουσιν.

Θάασσεν, ἤτοι ἐκάθητο. ἐξ οὗ θάκος ὁ θρόνος λέγεται, ὡς ἀπὸ τοῦ θῶ ὁ θῶκος. θοάζειν μὲν γάρ φασι τὸ τρέχειν, μαίνεσθαι καὶ σκιρτᾶν. θάασσε δὲ τὸ ἐκάθητο καὶ θακεῖ, κάθηται. θάκος δίφρος, καθέδρα τις.

Θαυμανέοντες. τὸ ῥῆμα θαυμαίνω ἐκ τοῦ θαῦμα ὁμοίως τῷ ὄνομα ὀνομαίνω. εἰσὶ δὲ οἳ καὶ ἐν δυσὶ μέρεσι λόγου γράφουσι θαυμανέοντες, ἤγουν εἰς θαῦμα πορευόμενοι. οὐκ ἂν δὲ ἐπαινοῖτο ἡ τοιαύτη γραφή.

Θ καὶ τοῦ δ εἰς ἄλληλα τροπὴν Αἰολέων εἶναί φασι, οἷον τὸ οὐδὲν οὐθὲν, ἐξουδενῶ ἐξουθενῶ, μηδω μηθω, δάσος θάσος.

Θειάζω. μαίνομαι, ἢ θεόληπτος γίνομαι.

Θείομεν. ἐνθῶμεν, ἐμβάλωμεν. ἰστέον ὅτι ὁ Ἡρωδιανὸς ἥμαρτεν ἀρεσάμενος τὸ θείω ἐνεστῶτα εἶναι, ἀφ' οὗ καὶ τὸ θείομὲν. ἔστι δὲ ἐπὶ δευτέρου

ἀορίστου ἔχον διαίρεσιν καὶ πλεονασμὸν, οἷον ἐὰν θῶ καὶ διαιρέσει θέω καὶ πλεονασμῷ θείω, οἷον θείω ἀναρπάξας. εἶτα ἀκόλουθον θείωμεν, καὶ κατὰ συστολὴν θείομεν. ὅμοιον καὶ τὸ ἐὰν στῶ στείω στείωμεν καὶ κατὰ συστολὴν στείομεν, καὶ τὸ καταβείωμεν καὶ καταβείομεν. δεῦρ' ἐς τοὺς φύλακας καταβείομεν. καὶ,

μὴ ἴομεν Δαναοῖσι μαχησάμενοι παρὰ νηῶν.

καὶ,

ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντες.

ἐν ἄλλοις δὲ ἀπὸ τοῦ θῶ θείω, ὡς ὄψω ὀψείω.

Θείωσεν. ἐκάθηρεν. ἀπὸ τοῦ θεῖον θειόω θειῶ θειώσω ἐθείωσα καὶ ἰωνικῶς θείωσα.

Θεράπων. παρὰ τὸ θέω τὸ τρέχω καὶ τὸ πονῶ τὸ ἐνεργῶ. ἐτυμολογεῖται δὲ παρὰ τὸ θεραπεύειν τὸν κρείττονα.

Θέτι. ὥσπερ ἀπὸ τοῦ μῆτις μήτιδος μήτιδι 77b γίνεται μήτι, καὶ ἀποβολῇ τοῦ δ καὶ κράσει τῶν δύο ι, καὶ ἀπὸ τοῦ μήνιδι μήνι, οὕτως καὶ ἀπὸ τοῦ Θέτις Θέτιδος Θέτιδι Θέτιν Θέτι, οἷον πάντα Θέτι καλλιπλοκάμῳ.

Θεῦν σημαίνει τὸν θεόν. Θεῦν Ἄρτεμιν. θεὸν, καὶ κράσει δωρικῇ τοῦ εο εἰς τὴν ευ δίφθογγον θεῦν, ὡς ἔρεβος ἐρεβεύς.

Θεύσεσθαι. δραμεῖν. ἀπὸ τοῦ θέω θεύσω θεύσομαι θεύσεται θεύσεσθαι.

Θέρμετο πρωτότυπόν ἐστι τοῦ θερμαίνεσθαι.

Θεοπρόπος μὲν ἁπλῶς ὁ μάντις, θεοπροπία δὲ ἡ τέχνη αὐτοῦ, θεοπρόπιον δὲ τὸ χρησμῴδημα, ὃ καὶ λόγιον ἔλεγον οἱ Ἀττικοί.

Θεμιστεύειν. πρωτότυπον τὸ θεμίσσω, ἐξ οὗ καὶ παρὰ Παυσανίᾳ τὸ θεμισσέτω τοῦτ' ἔστι νομοθετείτω, δικαζέτω, καὶ ἡ θέμις, ἧς γενικὴ δωρικὴ θέ-

μιστος, καὶ ἀπ' αὐτῆς τὸ θεμιστεύειν. ὅτι δὲ θέμιστες οὐ μόνον δίκαι, ἀλλὰ καὶ μαντεῖα καὶ βουλαὶ, δῆλον ἐκ τῶν παλαιῶν.

Θηγάνει. παρὰ τὸ θήγω τὸ ἀκονῶ, θηγάνω τὸ ταὐτό. τὸ δὲ θήγω παρὰ τὸ θοῶ θοήγω καὶ θήγω, τοῦτ' ἔστιν τὸ θοὸν ὀξὺ ποιῶ. ἐγὼ δὲ θόωσα παραστάς.

Θηεῦντο. ἐθαύμαζον, ἐθεῶντο. θέω, ὁ ἀόριστος β' ἔθεον, ὁ μέσος ἐθεόμην ἐθέοντο, καὶ ὑπερθέσει θεέοντο, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ καὶ κράσει δωρικῇ τοῦ εο̄ εἰς τὴν εῡ δίφθογγον θηεῦντο. ἔστι καὶ ἐκ τοῦ ἐθεοῦντο ἐθεῶντο τροπῇ δωρικῇ τῆς οῡ εἰς ω̄, ὡς Θεόκριτος, χρήσδεις ὧν ἐσιδεῖν ἀντὶ τοῦ οὖν. ἢ οὕτως· ἐθεοῦντο ἀφαιρέσει τοῦ ε̄ καὶ τροπῇ τοῦ δευτέρου ε̄ εἰς η̄ καὶ διαλύσει ἰωνικῇ τῆς οῡ εἰς εο̄ καὶ κράσει δωρικῇ τοῦ εο̄ εἰς τὴν εῡ δίφθογγον θηεῦντο, ὡς σοῦ σέο σεῦ. ἢ οὕτως· θεάω θεῶ, θεάομαι θεῶμαι, ἐθεαόμην ἐθεώμην ἐθεῶντο, τροπῇ δωρικῇ τοῦ ω̄ εἰς τὴν οῡ ἐθεοῦντο, ἀφαιρέσει τῆς ἀρχούσης καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ καὶ συναιρέσει τοῦ εο̄ εἰς τὴν εῡ δίφθογγον θηεῦντο.

Θησαίατο. θεασαίμην θεάσαιντο, καὶ θησαίατο ἰωνικῶς.

78 a Θηήσαντο. ἐθεασάμην ἐθεάσαντο, καὶ ἀφαιρέσει ἰωνικῇ τοῦ ε̄ καὶ τροπῇ τοῦ ε̄ καὶ ᾱ εἰς η̄ θηήσαντο.

Θῆσθαι. θάω θῶ τὸ θηλάζω, θάομαι θῶμαι, θάεται θᾶται, θάεσθαι θᾶσθαι, καὶ θῆσθαι, ὡς χρῆσθαι.

Θῆσσα. ὡς πείθω πείσω πεῖσσα ὁ σταθμὸς, καὶ βῶ βήσω βῆσσα ὁ τοῦ ὄρους βάσιμος τόπος, οὕτως θῶ θήσω θῆσσα, ἡ μισθωτὸς καὶ πενιχρά. οἱ δὲ ἐκ τῆς θήσσων θήσσοντος μετοχῆ, τὸ θηλυκὸν θήσσουσα καὶ θῆσσα.

Θνήσκω. ἔθανον θάνω θανῶ, καὶ θνήσκω θνήσω. προσγράφεται δὲ τὸ ῑ ἴσως ἐκ τοῦ λέγειν τοὺς Αἰολεῖς θναίσκω διὰ τῆς αι διφθόγγου.

Θνητός. ἔθανον θανῶ θνήσω θνητός. τὸ ἔθανον δὲ ἐκ τοῦ θείνω τὸ τύπτω, θενῶ, ἔθεινα, ὁ β΄ ἀόριστος ἔθανον.

Θοὸς, ὁ ταχὺς, παρὰ τὸ θέω τὸ τρέχω θοὸς καὶ θοή. διότι ὥσπερ ἀπὸ τοῦ πλόος γίνεται πλοῦς, μὴ καὶ ἀπὸ τῆς γόος γοῦς, καὶ θόος θοῦς; καὶ περὶ μὲν τοῦ γόος ἐστὶν εἰπεῖν ὅτι τὰ εἰς οος δισύλλαβα οὐκ ἔχει ῥῆμα παρακείμενον τῆς β΄ συζυγίας τῶν περισπωμένων, οἷον γοῶ γοᾷς, τούτου χάριν, ὥσπερ ἐναλλάξαν ἀπὸ τῶν ἄλλων παρήλλαξε καὶ κατὰ τὸ μὴ κιρνᾶσθαι. περὶ δὲ τοῦ θόος ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ τὰ διὰ τοῦ οος δισύλλαβα πάντα βαρύνονται, τοῦτο δὲ μόνον ὀξύνεται, ὥσπερ ἀλλάξαν κατὰ τὸν τόνον διήλλαξε καὶ παρὰ τὴν κλίσιν, ἄλλως τε τὸ ὀφειλόμενον ἐν τῇ ἁπλότητι, ἐν τῇ συνθέσει ἀναδέχεται. ἐν γὰρ τῇ συνθέσει κιρνᾶται, ἐπειδὴ καὶ βαρύνεται, οἷον πάνθοος πάνθους.

Θρέψω. διὰ τί οὐ συνάρχεται τῷ ἐνεστῶτι; διότι τὸ θρέφω θρέψω ἦν, καὶ ἐπεὶ τὸ ῥ μετὰ τῶν δασέων δασύ ἐστι καὶ μετὰ τῶν ψιλῶν ψιλὸν, οἷον εὔφρων, ἀτρεὺς, οὐδέποτε δὲ εὑρίσκεται δισύλλαβος λέξις ἀπὸ δύο δασέων ἀρχομένη τῆς δευτέρας ἀρχομένης ἀπὸ δασείας, τούτου χάριν τρέπεται τὸ θ̄ εἰς τ̄, ἵνα μὴ εὑρεθῇ ἀρχόμενον ἀπὸ διπλῆς δασείας, ἀποστάντος τοῦ δασέως ἐν τῷ μέλλοντι φ̄ τοῦ ὄντος κατὰ τὴν δευτέραν συλλαβὴν καὶ προσελθόντος τοῦ διπλοῦ εὐθέως τὸ κεχρεωστημένον θ̄ προσῆλθε κατὰ τὴν ἀρχὴν γέγονε θρέψω. πρόσκειται δισύλλαβον λεγόμενον διὰ τὸ φθαρθεῖναι. τοῦτο γὰρ ἄρχεται ἀπὸ διπλῆς δασείας τῆς δευτέρας συλλαβῆς ἀπὸ δασείας ἀρχομένης, ἀλλ᾽ οὐκ ἔστι δισύλλαβος. καὶ ἄλλως.

Θρέψω. διὰ τί τρέφω θρέψω καὶ τρέχω θρέξω, ἔχω ἕξω οὐ συνάρχεται τῷ ἐνεστῶτι; καὶ τὸ μὲν ἔχω

οὐ συνάρχεται, ἐπεὶ τὸ μὲν ἔχω ψιλοῦται, τὸ δὲ ἕξω δασύνεται εἰς διαφορὰν τοῦ ἕξω ἐπιῤῥήματος. περὶ δὲ τῶν ἄλλων ἔστιν εἰπεῖν ὅτι ἰωνικῶς ἐτράπη τὸ ψιλὸν τ εἰς δασὺ θ. οἱ γὰρ Ἴωνες ἔθος ἔχουσι τὰ παρ' ἡμῖν ψιλὰ εἰς δασέα τρέπειν.

Θι καὶ τοῦ παρακειμένου τελευταῖον, οἷον τὸ κέκλυθι καὶ κέκραχθι, ὡς πλεῖστοι καὶ ἡ χρῆσις μαρτυρεῖ παρακείμενοι εἰσιν. τοῦ γὰρ παρακειμένου τὸ προστακτικὸν ποτὲ μὲν εἰς ε λήγει, οἷον τέτυφε, ποτὲ δὲ εἰς θι οἷον τέτυφθι. οὕτως οὖν καὶ κέκλυθι καὶ κέκραχθι.

Θρέπτον τὸ θρεπτήριον. ἰστέον ὅτι τὰ εἰς ον λήγοντα ῥηματικὰ οὐδέτερα ἔχοντα τὸ ρ ἐν τελευταίᾳ συλλαβῇ ἰσοσυλλαβεῖ τῷ ῥήματι, καὶ ἤτοι ἔχουσι τὸ τ, ὡς ἐπὶ τοῦ νίζω νίτρον, ἢ τὸ π, ὡς ἐπὶ τοῦ νίπτω νίπτρον, θρέπτω θρέπτον, ἢ τοῦ κ, ὡς ἐπὶ τοῦ πλήσσω πλήκτρον, ἢ μετὰ τοῦ τ τὸ λ, ὡς ἐπὶ τοῦ φύω φύτλον, καὶ πάντα βαρύνονται πλὴν τοῦ λουτρόν. τὰ δὲ μὴ οὕτως περιττοσυλλάβως παραληγόμενά εἰσι, οἷον τύπτω τύμπανον, λείπω λείψανον, καὶ τὰ εἰς ρ μετὰ τοῦ θ, οἷον θέλγω θέλγηθρον, μέλπω μέλπηθρον, καὶ τὰ εἰς λον ἔχοντα τὸ θ, οἷον ἔδω τὸ καθέζομαι εἶθλον. ἔστι δὲ καὶ παρὰ τὸ ἔδος. γένω, ἐξ οὗ τὸ γενήσομαι, γένεθλον. ἢ ἔχοντα τὸ τ, ὡς τὸ ἔχω ἔχετλον.

Θρέξασκον. ἄλλοτέ δ' αὖ θρέξασκον, ἀντὶ τοῦ ἔτρεχον. τρέχω, ὁ μέλλων θρέξω, ἔθρεξα, καὶ ἰωνικῶς θρέξασκον.

Θρῴσκω σημαίνει τὸ πηδῶ. ἔχει τὸ ῑ. ὥσπερ ἀπὸ τοῦ εὑρῶ γίνεται εὑρίσκω, καὶ στερῶ στερίσκω, οὕτως καὶ ἀπὸ τοῦ θορῶ θορίσκω καὶ καθ' ὑπερβιβασμὸν θροίσκω, καὶ κατὰ ἔκτασιν καὶ κρᾶσιν θρῴσκω.

Θυέεσσι. θυμιάμασι. οἷον ἔρχεο σὺν θυέεσσι. τὸ θύος τοῦ θύεος καὶ θύους τοῖς θύεσσι, πλεονασμῷ τοῦ ε θυέεσσι.

Θύσκη ἡ σκάφη ἡ δεχομένη τὰ θύματα καὶ θυσκάριον τὸ αὐτὸ, καὶ θῦκος εἰς ὃ ἐμβάλλομεν καὶ θυμιάματα. 79 a

Θυσσανόεσσα. κροσσοὺς ἔχουσα. ἀπὸ τοῦ θύσανος θυσανόεις, καὶ τὸ θηλυκὸν θυσανόεσσα. τὸ δὲ θύσανος παρὰ τὸ θύω τὸ ὁρμῶ καὶ κρινῶ, θύσω θύσανος.

Θῶνος εὐθεῖα, ἢ θόων θόωνος κατὰ τοὺς παλαιοὺς, καὶ ἐν συγκοπῇ θῶνος, ἢ μᾶλλον θῶνις θῶνιος καὶ κατὰ συγκοπὴν θῶνος. φασὶ δὲ αὐτὸν βασιλέα εἶναι τοῦ κατὰ Κάνωβον νειλώου στόματος, εὑρέτην ἰατρικῆς παρ' Αἰγυπτίοις, ἀφ' οὗ πόλις καὶ πρῶτος μὴν παρ' Αἰγυπτίοις ὠνομάσθη.

I.

Ἴα ἡ μία, ἴος, ἴου, ἴα τὸ θηλυκὸν, ἡ μία καὶ ἀποβολῇ τοῦ μ ἴα.

Ἰᾶσιν ἀντὶ πέμπουσι. ἶημι ἶης ἶησι ἶεμεν ἶετε ἰεῖσιν, ἰακῶς ἰέασιν. οἱ γὰρ Ἴωνες τὴν ει διφθογγον εἰς ε̄ καὶ ᾱ καὶ εἰς ᾱ μακρὸν τρέπουσι ἰᾶσι καὶ ἀφιᾶσιν.

Ἰάχω τὸ βοῶ, παρὰ τὸ ἴαν, ὃ σημαίνει τὴν φωνὴν ἐξ οὗ ἰαχή.

Ἴαψεν, εἰ μὲν ἁπλῶς τὸ ἔπεμψεν σημαίνει, παρὰ τὸ ἴω γέγονεν, ἀφ' οὗ τὸ ἶημι. εἰ δὲ μετὰ βλέβης ἔπεμψεν, παρὰ τὸ ἰὸς ἰάπτω. διαφθαρτικὸς γὰρ οὗτος τῆς ὕλης, ἐξ ἧς γίνεται ἐπὶ τῆς βλάβης.

ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἴάπτῃς.

Ἰδέειν ἀπαρέμφατον, ἀόριστος β', καὶ μέλλων. ὁ κανὼν οἱ Ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπαρεμφάτων πλεονασμῷ τοῦ ε̄ διὰ τοῦ ειν προφέρουσιν, θανεῖν θανέειν, ἰδεῖν ἰδέειν.

Ἴδει, τῷ θέρει. οἷον ἴδει ἐν αἰνοτάτῳ. τὸ ἴδος τοῦ ἴδεος καὶ ἴδους. τὸ δὲ ἴδος παρὰ τὸ ἰδίω τὸ ἱδρῶ.

Ἰδέ. οὐκ ἔστι πλεονασμὸς τοῦ δε, ἀλλὰ θέμα ἐστὶν ἰδὲ καὶ ἠδὲ ἀντὶ τοῦ καί. τὸ μὲν ἀ ἰωνικὸν καὶ δι' ἰῶτα, τὸ δὲ δεύτερον ἀττικὸν καὶ δι' ἦτα.

Ἴδμεν ἀντὶγινώσκομεν. ἔστιν εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, ἀφ' οὗ περισπώμενον ἰσάω ἰσῶ, ὡς ἀπὸ τοῦ φείδω καὶ πείθω φιδῶ καὶ πιθῶ, παράγω-
79b γον ἴσημι, ἴσην ὁ παρατατικὸς ἴσης ἴσησιν ἴσαμεν καὶ συγκοπῇ ἴσμεν καὶ τροπῇ αἰολικῇ τοῦ σ εἰς δ ἴδμεν. οἱ γὰρ Αἰολεῖς ἐπαγομένου τοῦ μ τὸ πρὸ αὐτοῦ σ εἰς δ τρέπουσιν, ὁσμὴ ὀδμὴ, ἴσμεν ἴδμεν.

Ἰδνωθῆναι δέ ἐστι τὸ συγκαμφθῆναι καὶ γίνεται ἀπὸ τοῦ τὸ ἰνίον δονηθῆναι, μεταθέντος τοῦ δ ὀπίσω τοῦ ν. ἔστι δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὸ κάτω καὶ συσπωμένου πρὸς τοῖς ὤμοις ἰδνοῦσθαι λέγεται ὁ τοῦτο πάσχων. τινὲς δὲ τὸ ἰδνωθῆναι τὸ ἀνακλασθῆναι νοοῦσιν ἀπὸ τῆς αὐτῆς ἐτυμολογίας. ἄλλως δὲ τὸ ἰδνώθη ἀντὶ τοῦ οἷον συνίζησίν τινα ἔπαθεν ἀπὸ τοῦ ἴζω τραπέντος τοῦ ζ εἰς δ κατὰ τὴν ἤδη προῤῥηθεῖσαν συγγένειαν τῶν τοιούτων στοιχείων καὶ πλεονάσαντος τοῦ ν, ὡς ἐπὶ τοῦ ἰχνῶ καὶ τῶν ὁμοίων.

Ἰείη κατὰ λεμὸν, ἰείη, ἵημι τὸ πέμπω, ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἰεὶς ἱέντος, τὸ εὐκτικὸν ἰείην.

Ἴεν. ἦπερ πρόσθεν ἴε καλλίροον ὕδωρ. ἑνικόν. καὶ ἐπὶ τοῦ ὕδατος. ἐκ τοῦ εἶω τὸ πορεύομαι γίνεται ὁ β' ἀόριστος ἶον ἴες ἴε καὶ τὸ ν ἐφελκυστικόν ἐστιν. εἰ δὲ ἐπὶ τὸν πότον ἐκληφθήσεται ἐκ τοῦ ἵημι ἵην ἴεσαν, καὶ συγκοπῇ ἶεν. ἔστι δὲ παρατατικός.

Ἱερεύειν οὐ μόνον τὸ θύειν, ἀλλὰ καὶ τὸ ἁπλῶς σφάζειν. ἱερεῖον γὰρ ἀττικῶς τὸ σφαγιαζόμενον ζῷον.

Ἴεν ἢ ψιλοῦται, κείμενον ἀντὶ τοῦ ἐπορεύετο ὕδωρ, ἐκ τοῦ ἴον, οὗ καὶ μετοχὴ τὸ ἰὼν, ἢ δασυνόμενον ἀντὶ τοῦ ἔπεμπον οἱ ποταμοὶ νοεῖται. γένεσις δὲ αὐτοῦ ἀπὸ τοῦ εἰς ίεντος ἀποβολῇ τοῦ τος, ὡς καὶ τὸ βληθέντος ἔβληθεν καὶ τὰ ὅμοια.

Ἱερῶσθαι. ἱερῶ ἱερώσω. σημαίνει δὲ τὸ ἱερεὺς νενομίσθαι.

Ἵετο τὸ βαλέειν. παρὰ τὸ ἵημι τὸ σημαῖνον τὸ προθυμοῦμαι, ἢ τὸ πέμπω, τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην ἵεσο ἵετο.

Ἵεντο. προθυμοῦντο. ἵημι, καὶ τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην, καὶ τὸ γ̄ τῶν πληθυντικῶν ἵεντο.

Ἴζω, ἰζάνω. ἔστιν ἕω τὸ καθέζομαι καὶ πλεονασμῷ τοῦ ξ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ̄ ἴζω, καὶ κατὰ παραγωγὴν ἰζάνω.

Ἰῆλαι τὸ ἐπικάμψαι ἢ κατακλεῖσαι, ἀπὸ τοῦ εἰλῶ καὶ ὑπερθέσει ἰέλω ἰελῶ, ἴηλα καὶ ἰῆλαι. κυρίως δὲ σημαίνει τὸ δεσμεῦσαι.

Ἴηλα. ἔστιν ἰάλλω τὸ ἐμβάλλω καὶ προπέμπω, ὁ μέλλων ἰαλῶ, ὁ ἀόριστος ἴηλα.

Ἴησι. εἶω τὸ πορεύομαι, ὁ δεύτερος ἀόριστος ἴον, τὸ ὑποτακτικὸν ἐὰν ἴω ἴῃς ἴῃ, καὶ πλεονασμῷ τῆς σι ἴησι, ὡς δῶσι.

Ἴθι. τὸ πορεύου ἐνταῦθα καὶ ἐλθὲ καὶ παραγενοῦ. εἶμι τὸ πορεύομαι, τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν διὰ τοῦ ῑ̄. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν συστέλλεται. ὡσαύτως καὶ ἐπὶ τῶν παθητικῶν. τούτου τὸ προστακτικὸν ἴθι, οἷον δεῦρ' ἴθι, καὶ, ἴθι τοῦ πτωχοῦ λαοῦ σου τὴν κάκωσιν ἐπισκεψόμενος. τὸ γ' ἴτω. ἢ οὕτως. εἶμι τὸ πορεύομαι, ὁ παρατατικὸς εἶν, ἡ μετοχὴ εἷς ἕντος, τὸ προστακτικὸν ἔθι, καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ̄ ἴθι. ἢ οὕτως. ἴημι τὸ ἔρχομαι, ὁ παρατατικὸς ἴην, ἡ μετοχὴ ἰεὶς ἰέντος, ἴεθι καὶ συγκοπῇ ἴθι ἴτω.

Ἱκάνω σημαίνει ἐνταῦθα τὸ ἱκετεύω, ἡμεῖς δ' αὖθις ἱκάνομεν τὰ σὰ γούνατα περιγίνομαι σημαίνει καὶ τὸ περιγίνομαι καὶ τὸ καταλαμβάνω. ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.

Ἱκνοῦμαι ἀπὸ τοῦ ἵκω τὸ ἱκετεύω παραγίνομαι. παράγωγον ἱκάνω, συγκοπῇ ἵκνω ἱκνοῦμαι καὶ ἀφικνοῦμαι. τὸ δὲ ἱκάνω ἀπὸ τοῦ ἵκον δεύτερος ἀόριστος, ὡς ἀπὸ τοῦ ἔφυγον φυγάνω, καὶ πλεονασμῷ τοῦ γ φυγγάνω, καὶ ἀπὸ τοῦ ἔπυθον πυνθάνω, καὶ ἀπὸ τοῦ ἔτυχον τυγχάνω, καὶ ἀπὸ τοῦ ἔπαθον πανθάνω, καὶ ἀπὸ τοῦ ἔρυγον ἐρυγγάνω.

Ἵκμενον. ἵκω ἱκόμενος καὶ συγκοπῇ ἵκμενος. σημαίνει δὲ τὸν πορευτικὸν ἢ ὑγρὸν παρὰ τὸν ἱμάδα.

Ἱλάσκεσθαι. ἀπὸ τοῦ ἱλῶ δευτέρας συζυγίας τῶν περισπωμένων ἱλάσω ὁ μέλλων, πλεονασμῷ τοῦ κ ἱλάσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα, ὡς γηράω γηρῶ γηράσω γηράσκω, ἱλάσκομαι ἱλάσκεται ἱλάσκεσθαι.

80b Ἱλασσάμενος. ἐξιλεωσάμενος. μετοχὴ παθητικὴ δευτέρας τῶν περισπωμένων. τὸ θέμα ἱλῶ ἱλᾷς ἱλᾷ, ὁ μέλλων ἱλάσω, καὶ ἐκ τούτου ἱλάσθητι, ἱλασμὸς, καὶ ἐκ τούτου ἱλασσάμενος πλεονασμῷ τοῦ σ διὰ τὸ μέτρον. ἐκ τοῦ ἱλῶ ἵλημι, ἐξ οὗ καὶ τὸ ἱλάσθητι γράφεται.

Ἱλλᾶσι δεσμοῦσι. οἷον, ἱλλᾶσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν.

Ἱλλίζειν. τὸ διανεύειν.

οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοί.

ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύοντας εἰλεῖν. ἐξ οὗ καὶ ἰλλάδες οἱ συνεστραμμένοι ἱμάντες. ἢ ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύειν. ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ ἀπὸ τῆς εἰλήσεως καὶ τῆς ἐπὶ τὰ κάτω φορᾶς.

Ἱλλόμενος. παρὰ τὸ ἴλλω ἴλλομαι ἱλλόμενος ἐκ τοῦ ἴλλος ὁ ὀφθαλμός.

Ἱλυσπῶν. τὸ εἱλυσπᾶσθαί ἐστι τὸ παραπλησίον

τοῖς σκώληξι καὶ τοῖς ὄφισιν ἰέναι, οἱονεὶ τῇ ἰλύϊ σπᾶσθαι, τοῦτ' ἔστιν ἐν τῇ γῇ κυλίεσθαι.

Ἰλαδὸν, ἤγουν φαλαγγηδὸν καὶ κατὰ τὰς ἴλας. συστροφὴν γὰρ πλήθους δηλοῖ, καὶ τὸ βοτρυδὸν τὸ ἰλαδὸν, καὶ ποιότητος ἀμφότερά εἰσιν ἐπιῤῥήματα.

Ἰμάσσω. σημαίνει τὸ πλήσσω καὶ μαστιγῶ. παρὰ τὸ ἱμὰς, ὃ σημαίνει τὸν λῶρον, γίνεται ἱμάσσω. τούτου ὁ μέλλων ἱμάσω, οἷον ἵμασε καλλίτριχας ἵππους. γράφεται δὲ ὁ μέλλων μὴ τρεπόμενον εἰς ξ, ὡς πλήσσω πλήξω, πτήσσω πτήξω, αἱμάσσω αἱμάξω.

Ἱμῶσα. ἀντλοῦσα, ἀπὸ τοῦ ἱμὰς ἱμάντος, ὅθεν καὶ ἀντλὴς ἱμαῖος λέγεται.

Ἴμεν. ἢ ἐκ τοῦ εἶμι τὸ ἔρχομαι γίνεται τοῦ παραληγομένου τῇ ει διφθόγγῳ, καὶ συστέλλει τὴν ἄρχουσαν τῷ λόγῳ τῶν εἰς μι, ἅπερ ἐπὶ πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὰς παραληγούσας. ἢ ἀπὸ τοῦ ἑτέρου ἴμι, ὃ κατὰ μόνας τῷ ῑ παραλήγεται, ὡς ἀπὸ τοῦ ἴω, καὶ οὕτω φυλάσσει ἀναλόγως τὴν διὰ 81 a
τοῦ βραχέως ῑ γραφήν. σημείωσαι γὰρ ὅτι κατὰ τοὺς τεχνικοὺς διφορεῖται τὸ εἶμι παρὰ τοῖς παλαιοῖς μονοφθόγγῳ τε παραληγόμενον τῷ ῑ καὶ διφθόγγῳ τῇ διὰ τοῦ ε καὶ ῑ.

Ἴμεν ἀπαθὲς, ἰέναι, ὅθεν ποιητικῶς ἴεμεναι, καὶ ἀποκοπῇ ἴεμεν, καὶ συγκοπῇ ἴμεν. οὐ γάρ ἐστιν εἰπεῖν, ὡς τὸ ῑ καὶ ε τοῦ ἴεμεν ἐκράθη εἰς ῑ μακρόν. βραχὺ γάρ ἐστιν, ὡς ἐν μέτρῳ δακτυλικῷ. ὅρα δὲ νῦν μὲν τὸ ἴμεν τεθὲν διὰ τοῦ ῑ ἀντὶ τοῦ ἐλθεῖν, μετὰ δὲ δύο στίχους ἐν τῷ κεκακωμένοι ἦμεν, ἀντὶ τοῦ ὑπήρχομεν, διὰ τοῦ η, καὶ γίνεται οὕτω ψευδοπαρήχησις λεληθυῖα, οὐ μὴν ἀναιδὴς κατὰ τὸ ἔδδεισαν, οὐδέ τ' ἔδησαν.

Ἰνδάλλω. ὥσπερ παρὰ το ἄγω γίνεται ἀγάλλω, καὶ παρὰ τὸ ἰῶ τὸ πέμπω ἰάλλω, οὕτως καὶ παρὰ

τὸ εἶδω τὸ ὁμοιῶ ἰδάλλω, καὶ πλεονασμῷ τοῦ ν̄ ἰνδάλλω.

Ἴξον.

οἱ δ' ἴξον κοίλην Λακεδαίμονα κητώεσσαν.

ἀπὸ τοῦ ἵκω διὰ τοῦ ἰῶτα τοῦ σημαίνοντος τὸ ἱκετεύω καὶ παραγίνομαι, ἀφ' οὗ γίνεται προσλήψει τοῦ ν̄ τὸ ἱκνῶ καὶ ἱκνοῦμαι, ὁ ἀόριστος δεύτερος ἶκον καὶ τροπῇ βοιωτικῇ τοῦ κ εἰς ξ̄ ἶξον. οὕτως Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανὸς τοῦτο καὶ τὰ τούτῳ ὅμοια ἐκ μέλλοντος λέγει μετατεθεῖσθαι εἰς ἐνεστῶτα, ἴξω ἴξες ἴξεν. ἐκ τοῦ ἵκω ἴξω μετάγεται εἰς ἐνεστῶτα. τὸ πληθυντικὸν ἴξομεν ἴξετε ἴξον. ὅτι δὲ οὐκ ἔστι δεύτερος ἀόριστος, ἀλλὰ παρατατικὸς, δῆλον ἐκ τοῦ προστακτικοῦ· βῆσε γὰρ καὶ ἶξε, ὡς τύπτε. εἰ δ' ἦν ἀόριστος δεύτερος, βῆσον ἂν ἦν καὶ ἶξον. καὶ ἶξον ἤγουν κατέλαβον φυσικῶς ἔχει τὴν ἐν τῇ ἀρχούσῃ περισπωμένην, ὡς χρονικῶς ἐκταθέν. ἄλλως γὰρ ὤφειλε τὸ δίχρονον ὀξύνεσθαι, ὡς θέσει μακρὸν, διὰ τὸ κεῖσθαι πρὸ συμφώνου διπλοῦς. παρατατικοῦ δὲ χρόνου τὸ ἶξον, ὡς ἀπὸ μέλλοντος τοῦ ἴξω, ἀναβιβασθέντος εἰς ἐνεστῶτα.

Ἰοειδέα. ἀνθώδη, ἀπὸ τοῦ ἴου τῆς βοτάνης. Ὁμηρος δὲ τὸν μελανώδη παρὰ τὸ ἰός.

Ἴουλοί φασι αἱ κατὰ τῶν γενείων πρῶται τρίχες, λεγόμεναι οὕτω, ἐπείπερ οἱ τοιούτους ἔχοντες ἴενται ἤδη ἐπὶ τὸ ὅλον, ἤγουν τὸ τέλειον, ὡς ἐξανδρούμενοι. ἀπὸ δὲ τούτων καθ' ὁμοιότητα ἔοικε λέγεσθαι καὶ τὸ πολύπουν ζωΰφιον ὁ ἴουλος. τοὺς δὲ ἀνθοῦντας τούτους ἰούλους καὶ λάχνην εὐανθέα καλεῖ φιλοτιμούμενος τῷ διφθόγγῳ τῆς φράσεως, καὶ ἔστι ταυτὸν, κροτάφοις ἰούλους ἀνθεῖν καὶ γένυν πεπυκάσθαι, ὅ ἐστιν ἐσκεπάσθαι εὐανθεῖ λάχνῃ. ὃ πρὸς διαστολὴν εἴρηται λάχνης ἑτεροίας ὁποία καὶ ἡ παρὰ τῷ Θερσίτῃ ψεδνή.

Ἰόμωροι, ἤτοι τοξόται, οἱ μόρον ἐμποιοῦντες ἐν οἷς, ἐκτάσει τοῦ ο εἰς ω. ἢ οἱ περὶ ἰοὺς μεμορημένοι καὶ κακοπαθῶς ἔχοντες, ἢ ὀξεῖς ἰοὺς κεκτημένοι. μόρον γάρ φασι παρὰ Κυπρίοις τὸ ὀξύ. ἢ πλεονασμῷ τοῦ μ, ἵνα εἶεν ἐνιόωροι, οἱ τῶν ἰῶν ὤρανς ἤτοι φροντίδα ἔχοντες.

Ἱππότα. ἱππικώτατε. ἢ εὐθεῖα ὁ ἱππότης κατὰ μεταπλασμὸν ἱππότα.

Ἱράτω. ὀργιαζέτω κατὰ νόμον καὶ θυέτω. ὀργιῶνες γὰρ οἱ θῦται. ἱεράω ἱερῶ, οὗ ὁ μέλλων ἱερά-σω, ὁ παρατατικὸς ἱέραον ἱέρων ἱέραες ἱέρας ἱέραε ἱέρα, τὸ προστακτικὸν ἱέραε ἱέρα ἱεραέτω ἱεράτω, καὶ κράσει τοῦ ι καὶ ε εἰς μακρὸν ι ἱράτω.

Ἴσαν ἐπορεύοντο. εἶμι, ὁ παρατατικὸς εἶν ἴμεν ἴτε ἴσαν ἐπορεύοντο.

Ἴσασιν ἀντὶ τοῦ γινώσκουσιν. εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, καὶ ὥσπερ ἀπὸ τοῦ φείδω καὶ πείθω βαρυτόνων περισπώμενα φιδῶ καὶ πιθῶ διὰ τοῦ ι, οὕτως ἀπὸ τοῦ εἴσω ἰσῶ ῥῆμα περισπώμενον δευτέρας συζυγίας, ἐξ οὗ παράγωγον ἴσημι, ὅπερ σημαί-νει τὸ αὐτὸ, καὶ ἴσαμι δωρικῶς, τὸ πρῶτον τῶν πληθυντικῶν ἴσαμεν καὶ συγκοπῇ ἴσμεν, τὸ δεύτερον ἴσατε καὶ ἴστε, τὸ τρίτον ἴσασιν. οὐ προπερισπᾶται δὲ ὡς τὸ ἱστᾶσι. ὁμοφωνεῖ γὰρ τῇ δοτικῇ τῶν πληθυντικῶν ὧν ἰδίων μετοχῶν, ἵσας ἵσαντος ἵσασιν, ὡς τὸ ἵσασι, διότι ἡ ἵσας μετοχὴ βαρύνεται, πάντων τῶν εἰς ας ὀξυνομένων μετοχῶν τῆς δευτέρας συζυγίας, οἷον ἱστὰς, κιχράς. ἔστιν οὖν εἰπεῖν ὅτι ὁ χαρακ- 82a τὴρ ἐστιν αἴτιος τῆς βαρείας τάσεως. πᾶσα γὰρ μετοχὴ διὰ τοῦ ισας βαρύνεται, γεμίσας, σαλπίσας, λεπίσας, καλλωπίσας.

Ἴσθι τὸ ὕπαρχε. εἰμὶ, τὸ πρῶτον τῶν πληθυντικῶν ἐμὲν, ὅπερ γίνεται κατὰ πλεονασμὸν τοῦ σ ἐσμέν. ἀπὸ τοῦ ἐμὲν τὸ προστακτικὸν ἔθι ἀναλόγως, ἐπειδὴ εἰς σ ὀξύτονος ἡ μετοχὴ καὶ διὰ τοῦ ντ κλί-

νεται εἰς ἔντος, οἷον παῖδά τε ἔντα ἀντὶ τοῦ ὑπάρχοντα, καὶ πλεονασμῷ τοῦ σ̄ ἔσθι, καὶ ἅμα τῷ πλεονάσαι τὸ σ̄ τρέπεται τὸ ε̄ εἰς ῑ, ὡς μένω μίμνω, πέτω πίπτω, ἔχω ἴσχω, γίνεται ἴσθι. τοῦτο δὲ τὸ ἴσθι κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε̄ ἀναδέχεται καὶ γίνεται ἔστω. ἢ οὕτως. εἰμί, ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος, τὸ προστακτικὸν ἔσθι, καὶ πλεονασμῷ καὶ τροπῇ ἴσθι.

Ἴσθι τὸ γίνωσκε. εἴδω εἴσω ἴσω, ὡς φείδω φιδῶ, πείθω πιθῶ, παράγωγον ἴσημι, τὸ πρῶτον τῶν πληθυντικῶν ἴσαμεν καὶ ἴσμεν κατὰ συγκοπὴν, τὸ προστακτικὸν ἴσαθι καὶ ἴσθι. ἢ οὕτως. ἴσημι καὶ ἴσαμι δωρικῶς, ὁ παρατατικὸς ἴσην, ἡ μετοχὴ ἴσας ἴσαντος, τὸ προστακτικὸν ἴσαθι καὶ συγκοπῇ ἴσθι, τὸ τρίτον ἴστω.

Ἴσκεν.

ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοια.

εἰ μὲν σημαίνει τὸ ἐγίνωσκον, παρὰ τὸ εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, πλεονασμῷ τοῦ κ̄ εἴσκω, καὶ μετάγεται εἰς ἐνεστῶτα, ὡς μεθύω μεθύσω μεθύσκω, καὶ ἐπεὶ οὐδέποτε τὰ διὰ τοῦ ισκω θέλουσιν ἔχειν πρὸ τέλους τὴν εῑ, ἀποβάλλεται τὸ ε̄ καὶ γίνεται ἴσκω, οὗ ὁ παρατατικὸς ἴσκον. εἰ δὲ σημαίνει τὸ εἴκαζε καὶ ὁμοίου, γίνεται παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ὁμοίως εἴσκω, καὶ διαιρέσει ἐΐσκω. ὅπερ δὲ δέχεται διαίρεσιν, ἀποβάλλει τὸ ε.

Ἰσοφαρίζειν. ἐξισοῦσθαι. παρὰ τὸ ἴσα φάρη περιβεβλῆσθαι.

Ἴστε. ἐπίστασθε, γινώσκετε, οἴδατε, ἐκ τοῦ ἴσατε καὶ συγκοπῇ ἴστε.

Ἴσταο προστακτικόν ἐστιν. ὥσπερ γὰρ ἀπὸ τοῦ ἐφάμην ἔφασο γίνεται φάο κατ' ἔνδειαν τοῦ σ̄, οὕτως ἀπὸ τοῦ ἱστάμην ἵστασο ἵστασο.

Ἴστα. ἱστάω ἱστῶ, ἵσταον ἵστων ἵσταες ἵστας ἵστα ἵστα.

Ἵστη. ἵστημι, ὁ παρατατικὸς ἵστην ἵστης ἵστη, τὸ προστακτικὸν ἵστη. ἐπὶ γὰρ τῶν εἰς μι καὶ εἰς ω τὸ τρίτον πρόσωπον τοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικόν. 82b

Ἱστέον. ἐκ τοῦ ἵσημι ἵσην ὁ παρατατικὸς, ὁ ἵσας τοῦ ἵσαντος, ἵσαθι καὶ συγκοπῇ ἵσθι, τὸ τρίτον ἵστω, τῶν δυϊκῶν τὸ δεύτερον καὶ τρίτον ἵστον καὶ πλεονασμῷ τοῦ ε ἱστέον.

Ἰσχανόωσι. κατέχουσι, κωλύουσιν. ἔχω ἴσχω, παράγωγον ἰσχανῶ.

Ἴσχεο. ἔχω ἴσχω ἰσχόμην ἴσχου, καὶ ἰωνικῇ διαλύσει ἴσχεο.

Ἴστω. ἀντὶ τοῦ γινωσκέτω. κανόνισον ἀπὸ τοῦ ἰσάω ἰσῶ τὸ γινώσκω συζυγίας δευτέρας τῶν περισπωμένων γίνεται παράγωγον ῥῆμα εἰς μι ἵσημι συζυγίας δευτέρας τῶν εἰς μι. καὶ ὁ παρατατικὸς ἵσην, ἡ μετοχὴ ἵσας ἵσαντος καὶ τὸ προστακτικὸν ἵσαθι καὶ ἴσθι, ἀφαιρέσει τοῦ α, τὸ γ' ἵστω, καὶ μετὰ τῆς ἐπιπροθέσεως ἐπίστω τὸ τρίτον τῶν πληθυντικῶν ἵστωσαν ἀντὶ τοῦ γινωσκέτωσαν.

Ἵστω δὲ Ἡρακλείδης ἡμαρτῆσθαι εἰπὼν γράφει τοιαῦτα. τὰ διὰ τοῦ σ ἐκφερόμενα προστακτικὰ καὶ εἰς ω λήγοντα ἀρκτικὸν ἔχει τοῦ ω τὸ θ, οἷον λεγέσθω, ποιείσθω καὶ τὰ ὅμοια. ἡμάρτηται οὖν τὸ ἵστω, καθὰ καὶ τὸ ἔστω, διὰ τοῦ τ λεγόμενα. νοητέον δέ, φησι, ἡμαρτῆσθαι αὐτὰ διὰ τὴν πρόσθεσιν τοῦ σ, εἴπερ καὶ διὰ τοῦ τ γράφεται. ταῦτα δὲ οὕτως εἰπὼν ἐπάγει μετ' ὀλίγα ὅτι ἔνιοι ἐν τῷ ἔστω καὶ ἵστω σὺ φασὶ περιττεύειν τὸ σ, ἐκ τοῦ ἰσέτω δὲ καὶ ἐσέτω κατ' ἔξαρσιν γενέσθαι τὸ ἵστω καὶ ἔστω, κἂν μὲν ἀοριστώδη χρόνον σημαίνει τὸ ἔστω, τὸ α εἶναι ἐξαιρούμενον. ἐπὶ δὲ μέλλοντος τὸ ε λείπει, οὐ τὸ α, ἐφ' οἷς ἐπικρίνει ὅτι τὸ α λείπει, ἵνα ᾖ ἐσάτω ἔστω. ποι-

ησέτω γὰρ ἢ νυξέτω οὐδεὶς λέγει. εἰ δέ φησι καὶ λείπει τὸ ε̄, ὡς ἐνεστῶτα νοητέον κατὰ τὸ νυσσέτω. ἐν τούτοις δὲ κατασείων καὶ τοὺς τὸ ἔτω, ἀφ' οὗ τὸ ἔστω, ἤτω λέξαντας ἐκτάσει τοῦ ε̄ εἰς η̄, λέγει ὡς οὐδὲν εἰς τω̄ λῆγον προστακτικὸν ἔχει παρατέλευτον τὸ ε̄ μετατίθησιν αὐτὸ εἰς η̄. οὐδεὶς γὰρ τὸ φερέτω λεγέτω φερήτω λεγήτω φησί. οὐκοῦν οὐδὲ ἔτω ἤτω. ὡς δέ φησι καὶ τὸ ἔτω ἡμάρτηται διὰ τοῦ ε λεγόμενον παράδειγμα δίδωσι τόδε. πᾶσα μετοχὴ εἰς ων ὀξύτονος τὸ τρίτον προστακτικὸν διὰ τοῦ ἔτω περαιοῖ, ἐλθὼν ἐλθέτω, σχὼν σχέτω, σπὼν σπέτω καὶ μεταστέτω. ταύτῃ τοι καὶ ἀπὸ τοῦ εἰπὼν εἰπέτω ῥητέον. προστακτικὸν μέντοι ἀόριστον μετοχῆς ἅπαν ληγούσης εἰς σ, ὅτε εἰς τω περαιοῦται ἐπὶ τρίτου προσώπου τὸ η̄ παραλήγεται, οἷον σφαγεὶς σφαγήτω, δαρεὶς δαρήτω. καὶ ἀπὸ τοῦ θεὶς οὖν καὶ εἷς θήτω καὶ ἤτω, οὐ μὴν θέτω καὶ ἔτω, ἔνθα ἡμαρτῆσθαι εἰπὼν κατὰ τὸ θέτω καὶ ἔτω, ἤγουν ὑπαρχέτω, καὶ εἰ ἔτω, ἀφ' οὗ σύνθετον τὸ ἀφέτω, λέγει καὶ ὅτι τινὲς οὔτε ἔτω φασὶ προστακτικὸν, οὔτε ἀπ' αὐτοῦ τὸ ἤτω, ἀλλὰ ἐέτω τρισύλλαβον ἀπὸ τῆς ἐὼν μετοχῆς, ὅθεν γενέσθαι τὸ εἴτω ἐν διφθόγγῳ, καὶ ἐκεῖθεν ἤτω διὰ τοῦ η̄. ὁ δ' αὐτὸς Ἡρακλείδης τῆς αὐτῆς ἐὼν ὀξυτόνου μετοχῆς τὸ εὐκτικὸν κανονίζων λέγει ὅτι καθὰ τῆς ἐλθὼν καὶ εἰπὼν μετοχῆς εὐκτικὰ ἔλθοι καὶ εἴποι, οὕτω δὲ καὶ σχὼν ἐπίσχοι, καὶ ἐπισπὼν, πότμον ἐπίσποι, οὕτω καὶ ἀπὸ τῆς ἐὼν ἔοι, οὐχὶ εἴη. περὶ δὲ τοῦ εἴη λέγει ὡς πᾶν ῥῆμα εὐκτικὸν ἔχον τὴν ει διφθογγον παρατέλευτον, καὶ τὸ τέλος διὰ τοῦ η ἐκ μετοχῆς πεποίηται ληγούσης εἰς εις, οὐ μὴν εἰς ων. καὶ τοῦτο φανερόν φησιν ἐκ τῶν αἰολικῶν μετοχῶν. Αἰολεῖς γὰρ τὸ νοῶν νοοίην, φρονῶν φρονοίην καὶ τὰ ὅμοια, τὰ παρ' ἡμῖν φιλείην καὶ νοείην, ἐπειδὴ καὶ τὰς μετοχὰς αὐτῶν εἰς εις προφέρουσι, φίλεις καὶ νόεις λέγοντες ἀντὶ τοῦ φιλῶν καὶ νοῶν. κατὰ δὴ τὸ ὅμοιον καὶ ἀπὸ τῆς ων πρωτοτύπου μετοχῆς συζυγίας

πρώτης τῶν περισπωμένων εἴη ἂν εὐκτικὸν τὸ οἴη, καὶ αἰολικῶς εἴη, ἐπεὶ καὶ ἡ μετοχὴ εἴς. οὕτω δὲ πρῶτον εἰπὼν ὑποκαταβὰς γράφει οὕτως· ἀπὸ τοῦ θεὶς καὶ βλεὶς γίνεται θεῖο εὐκτικὸν καὶ βλεῖο, οὗ χρῆσις ἐν Ἰλιάδι. πᾶν δὲ τοιοῦτον εὐκτικὸν ἤγουν εἰς ο λῆγον παρὰ Σικελοῖς ἀπὸ τῶν παρ' ἡμῖν εἰς εις ληγουσῶν μετοχῶν, μεταβάλλον τὸ ο εἰς ε πληθυντικὸν ποιεῖ προσθέσει τοῦ τ θεῖο θεῖτε, σφαγεῖο σφαγεῖτε, βληθεῖο βληθεῖτε. εἶτα εἰπὼν ὅτι οὕτω καὶ Ὅμηρος ἀπὸ διακρινθεὶς καὶ τοῦ ἐκεῖθεν σικελικοῦ διακρινθεῖο ἔφη τὸ διακρινθεῖτε τάχιστα. καὶ ἀπὸ τῆς κατὰ Σικελοὺς εἰς μετοχῆς καὶ τοῦ εἶο εὐκτικοῦ τὸ εἶτε, οἷον ποῖοι εἶτε Ὀδυσσῆϊ ἀμύνεμεν, 83b ὅπερ ἐν τοῖς ἑξῆς κεῖται, καταδέχεται καὶ τοὺς λέγοντας τὰ τοιαῦτα συγκεκόφθαι, οἷον τὸ διακρινθεῖτε ἐκ τοῦ διακρινθείητε καὶ τὸ εἶτε ἀπὸ τοῦ εἴητε, εἰπὼν ὡς διαφερόμεθα αὐτοῖς. οὐ γὰρ ἄτοπον αὐτὰ κατὰ συγκοπὴν ἐξενηνέχθαι. καὶ τοιαῦτα μὲν καὶ ταῦτα.

Ἰστέον δὲ ὅτι τεσσάρων ὄντων τούτων, τοῦ σάος ὁ ὑγιὴς, τοῦ σῶς κατὰ συναίρεσιν, τοῦ σόος διὰ τοῦ ο μικροῦ ὁμηρικῶς, καὶ τοῦ σῶος διὰ παραλήγοντος τοῦ ω μεγάλου, χρῆσις ἐνταῦθα κεῖται τοῦ σάος ἐν τῷ σαώτερος ὥς κε νέηαι, ἤγουν ὅπως ἀνακρωτηρίαστος ἀπονοστήσῃς, ὃ μεγάλην ἀπειλὴν ἔχει κατὰ τοῦ λέγοντος Χρύσου, εἰ καὶ εὐφήμως ἐσχημάτισται. παραλαλεῖ γὰρ ὡς ἀκρωτηριασθήσεται, εἰ μὴ ταχὺ μνήσεται νόστου.

Ἰστέον ὅτι οὐ μόνον διὰ τοῦ ι αἱ ἐπεκτάσεις εἰσὶν, ὡς ἐν τῷ οὑτωσὶ καὶ ταυτὶ καὶ νυνὶ, ἔτι δὲ καὶ διὰ τῆς δε συλλαβῆς, καὶ διὰ τῆς θα ὁμοίως, ὡς δηλοῖ τὸ ἔφησθα, οἶσθα, ἐθέλησθα καὶ τοιάδε. ἀλλ' οἵ γε παλαιοὶ καὶ τὸ ω ἔν τε ἄλλοις καὶ ἐν τῷ Ἴλιον εἴσω ἐπέκτασιν εἶναί φασι, νοοῦντες τὸ εἴσω ἀντὶ αὐτῆς ἐκείνης τῆς εις προθέσεως. τοῦτο δὲ οὐδὲν καινὸν, ἐὰν καὶ ἀντὶ ἐπιρρήματός τις νοήσῃ, διφορουμένου κατὰ τὴν σύνταξιν. ὥσπερ γὰρ ἀπὸ τῆς ἐξ προ-

θέσεως ἀεὶ γενικῇ συνταξομένης τὸ ἔξω ἐπίρρημα γενόμενον ἀεὶ καὶ αὐτὸ τὴν γενικὴν ἔχει, οὕτως οὐδὲν παράλογον, εἰ καὶ τὸ εἴσω γενόμενον ἀπὸ τῆς εἰς προθέσεως διφορουμένης ἐν τῇ συντάξει διφορεῖται καὶ αὐτὸ καθ' ὁμοίωσιν ἐκείνης, καὶ ἐπείπερ ἡ εἰς πρόθεσις καὶ αἰτιατικῇ κοινῶς οἶδε συντάσσεσθαι, ναὶ μὴν καὶ γενικῇ ἀττικῶς εἰς τὸ εἰς Ἅιδου. διὰ τοῦτο καὶ τὸ εἴσω ποτὲ μὲν οὕτω συνταχθήσεται, ποτὲ δὲ ἄλλως, οἷον τοῦ οἴκου.

Ἴσαν πεζῷ μὲν λόγῳ οὐκ ἂν εὐχρηστηθείη, ποιηταῖς δὲ χρησιμεύει. ἔστι δὲ αὐτοῦ τὸ θέμα ἴω, οὗ τὸ πληθυντικὸν ἴομεν πολλαχοῦ εὕρηται παρὰ τῷ ποιη- 84a τῇ. τοῦτο δὲ ἴω πλεονασμῷ τοῦ ε γίνεται εἴω καὶ συναιρέσει εἶω, ἐξ οὗ καὶ ᾖομεν ἀνὰ δρυμά, ἐν Ὀδυσσείᾳ, καὶ ὑπερσυντέλικος ἤειν καὶ ᾔια γουνούμενος. εἰ δέ τις προϋπάρχειν μὲν ἔρει τὸ εἶω διὰ διφθόγγου, ἀπ' αὐτοῦ δὲ γενέσθαι τὸ διὰ τοῦ ῑ γραφόμενον ἶω, ἀπελεύσει τοῦ ᾱ, οὐκ ἂν λέγοι τι ἄδεκτον. δηλοῖ δέ ποτε τὸ ἴσαν καὶ γνῶσίν τινα, ὡς ἐν τῷ, τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο.

Ἱπποκορυσταί, καὶ ἀπὸ θώρακος τὸ θωράσσω, καὶ ἀπὸ ἀσπίδος οἱ ἀσπισταί, καὶ ἀπὸ αἰχμῆς τὸ αἰχμάζειν καὶ οἱ αἰχμηταί, καὶ ἀπὸ κνημίδος εὐκνήμιδες, ὡς ἐκ μέρους ἐν τοῖς τοιούτοις δηλουμένης τῆς ὅλης ὁπλίσεως, οὕτω καὶ ἀπὸ ζώματος τοῦ συναπτομένου ἢ συῤῥαπτομένου τῷ στατῷ θώρακι, ἢ τῇ μίτρᾳ, ζώννυσθαί φησι Ὅμηρος νῦν τὸ ὁπλίζεσθαι εἰπών,

Ἀτρείδης δ' ἐβόησεν ἰδὲ ζώννυσθαι ἄνωγεν
Ἀργείους.

Ἴτην. εἶμι τὸ πορεύομαι, ὁ παρατατικὸς εἶν εἷς εἶ, τὸ δυϊκὸν ἴτον ἴτην.

Ἴτω. ἀπὸ τοῦ εἶμι τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν, τὸ προστακτικὸν ἴθι, τὸ τρίτον ἴτω, καὶ ζητητέον, ὡς τὸ ἴθι.

Ιυγξ. ὁ ἔρως. Θεόκριτος,

ἴυγξ ἔλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

ἔστι δὲ καὶ ἴυγξ ὄρνεόν τι, ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φίλτρα, τὸ ἐν τῇ συνήθει λεγόμενον σεισουρα, κατὰ δὲ γραμματικοὺς ἰσοπυγή.

Ἰχανόων σημαίνει τὸ ἐπιθυμῶ. παρὰ τὸ ἔχεσθαι λίαν γέγονεν ἰχάλῳ καὶ τροπῇ ἰχανῶ. ἢ ὅτε τὸ ε ἐν τοῖς ῥήμασι ἐπιφέρει δύο σύμφωνα, πολλάκις τρέπουσιν εἰς ι, μένω μίμνω, οὕτως ἔχω ἴσχω, καὶ ὡς φῶ φαίνω, οὕτως ἴσχω ἰσχαίνω, ὁ μέλλων ἰσχανῶ, καὶ ἀποβολῇ τοῦ σ ἰχανῶ, καὶ μετῆλθεν ἡ θέσει μακρὰ εἰς τὴν φύσει, ὡς γίγνεται γίνεται, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα.

Ἴφθιμος ψυχὴ γίνεται ἐκ τοῦ ἴφι τὸ ἰσχυρῶς, πλεονασμῷ τοῦ θ, ἵνα ᾖ ὥσπερ ὄψι ὄψιμος, ἢ καὶ ἄλλως ὡς ἄνθος ἄνθιμος, οὕτω καὶ ἴφι ἴφιμος καὶ πλεονασμῷ ἴφθιμος, ὑπερβιβασθέντος τοῦ χρόνου, καὶ τῆς μὲν ἀρχῆς γενομένης θέσει μακρᾶς, τῆς δὲ παραληγούσης φύσει ἐκταθείσης. τὸ δὲ εἰπεῖν γενέσθαι αὐτὸ ἐκ τοῦ ἴφι καὶ τοῦ θυμὸς ἡ ψυχὴ οὐ λίαν ἀρέσκει τοῖς παλαιοῖς, καὶ τὴν αἰτίαν ἐκεῖνοι λέγουσιν. ἀττικὸν δὲ τὸ ἰφθίμους ψυχὰς, καὶ ἠδύνατο μὲν καὶ ἰφθίμας εἰπεῖν κοινῶς, ὡς δηλοῖ τὸ ἰφθίμην ἄλοχον, ἐξέφυγε δὲ τὸ ἐν τρισὶ παρίσοις ἄκαιρον κάλλος.

Ἴψεται ἀντὶ τοῦ βλάψει. ἰάπτω, ὁ μέλλων ἰάψω, ὁ μέσος μέλλων ἰάψομαι ἰάψεται, καὶ ἐκβολῇ τοῦ ᾰ ἴψεται.

Ἴψ. σκώληξ. τὰ εἰς ιψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται, φλοιψ λιψ, αἰγίλιψ, κύκλωψ, πέλωψ. γέγονε δὲ παρὰ τὸ ἵπτω τὸ βλάπτω, ἴψω ἴψ. ἰστέον δὲ ὅτι θρὶψ θριπὸς καὶ σὴς σητὸς καὶ ἶξ ἰκὸς καὶ σκώληξ διαφέρει. καὶ θρίπες μὲν οἱ τὰ ξύλα ἐσθίοντες σκώληκες, καὶ δὴξ εἶδος σκώληκος ἐγγινομένου

ἔνδον τῶν ξύλων, τρωξ ὁ τὰ ὄσπρια, ψὴν ὁ τὰ σῦκα, σὴψ ὁ τὰ κρέατα, σῆτες δὲ οἱ τὰ ἱμάτια, ἶπες δὲ οἱ τὰ κέρατα, οἷον, μὴ κέρατα ἶπες ἔδοιεν. ἶκες δὲ οἱ τὰς ἀμπέλους, σκώληκες δὲ ἐπὶ τῆς γῆς. ἐκ δὲ τοῦ ἶψ ἰπὸς γίνεται ῥῆμα ἰπέω ἰπῶ ἴπημαι ἰπημαῖος, ἀντὶ τοῦ ὑπὸ ἰπὸς βεβρωμένος.

Ἰῷ ἥματι, ἐν μιᾷ ἡμέρᾳ. ἶον εὐθεῖα ἀντὶ τοῦ τὸ μόνον, ἡ γενικὴ ἴου, ἡ δοτικὴ ἰῷ περισπώμενον, τὸ ἀρσενικὸν ἴος, τὸ θηλυκὸν ἶα.

Ἰών. παραγενόμενος. ἐκ τοῦ ἴω ἰῶ ὁ β' ἀόριστος ἶον, ἡ μετοχὴ ἰών.

Ἴωκα. ἰῶκά τε δακρυόεσσαν. τινὲς γράφουσιν ἰῶκατε δακρυόεσσαν. γίνεται δὲ ἔκθεσμον. ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκὴν λέγει ἤγουν τὴν δίωξιν. τὸ δὲ ἰωκὴ παρὰ τὸ διώκω διωκή, καὶ κατὰ ἀποβολὴν τοῦ δ̄ ἰωκή. λέγεται καὶ ἴωξις, ὡς ἐκ τοῦ λέξω λέξις, καὶ ἕξω ἕξις, διώξω δίωξις, καὶ κατὰ ἀποβολὴν τοῦ δ̄ ἴωξις. ἔστι δὲ Ἰώνων τὸ πάθος, γαῖα αἶα.

Ἰωχμός. δίωξις, ταραχή, παρὰ τὸ διώξω δεδίωγμαι διωγμὸς, καὶ τροπῇ τοῦ γ̄ εἰς χ̄, καὶ ἀποβολῇ τοῦ δ̄ ἰωχμὸς, ὡς ἀπὸ τοῦ πλέξω πλοχμὸς, καὶ ἀπὸ τοῦ βρέξω βροχμός.

85 a Ἴωνες τοῖς παρακειμένοις ἀντὶ ἐνεστώτων χρῶνται, οἷον διανενόημαι ἀντὶ τοῦ διανοοῦμαι. περὶ δὲ τοῦ εἶναι ὁ Ἡρακλείδης φησὶ, ὡς ἧκεῖται ἧκηται, οἰκεῖται ὤκηται, οὕτως ἀπὸ τοῦ ὦ πρώτης συζυγίας τῶν περισπωμένων παθητικοῦ ἐνεστῶτος τρίτον εἶται, οὗ εἴη ἂν παρακείμενος ἦται, μεταπεσούσης κἀνταῦθα τῆς διφθόγγου εἰς η̄, πληθυντικὸν δὲ αὐτοῦ προσθέσει τοῦ ν̄ ἀναλόγως ἦνται, κατὰ τὸ πεποίηται πεποίηνται καὶ τὰ ὅμοια. εἶτα ἰωνικῇ τμήσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ, ὡς νενόηνται νενοέαται, οὕτω καὶ ἦνται ἔαται. Ὅμηρος δὲ κατὰ ἰάδα προσθεὶς τὸ ῑ ἔφη ἧαται ἐν μεγάροις. εἶτα λέγει ὅτι καὶ τὸ δασυνόμενον καὶ διὰ τῶν αὐτῶν στοιχείων ἐκφερόμενον οὕτως ἔχει.

το γαρ ηνται ἤγουν κάθηνται κατὰ τμῆσιν τῆς ην συλλαβῆς εἰς ε̄ καὶ ᾱ ἕαται λέγεται, οἷον, οἳ δὴ νῦν ἕαται σιγῇ. τούτοις δὲ ὁ αὐτὸς ἐπάγει καὶ ὅτι ἔνιοι τῶν Ἰώνων μόνον τὸ ῃ ἐν τοῖς τοιούτοις παρακειμένοις εἰς ε̄ καὶ ᾱ τέμνοντες τὸ ἑπόμενον ν φυλάττουσι, πεποιέανται λέγοντες καὶ γεγενέανται. καθὰ καὶ τὸ ἐγένοντο ἔγεντο. καὶ ὅ γε Ζηνόδοτος πολλάκις φησί. παρὰ τῷ ποιητῇ οὕτω γράφει καὶ τὰ ἑνικά, δίχα μέντοι τοῦ ν, τὸ πεποίηται καὶ νενόηται πεποιέαται γράφων καὶ νενοέαται. ἡ μέντοι ἀριστάρχειος ἔκδοσις οὐκ οἶδεν Ὅμηρον τῇδε τῇ διαλέκτῳ χρώμενον, εἰ καί τισιν ἔδοξεν ὁμοίως τῷ πεποίηται πεποιέαται, καὶ τὸ ἦται ἑνικὸν ἤγουν κάθηται γενέσθαι ἕαται καὶ ληφθῆναι βοιωτικῶς ἀντὶ τοῦ πληθυντικοῦ τοῦ ἦνται, ἕαται ἐν τῷ, οἳ δὴ νῦν ἕαται σιγῇ. ὃ δὴ ἀποῤῥαπίζει ὁ Ἡρακλείδης εἰπὼν, οὐδέποτε τὸν Ὅμηρον ἑνικοῖς χρῆσθαι ῥήμασιν ἀντὶ πληθυντικῶν, καθάπερ ἐνίοις Βοιωτῶν ἔδοξεν.

Κ.

Καββαλών. βάλλω ἔβαλον βαλὼν καταβαλὼν, καὶ συγκοπῇ αἰολικῇ καὶ τροπῇ τοῦ τ̄ εἰς τὸ ἐπαγόμενον σύμφωνον τὸ β̄ καββαλών. οὕτως τὸ κατέπεσε κάππεσε, κακόμορος κάμμορος.

Καθειμένος. κανόνισον· εἶω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἶμαι, ἡ μετοχὴ ὁ εἱμένος καὶ μετὰ τῆς κατὰ προθέσεως καθειμένος, τὸν πώγωνα, ἤτοι βαθὺν ἔχων καὶ μέχρι τῆς ὀσφύος κατακελασμένον.

Κάθημαι. παρὰ τὸ ἕω καὶ ἐξ αὐτοῦ παράγωγον ῥῆμα εἰς μι ἧμι, καὶ τὸ παθητικὸν ἕμαι, καὶ κράσει τῶν δύο εε εἰς η̄ ἧμαι καὶ μετὰ τῆς κατὰ προθέσεως καὶ ἀναβιβασμῷ τοῦ τόνου κάθημαι.

Κάθη. ἰστέον ὅτι τὸ κάθη καὶ τὸ μέμνη παράλογά εἰσιν. παθητικοῦ γὰρ ἐνεστῶτος τῶν εἰς μι, ὁ δὲ

ἀπὸ τῶν εἰς μι ἐνεστὼς παθητικὸς τροπῇ τοῦ τ τον τρίτου προσώπου εἰς σ τὸ δεύτερον ποιεῖ, τίθεται τίθεσαι. οὕτως οὖν ἀπὸ τοῦ κάθηται κάθησαι, καὶ μέμνηται μέμνησαι παθητικοῦ παρακειμένου. πᾶς γὰρ παθητικὸς παρακείμενος περισπώμενος τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον, πεποίηται πεποίησαι, μέμνηται μέμνησαι, καὶ ἀποβολῇ τοῦ σ ἰωνικῶς μέμνηαι, καὶ κατὰ συστολὴν μέμνεαι καὶ κράσει μέμνῃ. καὶ πάλιν ἀπὸ ἐῶ τοῦ σημαίνοντος τὸ καθέζομαι γίνεται παράγωγον ἧμι ἧμαι ἦμαι, καὶ ἐν συνθέσει κάθημαι κάθησαι καὶ ἀποβολῇ τοῦ σ κάθηαι, καὶ συστολῇ κάθεαι καὶ κράσει κάθῃ. οὕτως δύναμαι δύνασαι δύνεαι, καὶ κράσει τοῦ ε καὶ α εἰς η δύνῃ. ἢ ἐκ τοῦ ἔω βαρυτόνου τὸ παθητικὸν ἧμαι, τὸ δεύτερον ἧῃ, καὶ ἐν συνθέσει τῆς προθέσεως καὶ συγκοπῇ αὐτῆς καὶ κράσει τοῦ ε καὶ η εἰς η ἀναδόσει τοῦ τόνου κάθῃ.

86 a Καθήσθω. κανόνισον· ἔω τὸ καθέζομαι βαρύτονον, καὶ ἐξ αὐτοῦ παράγωγον ῥῆμα εἰς μι ἧμι, τὸ παθητικὸν ἧμαι, καὶ κράσει τῶν δύο εε εἰς η ἧμαι καὶ μετὰ τῆς κατά προθέσεως καὶ ἐκβολῇ τοῦ α καὶ τροπῇ τοῦ ψιλοῦ τ εἰς τὸ δασὺ θ διὰ τὸ ἐπιφερόμενον δασὺ πνεῦμα κάθημαι, ὁ ὑπερσυντέλικος ἐκαθήμην ἐκάθησο, καὶ τὸ προστακτικὸν κάθησο καθήσθω.

Καθῆστο. ἐκ τοῦ ἔξω τὸ κάθημαι ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥσμην ἧσο ἧστο, καὶ μετὰ τῆς κατά καὶ συγκοπῇ καθῆστο.

Κάθου. ἐκ τοῦ ἔω βαρυτόνου τοῦ σημαίνοντος καθέζομαι παραγωγῇ τονικῇ ἔω περισπώμενον, ἀφ' οὗ παράγωγον ἧμι, τὸ παθητικὸν ἧμαι καὶ κράσει τῶν δύο εε εἰς η ἧμαι καὶ μετὰ τῆς προθέσεως κάθημαι κατὰ συγκοπὴν καὶ ἀνάδοσιν τοῦ τόνου, ὁ παρατατικὸς ἐκαθήμην ἐκάθησο, ἀποβολῇ τοῦ σ ἰωνικῶς καὶ συστολῇ τοῦ η εἰς ε ἐκάθεο καὶ κατὰ συναίρεσιν ἐκάθου, καὶ τὸ προστακτικὸν κάθου. ἢ οὕτως.

ὥσπερ ἀπὸ τοῦ ἔω εἶον ὁ παρατατικὸς ἀντὶ τοῦ ἐκαθήμην, οὕτως ἔομαι εἰόμην ὁ παθητικὸς παρατατικὸς, τὸ δεύτερον εἶου, τὸ προστακτικὸν ἔου καὶ κράσει οὗ καὶ κάθου.

Κάθισον. ἐκ τοῦ καθίζω. τοῦτο ἐκ τοῦ ἕζω, τὸ δὲ ἕζω ἐκ τοῦ ἔω, καὶ ἐπεὶ ἡνίκα γέγηται πλεονασμὸς συμφώνου, τρέπεται τὸ ε̄ εἰς ῑ, πλεονάζει τὸ ζ̄ καὶ γίνεται ἵζω καὶ καθίζω.

Καθεῦδεν οὐκ ἀνέδωκε τὸν τόνον, ἐπειδὴ ἀπὸ φύσει μακρᾶς ἤρξατο. τὸ γὰρ κάθευδε προπαροξύτονον προστακτικόν ἐστιν.

Καὶ σφεας. ἰστέον ὅτι τὸ καὶ σφισιν οὐκ ἔστιν ἀπὸ τοῦ σφίσι βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφῖν ἐγένετο σφίσιν, καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος καὶ γέγονε καὶ σφισι, καὶ πάλιν τὸ καὶ σφεας οὐκ ἔστιν ἀπὸ τοῦ σφέας βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφᾶς ἐγένετο σφέας καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος καὶ γέγονε καὶ σφεας.

Κακκείοντες. κῶ ῥῆμα τὸ δηλοῦν τὸ κοιμῶμαι καὶ κέω, καὶ πλεονασμῷ τοῦ ῑ κείω κείων κείοντες κατακείοντες καὶ κακκείοντες κατὰ ἀναδιπλασιασμὸν, ἢ μᾶλλον κατὰ συγκοπὴν αἰολικὴν τῆς κατά προθέσεως καὶ τροπῇ τοῦ τ̄ εἰς τὸ ἐπαγόμενον σύμφωνον ἤγουν τὸ κ̄, ὡς τὸ καταβαλὼν καββαλὼν, κατάμορος κάμμορος. ἔστι δὲ ἐνεστὼς καὶ παρατατικός. ἔχει δὲ ἔμφασιν μέλλοντος.

Κάκιθος σημαίνει τὸν κακιζόμενον παρὰ τὸ κακίζω κάκιστος καὶ κάκιθος.

Κακχεῦσαι. καταχεῦσαι καὶ ἐν συγκοπῇ κακχεῦσαι. ἡ γὰρ κατά συγκοπτομένη αἰολικῶς, ὡς εἴρηται, τρέπεται πρὸς τὸ ἐπαγόμενον σύμφωνον. ὤφειλεν οὖν καχχεῦσαι εἶναι, ἀλλὰ γίνεται τροπὴ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων, ὥσπερ καὶ ἐν τῷ κάτθανεν.

Κάλως κάλωσος, ὡς ἥρως ἥρωσος, καὶ κατὰ ἀποκοπὴν κάλω, ὡς ἅλως ἅλω καὶ ἕως ἕω καὶ κέως κέω.

Καλλιπάρηος. παρὰ τὸ κάλλος καὶ τὸ παρειὰ γίνεται καλλιπάρηος τροπῇ δωρικῇ τῆς ει διφθόγγου εἰς η. τοῦτο δὲ παρὰ τὸ ἐπαίρω τὸ ἀνατεταμένον μέρος τοῦ σώματος.

Κανάχιζεν. ἦχει. ἀπὸ τοῦ κενὸν ἀχεῖν. ἔστι καὶ περισπώμενον καναχῶ καναχήσω, ἐξ οὗ καὶ καναχηδὸν ἐπίρρημα καὶ καναχὴ ἡ βοή.

Κάππεσεν. κατέπεσεν καὶ συγκοπῇ κάππεσεν.

Κασσωρεύουσα. πορνεύουσα, παρὰ τὸ κασσωρίς. Λυκόφρων, ἡ δὲ κάσσαρα σεμνῶς κασσωρεύουσα κοιλανεῖ δόμους.

Καταείνυον. θρυξὶ δὲ πάντα νέκυν καταείνυον. ἀντὶ τοῦ κατεκάλυπτον, ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ πληρῶ, κατὰ δὲ ἐνίους τὸ ἐνδύομαι, ἕω ἐνύω, ὁ καὶ εἰνύω, ὁ παρατατικὸς εἴνυον καὶ καταείνυον. 87 a

Καταΐγδην. ὁρμητικῶς. ἀπὸ τοῦ αἴσσω αἴγδην, ἡ εἰς τὸ ἔμπροσθεν ὁρμῶσα καὶ αἴσσουσα.

Κατεδηδοκῶς. κανόνισον· ἔδω τὸ ἐσθίω καὶ ἐδέω ἐδῶ συζυγίας β' τῶν περισπωμένων, ὁ μέλλων ἐδέσω, ὁ παρακείμενος ἤδεκα, καὶ ἀττικῶς ἐδήδοκα, ὁ ὑπερσυντέλικος ἠδόκειν καὶ ἀττικῶς ἐδηδόκειν, ἡ μετοχὴ ὁ ἠδοκῶς καὶ ἐδηδοκῶς καὶ κατεδηδοκῶς καὶ κατεδηδόκειν παρὰ τοῖς ῥήτορσιν.

Καταπέψει. καταδαπανήσει ἢ καταπραϋνεῖ. πέπτω πέψω ἔπεψα ἐὰν πέψω, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ περιπεπτομένων σιτίων.

Κατακλῶθες. αἱ ἐπικλώσεις τῶν μοιρῶν, παρὰ τὸ κλώθω. τοῦτο παρὰ τὸ κάτω καθέλκειν τοὺς τῶν νημάτων ὁλκούς. ἀπὸ τοῦ κλώσω δὲ μέλλοντος κλῶς ἀποβολῇ τοῦ ω μεγάλου, ἀπὸ δὲ τοῦ κλῶς καὶ κατακλῶς, ἐκ δὲ τοῦ κέκλωσται καὶ κλωστής.

Κατακτανέεσθαι. κτείνω κτενῶ ἔκτανα, ὁ δεύτερος ἀόριστος ἔκτανον, ὁ μέλλων κτανῶ κτανοῦμαι ἔκτανῆ κτανεῖται, τὸ ἀπαρέμφατον κτανεῖσθαι καὶ δια-

λύσει τῆς διφθόγγου εἰς δύο ε̄ε̄ κτανέεσθαι κατακτανέεσθαι.

Κατακρῆθεν. κατάκρας παρὰ τὸ κάρη καρῆθεν καὶ συγκοπῇ κατακρῆθεν.

Καταμύξατο. καθημάτωσε, κατέξυσεν, ἐκ τοῦ ἀμύσσω.

Καταπροΐξασθαι. ἀπὸ τῆς προικὸς, ἣν διαιροῦντες οἱ Ἴωνες προΐκα λέγουσιν. ἐκ τοῦ ἵκω τοῦ σημαίνοντος τὸ ἔρχομαι ἵξω, ὁ μέσος ἀόριστος ἰξάμην ἵξω ἵξατο ἵξασθαι καὶ προΐξασθαι.

Κατάσχωμεν καὶ οὐ κατασχῶμεν, ἐπειδὴ πᾶς ὑποτακτικὸς ἀόριστος μονοσύλλαβος εἰς ω̄ λήγων ἔχων τὴν μετοχὴν εἰς σ̄ ὀξύτονον τὸν αὐτὸν τόνον καὶ ἐν 87b τῇ συνθέσει φυλάττει, βῶ ἀναβῶ, θῶ καταθῶ, δῶ ἀναδῶ, εἰ δὲ μὴ εἰς σ̄ ὀξύτονον ἔχει τὴν μετοχὴν, μεταπέμπει τὸν τόνον ἐν τῇ συνθέσει, οἷον σχῶ κατάσχω καὶ κατάσχωμεν καὶ πρόσχωμεν. σχὼν δέ ἐστιν ἡ μετοχή.

Κατάβα. κανόνισον· βίβημι τὸ περιπατῶ, ὁ μέλλων βήσω, ὁ ἀόριστος ἔβησα, ὁ β' ἔβην, ἡ μετοχὴ ὁ βὰς τοῦ βάντος, καὶ τὸ προστακτικὸν βάθι καὶ μετὰ τῆς κατὰ προθέσεως κατάβαθι καὶ κατὰ ἀποκοπὴν κατάβα, ὡς τὸ κατάβα πανοῦργε.

Κασπιλάζοντες. κατακρύπτοντες, ἀπὸ μεταφορᾶς τῶν ὑφάλων πετρῶν σπιλάδων ὀνομαζομένων, αἳ ὑπὸ τοῦ ὕδατος καλυπτόμεναι τοῖς προσπελάζουσιν κίνδυνον ἐπιφέρουσιν.

Καταψύχων. ὁ ἠρέμα κολακεύων καὶ κρατῶν. καταψῶ καταψήσω, καὶ ἀνεδόθη εἰς ἐνεστῶτα καταψήχω. ἐκ δὲ τοῦ ψήχω καὶ τὸ ψώχω τὸ κρατῶ τροπῇ τοῦ η̄ εἰς ω̄, ὡς ῥήσσω ῥῆξω ῥῆξ καὶ ῥώξ.

Κατέκταθεν. ἀπὸ τοῦ κτείνω κτενῶ ὁ παθητικὸς ἀόριστος ἐκτάνθην, ὡς φαίνω ἐφάνθην, τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάνθημεν ἐκτάνθητε ἐκτάνθησαν καὶ ἔκτανθεν, ὡς ἐκοσμήθησαν κόσμηθεν. ἢ

ἐστὶ ῥῆμα κτῶ, ὁππότε κεν τοῦτον κτέομεν, καὶ κτῆμι παράγωγον, ὁ δεύτερος ἀόριστος ἔκτην, ὅπερ γίνεται ἔκταν, ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν, ἔκτας ἔκτα, ἡ μετοχὴ κτὰς, ἄνδρα κατα-
5κτάς, ὁ μέσος ἀόριστος ἐκτάμην ἔκτασο ἔκτατο, ἐκτάθην ἐκτάθημεν ἐκτάθησαν καὶ ἔκταθεν.

Κατέστυξαν. ἐφοβήθησαν, ἀπὸ τοῦ στύγω.

Κατέτρωξαν. τρώγω, ὁ μέλλων τρώξω, ὁ ἀόριστος ἔτρωξα ἔτρωξαν καὶ κατέτρωξαν.

10 Κατέρεξε. κατέψησε, κατεψηλάφησε, κατεπράϋνε. ῥέζω ῥέξω.

Κατήριε. κατέβαλεν. αἴρω γὰρ σημαίνει τὸ καταβάλλω. ἤρεον ἤρουν ἤρεε.

Κατηφής. ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς
88a ὀφθαλμούς. παρὰ τὸ φῶ τὸ σημαῖνον τὸ φαίνω γέγονε παράγωγον φάω φαὴν καὶ ἐν συνθέσει καταφαὴς καὶ ἐν συγκοπῇ κατηφὴς, ὁ τὰ φάη κάτω ἔχων, καὶ κατήφεια.

Καυάξαις. Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις, οὔτέ
20κε νῆα καυάξαις, ἀντὶ τοῦ κατάξαις καὶ συντρίψαις. μετὰ γὰρ τὸ ᾱ, φωνήεντος ἐπαγομένου, προστίθεται αἰολικῶς τὸ ῡ, ὡς ἀὴρ αὐὴρ, ἄως αὔως, ἡ ἡμέρα, ἄαταν τὴν βλάβην καὶ τὴν ἀκόρεστον αὐάταν, μεσάζοντος δὲ συμφώνου, οὐκ ἔτι. τὰ δὲ μετὰ φω-
25νῆεν τιθέμενα σύμφωνα διπλασιάζονται αἰολικῶς, ἢ τὰ αὐτὰ ἢ ἕτερα ἁπλῶς σύμφωνα· τὰ αὐτὰ μὲν, οἷον ὔμμες ἄμμες, Πέῤῥαμος ὁ Πρίαμος· ἕτερα δὲ ἁπλῶς σύμφωνα, οἷον ὄκχος. ἀποβάλλουσι δὲ καὶ τὸ γ τῶν εἰς ιξ ληγόντων ὀνομάτων, οἷον ἴϋξ, φόρμιξ, φάρυξ,
30καὶ μυρία τοιαῦτα ἕτερα.

Καύσω εἰ μὲν ἀπὸ τοῦ καίω, ἔτρεψε τὸ ῑ εἰς ῡ ὁ μέλλων, ὡς κλαίω κλαύσω· εἰ δὲ ἀπὸ τοῦ κάω ἀττικοῦ ἐνεστῶτος, ἐπλεόνασε τοῦ ῡ ἐπὶ τοῦ μέλλοντος, ὡς ἐπὶ τοῦ παίω δαίω καὶ τῶν λοιπῶν. ἔνιοι δέ
35φασιν αἰολικὸν εἶναι τὸν τοῦ ῡ πλεονασμόν. ὡς γὰρ

χέω χεύω χεύσω, θέω θεύω θεύσω, οὕτως κάω καύω καύσω, κλάω κλαύω κλαύσω.

Κάψα. παρὰ τὸ κάπτω τὸ ἐσθίω, ἡ χωρητικὴ οὖσα τῶν ἐντιθεμένων αὐτῇ. ὥσπερ ἀπὸ τοῦ δόξω δόξα, δύναται καὶ παρὰ τὸ κάπτω κάψω κάψα εἶναι, ἐπειδὴ ἐκ κεκαυμένων ξύλων αὐτὴν συνεστήσαντο.

Καρήατος. κάρης κάρητος καρήατος πλεονασμῷ τοῦ ᾱ, ἔνθεν τὸ καδδὲ κάρητος οὖλας ἦκε κόμας. ἢ μᾶλλον ἀπὸ τοῦ κάρηαρ. ἔχομεν γὰρ εἰς αρ ὑπὲρ δύο συλλαβὰς δέλεαρ, ὄνειαρ, καρήατος ἡ γενικὴ, ὡς δελέατος, ὀνείατος. οὐ γάρ ἐστιν ἁπλοῦν λῆγον ὑπὲρ β′ συλλαβὰς, ἄλλως τε εἰ ἦν κάρηας, ἄνευ τοῦ τ ἐγένετο ἂν ἐπὶ γενικῆς. κάρηαρ οὖν ἡ εὐθεῖα ἀπὸ τοῦ κείρω τοῦ σημαίνοντος τὸ κόπτω γίνεται κέρανον καὶ κάρανον, καὶ ἀποκοπῇ κάρα. ἀπὸ τοῦ κάρανον γίνεται κάρηνον καὶ ἀποκοπῇ κάρη, ἐξ οὗ τὸ κάρηνα τὸ πληθυντικὸν ἐκ τοῦ κάρηνον.

Κακκείοντες. ἀντὶ τοῦ ἔφεσιν ἔχοντες τοῦ 88b κατακεῖσθαι εἰς ὕπνον, οὕτω καὶ ὀψείοντες οἱ ἔχοντες ἐπιθυμίαν τοῦ ὄψεσθαι, καὶ βρωσείοντες καὶ πολεμησείοντες οἱ ἐπιθυμοῦντες βρώσεως καὶ πολέμου. καὶ ἄλλα δέ εἰσι τοιαῦτα μυρία. τὸ δὲ πρῶτον κ τὸ τ ἐστὶ τῆς κατά προθέσεως, εἰωθυίας ἐν τῇ τοῦ α ἀποκοπῇ συνεξομοιοῦσθαι τῷ ἐπαγομένῳ συμφώνῳ, ὡς καὶ ἐν τῷ *κάππεσον ἐν Λήμνῳ* δηλοῦται, καὶ ἐν τῷ κάλλιπον ἀντὶ τοῦ κατέλιπον. ἰστέον δὲ ὅτι τοῦ κεῖσθαι καὶ τῆς ἀπ' αὐτοῦ κινήσεως προϋπάρχει τὸ κέω, οὗ μετοχὴ κέων ἐν Ὀδυσσείᾳ. *ὄρσο κέων ὥ ξεῖνε.* τοῦτο ἐνθέσει τοῦ ῑ γίνεται κείων, ὅθεν τὸ *κακκείοντες ἔβαν*, ἤγουν κατακεισόμενοι εἰς ὕπνον. τῆς δὲ συστοιχίας τοῦ κακκείοντες ἐστὶ καὶ τὸ καρρέξειν ἤτοι καταψᾶν, καὶ τὸ κάββαλε καὶ τὸ καδδέπεσε, καὶ τὸ καπφάλαρα δὲ καὶ τὸ κάθανεν.

Καλήμεναι. ποιητικοῦ ῥήματος τὸ θέμα ἢ καλέω ἐστὶν ἢ κάλημι, ἵνα ὡς ἐκ τοῦ τιθῶ τίθημι τὸ

τιθήμεναι, οὕτως εἴη καὶ ἐκ τοῦ καλῶ κάλημι τὸ καλήμεναι.

Καταπτήτην συγκέκοπται ἐκ τοῦ κατεπτηξάτην.

Κάρητι. οἱ μὲν συγκοπῆναί φασι ἀπὸ τοῦ κάρηαρ καρήατος καρήατι, οἱ δὲ ἀρσενικῶς κλίνουσιν ἐκ τοῦ κάρης κάρητος ὡς Δάρης Δάρητος.

Κάῤῥων. ὥσπερ παρὰ τὸ βαθὺς γίνεται βαθύτερος καὶ βαθίων, ὁ τρίτος τύπος τῶν συγκριτικῶν βάσσων, καὶ ἀπὸ τοῦ ταχὺς τάχύτερος ταχίων τάσσων καὶ θάσσων. οὕτω καὶ παρὰ τὸ κρατὺς κρατύτερος κρατίων κράσσων. τοῦτο δὲ γίνεται ὑπερθέσει κάρσων καὶ κάῤῥων, ὡς Τυρσηνὸς Τυῤῥηνὸς, ταρσὸς ταῤῥός.

Κέαρ. ἡ ψυχὴ, παρὰ τὸ κεκράσθαι ἐκ ψυχροῦ καὶ θερμοῦ ἐπίσης ἔχοντος. κῆρ δὲ παρὰ τὸ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα. κλίνεται τὸ κέαρ τοῦ κέαρος καὶ κατὰ κρᾶσιν κῆρος, ὡς ἔαρ ἦρ, ἔαρος ἦρος. ἡ κὴρ δὲ τῆς κηρὸς ἐπὶ τῆς θανασίμου μοίρας.

89 a Κέαται. σημείωσαι ὅτι οὐ μόνον ἐπὶ παρατατικοῦ καὶ ὑπερσυντελίκου παθητικοῦ ποιοῦσιν οἱ Ἴωνες τρίτα πρόσωπα τῶν πληθυντικῶν, ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος παθητικοῦ, οἷον κεῖμαι κεῖσαι κεῖνται καὶ κέαται, ἢ ἐκ τοῦ κεῖται τρίτου προσώπου τῶν ἑνικῶν διαλύσει τῆς διφθόγγου ἰωνικῶς εἰς η̄ καὶ ᾱ κεῖται καὶ κέαται, ὡς τέτυπται τετύφαται.

Κεδνὸς, συνετὸς, κηδεμονικώτερος. ἔστι ῥῆμα κοῶ τὸ σημαῖνον τὸ νοῶ, ὁ μέλλων κοήσω, καὶ ῥηματικὸν ὄνομα κεδνὸς, ὡς σέβω σεμνὸς, τέρπω τερπνός. ἢ παρὰ τὸ κήδω κηδανός τις ὤν, οὗ ἄν τις κήδοιτο. ἢ ἀπὸ τοῦ κάζω τὸ καλλωπίζω καὶ τοῦ νοῦς, ὁ κατὰ νοῦν κεκοσμένος. ἔχει δὲ τὸ δ̄ ἐκ τοῦ ξ̄. τὸ γὰρ ξ̄ ἐκ τοῦ δ̄ καὶ σ̄ σύγκειται. ἐξεβλήθη τὸ σ̄ ἀπὸ τοῦ ξ̄ καὶ ἔμεινε τὸ δ̄. γίνεται οὖν καδνὸς ἀπὸ τοῦ κάζω, καὶ τροπῇ τοῦ ᾰ εἰς ε̄ κεδνός.

Κεχαδήσει. ἔστι χάζω τὸ ὑποχωρῶ, οὗ ὁ μέσος παρακείμενος κέχαδα, ὡς φράζω πέφραδα, ὁ ἀόριστος δὲ ἔχασα, ὁ μέσος ἐχασάμην, ἀφ' οὗ τὸ ἐχάσατο ἰωνικῶς τρίτον πρόσωπον, οἷον χάσατο δὲ πελεμιχθείς. τούτου τοῦ χάζω ὁ δεύτερος ἀόριστος ἔχαδον, ὁ μέσος ἐχαδόμην ἐχαδόμεθα ἐχάδοντο, καὶ ἀναδιπλασιασμῷ κεχάδοντο καὶ τροπῇ κεκάδοντο. ἀπὸ τοῦ ἔχαδον χαδῶ περισπώμενος ἐνεστὼς, ὁ μέλλων χαδήσω, τὸ τρίτον χαδήσει, καὶ διπλασιασμῷ καὶ τροπῇ κεκαδήσει, ἀπὸ δὲ τοῦ ἔχαδον χαδὼν διπλασιασμῷ καὶ τροπῇ κεκαδὼν, σημαίνει τὸ στερήσας.

Κεκαδησόμεθα. λυπηθόμεθα, φροντιοῦμεν, ἀπὸ τοῦ ἄχος ἀχῶ, ἀχάζω ἀχαδῶ, διαλύσει τοῦ ζ εἰς σ καὶ δ, καὶ ἀποβολῇ τοῦ σ, καὶ κατὰ ἀφαίρεσιν χαδῶ χαδήσω χαδήσομαι καδήσομαι, καὶ διπλασιασμῷ κεκαδήσομαι.

Κεκάμω, οἷον, ἐπεὶν κεκάμω. ἐὰν γράψῃ ἐπεὶν, ὁ κε σύνδεσμος παραπληρωματικὸς, εἰ δὲ ἐπὴν κεκάμω, ἀναδιπλασιασμός ἐστιν ἡ κε συλλαβὴ καὶ ἔστιν ἐνεστώς.

Κεκασμένος. κάζω κάσω κέκακα κέκασμαι κεκασμένος.

Κεκινέαται. κινῶ κινήσω κεκίνηκα κεκίνημαι κεκίνηται καὶ λακῶς κεκινέαται. 89b

Κεκαφηότα. ἐκπεπνευκότα. κάφος γὰρ τὸ πνεῦμα. καφῶ καφήσω κεκάφηκα κεκαφηκὼς καὶ ἀποβολῇ τοῦ κ κεκαφηώς.

Κεκλειμένων. οἱ μὲν κεκλεισμένων, οἱ δὲ κεκλειμένων, ἀπὸ τοῦ κέκλειμαι. κλείω κλείσω κέκλεικα κέκλειμαι, καὶ ὤφειλεν εἶναι κέκλεισμαι. ἡνίκα γὰρ ὁ εἰς θην παθητικὸς ἀόριστος ἔχει πρὸ τοῦ θ τὸ σ, πάντως καὶ ὁ παθητικὸς παρακείμενος ἔχει πρὸ μ τὸ σ, οἷον ἐσβέσθην ἔσβεσμαι. καλῶς οὖν ἐσημειώθη.

Κέκληκα. ἐκ τοῦ καλῶ κεκάλεκα καὶ συγκοπῇ κέκληκα, ἐξ οὗ τὸ κεκληγὼς τροπῇ τοῦ κ εἰς γ. σημαίνει δὲ κεκραγὼς, βοῶν.

Κεκλήγοντες. ὡς ἀρήγοντες. οὐ γὰρ τὸ κεκληγότες, ὅπερ ἐστι τοῦ παρακειμένου μετοχὴ, ἐπλεόνασε τὸ ν, ἀλλ' ἀπὸ τοῦ κέκληγα γίνεται κεκλήγω ἐνεστῶς, ὥσπερ παρὰ τὸ πέπληγα πεπλήγω. ἔνθεν τὸ πεπέπληγον. κεκλήγω οὖν καὶ ἡ μετοχὴ κεκλήγων κεκλήγοντος κεκλήγοντες. ὁ δὲ κέκληγα μέσος παρακείμενος ἀπὸ τοῦ κέκραγα μέσου παρακειμένου κατὰ τροπὴν ἰωνικὴν τοῦ α εἰς η καὶ τοῦ ρ εἰς τὸ λ κέκληγα, ἡ μετοχὴ κεκληγώς.

Κεκλίαται. κλείω κλείομαι κέκλειμαι κέκλειται κεκλείαται κατὰ συστολὴν τῆς ει διφθόγγου, οἷον αἴθ' ἁλὶ κεκλίαται.

Κεκλιμένος. ὁ παρακείμενος κέκλεικα, ὁ παθητικὸς κέκλειμαι, καὶ ἐκλήψει τοῦ ε κέκλιμαι. οὐ γὰρ τὸ κλίνω, ἀλλὰ τὸ παρακεκλιμένος, οἷον στήλῃ κεκλιμένος, ἀντὶ τοῦ ὑπὸ στήλης περιεχόμενος. ἔνθεν τὸ ἐκέκλιτο λίμνη. ὥσπερ ἀπὸ τοῦ κλείω κλείσω κλεὶς καὶ δικλίς.

Κεκλήατο. ὅσοι κεκλήατο βουλήν. κλῶ κλήσω κέκληκα κέκλημαι ἐκεκλήμην ἐκέκληντο καὶ ἰακῶς κεκλήατο.

Κεκλόμενοι. ἐγκελευόμενοι. ἀπὸ τοῦ κέλω κέλομαι κελόμενοι καὶ κεκλόμενοι, οἷον ἀλλήλοισί τε κεκλόμενοι.

Κέκλυθι. κλύω κλῦμι κλὺς κλύντος κλῦθι, καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλυθι. τὸ δεύτερον τῶν πληθυντικῶν κλύτε, κέκλυτε. ἀλλ' ἴσως τις ἐρεῖ ὅτι ταῦτα συστέλλονται, τὸ δὲ κλῦθι μακρὸν ἔχει τὸ υ, ὥσπερ τὸ δῶθι, οἷον, δῶθι δέ μοι κλέος ἐσθλόν, ἀπὸ τοῦ δίδοθι. οὐδὲν οὖν ἄτοπον εἰ καὶ τὸ κλῦθι μακρὸν ἔχει τὸ υ.

Κέκραχθι. κράζω κράξω κέκραχα κέκραχε, καὶ τὸ προστακτικὸν κέκραχθι, κέκραγα καὶ κεκραγέναι.

Κεκράξομαι. ἔστι πρωτότυπον κρῶ, ἀφ' οὗ παράγωγον κράζω, ὡς σιγῶ σιγάζω, ὁ μέλλων κράξω,

ὁ παρακείμενος κέκραχα, ὁ μέσος κέκραγα, καὶ ὡς ἀπὸ τοῦ κέκληγα κεκλήγω ἐγένετο ῥῆμα, οὕτως ἀπὸ τοῦ κέκραγα κεκράγω, ὁ μέλλων κεκράξω, καὶ ὁ μέσος μέλλων πρῶτος κεκράξομαι. ἔνθεν καὶ τὸ ἐκέκραξαν οἱ δίκαιοι.

Κεκορυθμένος. καθωπλισμένος. ἀπὸ τῆς κόρυθος κορυθῶ, κεκορυθημένος. ὁμοίως δὲ καὶ κεκορυθμένα, ἐστομωμένα, ἠκονημένα, ἀπὸ τοῦ κόρυς κορύσσω τὸ καθοπλίζω, οἷον τῷ σιδήρῳ ἡμφιεσμένα. ἢ ἠκονησμένα τῷ σιδήρῳ, ἀπὸ τοῦ τὴν κορυφὴν θήγειν ἢ ἀκονᾶν.

Κέκλω. εἰ παρὰ τὸ κέλω, πλεονασμῷ τοῦ κ̄, εἰ δὲ παρὰ τὸ κλῶ, οὐ πλεονασμῷ, ἀλλὰ διπλασιασμῷ. ἔστι γὰρ κλῶ καὶ ἀναδιπλασιασμῷ κέκλω. οὐ γὰρ μόνον διὰ τοῦ ῑ γίνεται ὁ ἀναδιπλασιασμός, ἀλλὰ καὶ διὰ τοῦ ε̄.

Κέκμηκα. ἀπὸ τοῦ καμῶ καμήσω κεκάμηκα καὶ ἐν συγκοπῇ κέκμηκα.

Κεκοτηότα. κότος κοτῶ κοτήσω κεκοτηκὸς κεκοτηκότα καὶ ἀποβολῇ τοῦ κ̄ κεκοτηότα.

Κέκονα. κτείνω κτενῶ ἔκτονα πλεονασμῷ τοῦ κ̄ καὶ ἐκβολῇ τοῦ τ̄ κέκονα.

Κέκρικα. ἰστέον ὅτι λέγει ὁ κανὼν, ὅτε δι' ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δ' αὐτοῦ καὶ τοῦ κ̄, οἷον σπείρω σπερῶ ἔσπαρκα, κείρω κερῶ κέκαρκα, πλὴν τῶν ἡμαρτημένων τοῦ τε νενέμηκα καὶ τῶν ὁμοίων. εἰσὶ δὲ ταῦτα νέμω νεμῶ, τέμω τεμῶ, βρέμω βρεμῶ, δέμω δεμῶ, καὶ ὤφειλε κατὰ τὸν παρακείμενον φυλάσσειν τὸ αὐτὸ ἀμετάβολον καὶ τὸ κ̄ καὶ γενέσθαι τέτεμκα, νένεμκα, βέβρεμκα, δέδεμκα. οὐκ ἐγένετο δὲ οὕτως, ἀλλὰ τετέμηκα, βεβρέμηκα, δεδέμηκα, τοῦ η̄ πλεονασμῷ, διὰ τὸ μηδέποτε εὑρίσκεσθαι τὸ μ̄ πρὸ τοῦ κ̄. σημείωσαι δὲ ταῦτα, κρίνω κρινῶ κέκρικα, πλύνω πλυνῶ πέπλυκα, κλίνω κλινῶ κέκλικα, τείνω τενῶ τέτακα, κτείνω κτενῶ ἔκτακα, γείνω γενῶ γέγακα. ταῦτα γὰρ ἀπέβαλε τελείως κατὰ

τὸν παρακείμενον τὸ ἀμετάβολον, καὶ τὸ κερδαίνω εὕρηται χωρὶς τοῦ ἀμεταβόλου κεκέρδακα.

Κέκτημαι. κατὰ πλεονασμὸν τοῦ κ αἰολικῶς. τὸ γὰρ κοινόν ἐστιν ἔκτημαι, ὡς τὸ Ἴλιον ἐκτῆσθαι. τὰ γὰρ ἀπὸ τοῦ κ οὐκ ἀναδιπλασιάζονται, ὃν τρόπον οὐδὲ τὰ ἀπὸ τοῦ πτῶ. ὁμοίως καὶ τὸ πέπταμαι ἀπὸ τοῦ ἔπταμαι πλεονασμῷ ἐστιν. ἰστέον δὲ ὡς ἐὰν ἀπὸ δύο συμφώνων ἄρχηται τὸ θέμα, ὁ παρακείμενος οὐκ ἀναδιπλασιάζεται, οἷον στρέφω ἔστρεφα, σπείρω ἔσπαρκα, πλὴν τοῦ μνῶ μέμνηκα, κτῶ κέκτηκα, πτῶμι πέπτωκα.

Κελάδων. πλῆτο ῥόος κελάδων. βαρύτονον. κελάδοντος γὰρ ἡ γενικὴ, ἡ αἰτιατικὴ κελάδοντα, καὶ οὐ κελαδοῦντα.

Κέλης. ἵππος μονώνυξ καὶ δρομικὸς, ἐφ' οὗ κάθηταί τις διεσκελισμένος. ὅθεν κέλης. ὁ δὲ Ἡρωδιανὸς καὶ Ὡρίων λέγει ὅτι παρὰ τὸ κέλλειν τὸ τρέχειν εἴρηται κέλης. ὅθεν καὶ κέλευθος ἡ ὁδὸς ἐκ τοῦ κέλης κέλητος κελητῶ ῥῆμα συζυγίας τρίτης τῶν περισπωμένων καὶ κατὰ παραγωγὴν κελητίζω ἀντὶ τοῦ ἱππεύω.

Κέλλω σημαίνει δύω, τὸ βαδίζω καὶ τὸ προστάσσω, ἐξ οὗ καὶ τὸ κέλης καὶ ἐπακτροκέλης ὄνομα πλοίου ληστρικοῦ.

Κελευτιόων. ὡς ἀπὸ τοῦ κυνηγῶ κυνηγέτης κυνηγετῶ, οὕτως ἀπὸ τοῦ κελεύω κελευτὴς κελευτῶ, παράγωγον κελευτιόω, ὡς φυσιόω.

Κένσαι. οἷον κένσαι ὁμοκλήσεν. κέντω κένσω ἔκενσα κένσαι. ἢ ἀπὸ τοῦ κεντῶ κεντήσω ἐκέντησα κεντῆσαι, καὶ συγκοπῇ κένσαι, οἷον κένσαι ὁμοκλήσας.

Κεραννύς. ἀπὸ τοῦ κερῶ κεραννύω κεράννυμι, καὶ ἡ μετοχὴ κεραννὺς διὰ δύο νν. ὁ κανών· τὰ ἀπὸ τῶν εἰς ω περισπωμένων διὰ τοῦ νυω γινόμενα διὰ δύο νν γράφεται, χῶ χωννύω, ῥῶ ῥωννύω, ξῶ ξωννύω, κερῶ κεραννύω.

Κέρσαι. κόψαι. κείρω κερῶ, ὁ μέλλων αἰολικῶς κέρσω, ἔκερσα κέρσαι.

Κεχανδότα. χάζω χάσω κέχαδα ὁ μέσος παρακείμενος κεχαδὼς κεχαδότα καὶ κεχανδότα, ὁ δεύτερος ἀόριστος ἔχαδον ἔχαδε.

Κέχαρηότα. χαίρω χαρῶ, ὡς φαίνω φανῶ. καὶ γίνεται ὁ μέλλων ἐνεστῶς, οὗ ὁ μέλλων χαρήσω, ὡς πόρω πορῶ, εἶτα μετάγεται εἰς ἐνεστῶτα πορῶ πορήσω, ὁ παρακείμενος κεχάρηκα, ἡ μετοχὴ ὁ κεχαρηκὼς τοῦ κεχαρηκότος, καὶ κατὰ ἀφαίρεσιν ἰωνικὴν κεχαρηότος, ὁ μέσος παρακείμενος κέχαρα κεχαρὼς, ὡς δέδουπα δεδουπώς.

Κεχαροίατο. χαίρω χαρῶ ἔχαρον ἐχαρόμην χαροίμην, τὸ εὐκτικὸν τρίτον χάροιτο, τὸ τρίτον τῶν πληθυντικῶν χάροιντο καὶ ἰακῶς κεχαροίατο.

Κεχολώσεται. ἀπὸ τοῦ χόλος χολῶ χολώσω κεχόλωκα κεχόλωμαι κεχόλωσαι, ὁ μετ' ὀλίγον μέλλων κεχολώσομαι.

Κέραιε. κεραιρέ φασι, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέστερα, ἵνα γίνηται τὸ μὲν κέραιε ἀπὸ τοῦ κερῶ κεραίω, ὡς ἀγῶ ἀγαίω τὸ θαυμάζω καὶ μέμφομαι. τὸ δὲ κέραιρε ἀπὸ τοῦ κερῶ κεραίρω, ὡς σπῶ σπαίρω καὶ ἀσπαίρω.

Κεκμηῶτι. δῆλον ὅτι ἰωνικόν ἐστι ταυτὸν ὂν τῷ κεκμηκότι ἀποβολὴν τοῦ κ̄ πεπονθὸς ἰωνικῶς καὶ ἔκτασιν τοῦ ο̄. ἴσως δὲ καὶ αὐτὸ ἐφύλαξεν, ὡς ἀλλαχοῦ ἐῤῥέθη, τὸ ω̄ τῆς εὐθείας τῷ λόγῳ καὶ ὁ γέλως καὶ ὁ ἔρως καὶ τὰ ὅμοια ὀνόματα. σημείωσαι δὲ ὅτι οὐ κατὰ τὴν κοινοτέραν παρατήρησιν μόνα τὸ βεβῶτος γεγῶτος ἑστῶτος καὶ τεθνεῶτος ἐκτείνουσι τὰς παραληγούσας, ἀλλὰ μυρίος ἕτερος ὁρμαθὸς τοιοῦτός ἐστι παρὰ τοῖς ποιηταῖς, ὃ πολλαχοῦ φαίνεται. οὕτω καὶ τοῦ τύπτομαι γράφομαι καὶ τῶν ὁμοίων πάντων ἐχόντων τὰ δεύτερα ἐν αὐτοῖς πρόσωπα εἰς εῑ δίφθογγον λήγοντα ἀττικῶς, εἰ καὶ ὕστερον ἀναλογώτερον

διὰ τοῦ η̄ καὶ προσγεγραμμένου ῑ̄ γράφεται ἅπαντα τὰ τοιαῦτα, ὅμως ἀναπέμειναν τὸ ὄψομαι βούλομαι καὶ τὰ λοιπὰ δύο πρὸς ἀνάμνησιν τῆς παλαιᾶς γρα-
91b φῆς ἔχοντα ἐν τοῖς δευτέροις αὐτῶν προσώποις τὴν δεῑ δίφθογγον, ὄψει βούλει οἴει καὶ εἶ.

Κενεός. ὡς γὰρ κουλὸς κουλεὸς, οὕτω καὶ κενὸς κενεός. καὶ τὸ ἀσχαλάαν δὲ πλεονασμὸν ἔχει τοῦ ᾱ, ὡς καὶ τὸ ὁράα. δῆλον δὲ ὅτι ἐν τοῖς τοιούτοις καὶ τὸ ᾱ ἔστιν οὗ πλεονάζει. εὕρηται γὰρ καὶ ὁρόων
10ὃ βλέπων καὶ ἀσχαλόων ὁ λυπούμενος. δῆλον δὲ ὅτι τοῦ ἀσχαλάαν προϋπάρχει ῥῆμα βαρύτονον τὸ ἀσχάλλειν, ὅ ἐστιν ἄχους ἅλις ἔχειν, καθὰ καὶ τὸ μηνιᾶν τὸ μηνίειν, καὶ τοῦ πιέζειν τὸ πιέζειν. καὶ ὅτι ἐκ τοῦ κενεὸς γίνεται ὁ κενεὼν καὶ ὅτι κατὰ τὸ κενὸς κενεὸς,
15οὕτω καὶ θὸς θεὸς καὶ ἕτερα πολλά.

Κεκαδὼν, ὅ ἐστι στερήσας, ἀχρεῖον μὲν λόγῳ πεζῷ. χρόνος δέ ἐστιν ἀόριστος δεύτερος ἐκ τοῦ χάζω ἔχαδον καδὼν, καὶ ἰωνικῶς κεκαδὼν, ὡς τὸ λελαχὼν καὶ λελαβὼν καὶ τὰ ὅμοια.

20 Κεκάδοντο. χάζω, ὁ μέλλων χάσω, ὁ παρακείμενος κέχακα, ὁ μέσος κέχαδα, ὁ δεύτερος ἀόριστος ἔχαδον, καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄ καὶ κατὰ ἀναδιπλασιασμὸν κέχαδον, ὁ μέσος β΄ κεκαδόμην, τὸ γ̄ τῶν πληθυντικῶν κεχάδοντο.

25 Κεκμηότες. ὅρα δὲ τὸ ἀκμῆτες καὶ τὸ κεκμηότες, ἐν οἷς καθὰ καὶ ἐν τοῖς ὁμοίοις κοινότερον φυλάσσεται τὸ κ̄ πρὸ τοῦ μ̄ μετὰ τὴν συγκοπήν. Ἀττικὸς δὲ ἀνὴρ ἀγμῆτες ἂν εἶπε καὶ κεγμηότες διὰ τοῦ γ̄ κατὰ ἐοίκαμεν ἐοίγμεν παρὰ Σοφοκλεῖ, καὶ κατὰ
30τὸ δοκῶ δόγμα.

Κεάσθη. θέμα τὸ κεῶ κεάσω ἢ κεάξω, ὅθεν καὶ κέδρος ἡ κεαζομένη ῥᾳδίως, πλεονάσαντος τοῦ δ.

Κεχρημένος. ἡμεῖς χρῆσθαι φαμὲν τὸ μεταχειρίζεσθαι, καὶ δοτικῇ πτώσει συντάσσομεν. Ὅμηρος
35δὲ τὸ χρήζοντα κεχρημένον λέγει καὶ γενικῇ συντάσ-

σει τὴν λέξιν ἀπὸ τοῦ χρηΐζω ἢ χρήζω κατὰ ἔλλειψιν τοῦ σ.

Κεραυνὸς γίνεται παρὰ τὸ κείρειν καὶ αὔειν, ὁ φθείρων δηλαδὴ ἐν τῷ καίειν.

Κεκαδήσει, ὅ ἐστι στερήσει, γίνεται ἐκ τοῦ χῶ, ἀφ' οὗ χάζω, οὗ δεύτερος ἀόριστος ἰωνικὸς χάδον, ὅθεν δεύτερος μέλλων, ἐξ οὗ ἀναγωγῆς γενομένης εἰς ἐνεστῶτα καὶ τροπῆς ἰωνικῆς τοῦ δασέος εἰς ψιλὸν γίνεται τὸ καδῶ καδήσω καὶ κατ' ἀναδιπλασιασμὸν κεκαδήσω, ἵνα ᾖ κεκαδήσειν τὸ ἀναγκάσαι 92a τινὰ χάσασθαι, τοῦτ' ἔστιν ὑποχωρῆσαι.

Κήλειον πῦρ, δῆλον ὡς καὶ κήλεον λέγεται ὁμοίως τῷ δαιδάλειον δαιδάλεον καὶ τοῖς τοιούτοις.

Κικλήσκω. ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ γέγονε κλήσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ κικλήσκω, ὡς τρώσω τιτρώσκω.

Κινῶ. παρὰ τὸ ἴς ἰνὸς ἰνῶ καὶ πλεονασμῷ τοῦ κ κινῶ, ὅπερ καὶ ἴν ἰνὸς λέγεται. ἔστι γὰρ δικατάληκτον καὶ δηλοῖ τὴν δύναμιν. ἀπὸ γοῦν τῆς ἰνὸς γενικῆς ἰνῶ καὶ κινῶ. τὰ δὲ εἰς νῶ περισπώμενα ῥήνικα μὲν διφθόγγῳ παραλήγεται, διὰ τοῦ ῑ γίνονται κατὰ τὴν παραγωγήν, οἷον αἰνῶ αἰνίω, ῥήνικα δὲ ἑνὶ φωνήεντι παραλήγεται, διὰ τοῦ ε̄ γίνεται, οἷον δονῶ δονέω. οὕτως οὖν τὸ κινῶ κινέω διὰ τοῦ ε̄ καὶ οὐ διὰ τοῦ ῑ.

Κίνυντο. ἀπὸ τοῦ κινύω κίνυμι παρῆκται ῥῆματος, ἐξ οὗ καὶ τὸ οὐδέ σε λήθω κινύμενος. τοῦ δὲ κινύω αὖθις παράγωγον τὸ κινύσσω, ἐξ οὗ παρ' Αἰσχύλῳ αἰθέριον κίνυγμα τὸ ἀέριον εἶδωλον, ὅπερ οὐκ ἀπέοικε τοῦ αἰθύγματος, ὃ ἀπὸ τοῦ αἰθύσσω γίνεται.

Κιχεῖτε. ἀττικὸν τὸ πάθος καὶ γίνεται ἡ τοιαύτη συγκοπὴ ἐπὶ τοῦ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου, οἷον δοίημεν δοῖμεν δοίητε δοῖτε δοίησαν δοῖεν. καθίσταται δὲ οὕτως. κιχῶ κίχημι ἐκίχην κιχεῖς

κιχέντος κιχείην κιχείημεν κιχεῖμεν κιχείητε κιχεῖτε κιχείησαν κιχεῖεν, ἐπειδὴ συγκοπτόμενον τὸ ά πρόσωπον διφθόγγῳ παραλήγεται. τὰ δὲ διφθόγγῳ παραλήγόμενα εὐκτικὰ ἀποβολῇ τοῦ μ τοῦ πρώτου τῶν πληθυντικῶν τρίτα γίνονται. οὕτως τὸ δοῖεν γνοῖεν βαῖεν ζαῖεν σταῖεν φαῖεν τεθναῖεν πλαῖεν καὶ τὰ παραπλήσια. ἕτεροι δὲ ἀπὸ τοῦ κιχῶ κιχήσω καὶ κίχησα, ὁ δεύτερος ἀόριστος ἔκιχον, ὁ παθητικὸς ἐκίχην, ἡ μετοχὴ ὁ κιχεὶς τοῦ κιχέντος καὶ τὸ εὐκτικὸν κιχείην τοῦτο ποιοῦσιν. οὐ καλῶς δὲ οἶμαι, διὰ τὸ μὴ εὑρίσκεσθαι παθητικὸν δεύτερον ἀόριστον εἰς ην ἀπὸ περισπωμένων ῥημάτων, ἀπὸ δὲ τῶν εἰς μι δεύτερος ἐνεργητικὸς ἀόριστος εἰς ην εὕρηται, ὡς δηλοῖ τὸ ἔθην καὶ ἔστην, πλὴν ἐπὶ τῆς πρώτης καὶ δευτέρας τῶν εἰς μι. τῆς γὰρ γ εἰς ων εὕρηται, ὡς τὸ ἔδων ἔγνων.

92b Κιχήτην ἐκ τοῦ κιχησάτην συγκέκοπται. τινὲς δὲ διὰ διφθόγγου τὴν τῆς λέξεως ταύτης ἔγραψαν παραλήγουσαν κατὰ τὸ ποιείτην καὶ τὰ ὅμοια.

Κινύμενος, ὅ ἐστι κατὰ νοῦν κινούμενος καὶ διαλογιζόμενος, παράγωγόν ἐστιν ἀπὸ τοῦ κινῶ κινύω κίνυμι, οὗ ἡ χρῆσις καὶ ἐν τῷ κίνυντο φάλαγγες. ἐκ δέ γε τοῦ κινύω παράγεται τὸ κινύσσω, ἀφ' οὗ κίνυγμα τὸ ἀέριον εἴδωλον, κατὰ τὸ αἰθύσσω αἴθυγμα, πτύσσω πτύγμα, νύσσω νύγμα, ἐξ οὗ καὶ ἡ νυγμὴ, ὡς πτύγμα πτυγμὴ, καὶ ἀποβολῇ τοῦ τ πυγμὴ καὶ ξύσμα ξυσμή.

Κιχῆναι ἤγουν καταλαβεῖν, ὡς ἀπὸ τοῦ κιχαίνω ἢ κίχημι.

Κλεῖν ἀπὸ τοῦ κλείς κλειδὸς κλεῖδα καὶ ἀποκοπῇ τῆς δα συλλαβῆς κλεῖ. ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν μονοσύλλαβος ἀρσενικὴ ἢ θηλυκὴ αὐτὴ καθ' ἑαυτὴν οὖσα εἰς ν θέλει λήγειν, οἷον σῦν μῦν δρῦν, τούτου χάριν προσέλαβε τὸ ν καὶ γέγονε κλεῖν.

Κλείωμεν. ὀνομάσωμεν. οἷον τὴν δ' ἱερὴν κλείωμεν.

Κλῶθες ἢ κατακλῶθες μεταπλασμὸν ἔπαθεν ἐκ τοῦ αἱ κλωθοὶ, οὗ εὐθεῖα ἡ κλωθώ. δηλοῖ δὲ τὰς μοίρας παρονομασθείσας ἀπὸ μιᾶς αὐτῶν τῆς Κλωθοῦς. καὶ οὕτω μέν τινες. ἴσως δὲ μᾶλλον οὐχ ἁπλῶς μοῖραι αἱ κατακλῶθες, ἀλλὰ αἶσα μὲν ἡ ἁπλῶς μοῖρα, κατακλῶθες δὲ αἱ μὴ εὐτυχεῖς. διὸ καὶ βαρεῖαι λέγονται. ἐτυμολογία δὲ τοῦ κατακλῶθες τὸ νίσαντο λίνῳ, ὅ ἐστιν ἐπέκλωσαν. γράφεται δὲ τὸ κατακλῶθές τε βαρεῖαι, καὶ κατακλώθησι βαρεῖα, αἶσα δηλαδὴ, κατά τινα τῶν ἀντιγράφων, οὐ μέντοι καλῶς. ἔχει δέ τι καὶ ἀστεῖον κατὰ τροπὴν τὸ βαρεῖαι. οὐ γάρ ἐστι κλωσθῆναι ὡς ἐπὶ πολὺ λίνον, μὴ βρίθον κάτω, καὶ μάλιστα τὸ ἐν ἀτράκτοις. λίνον δὲ μοιρῶν συμβολικῶς, καὶ τῶν πραγμάτων στροφαὶ, καὶ τὰ ἐν βίῳ ὑφαινόμενα. ἰστέον δὲ ὡς εἴπερ μὴ ἐγράφετο κατακλῶθές τε βαρεῖαι, ἀλλὰ κατακλώθησι βαρεῖα, ἦν ἂν τὸ ῥῆμα Ῥηγίνων διαλέκτου.

Κλῦθι μὲν πέπλασται ἀπὸ τοῦ κλύε, ὡς καὶ 93 a ἐξῆς εἰρήσεται, καθὰ καὶ τὸ ἄνωχθι ἐκ τοῦ ἄνωγε. θέμα γὰρ εἶναι τοῦ κλῦθι τὸ κλῦμι οὐκ ἀρέσκει τοῖς παλαιοῖς. καὶ τὸ ἴθι δὲ ἀπὸ τοῦ ἴε κατεπλάσθη ἀορίστου δευτέρου, οὗ ἐνεστὼς εἴω τὸ πορεύομαι.

Κλάζοντες. θέμα ἐστὶ τοῦ κεκλήγοντες.

Κνῆ. τὸ καίνω κόπτω καὶ συγκοπῇ κνῶ τὸ αὐτὸ, εἶτα κνῆμι ἔκνην ἔκνης ἔκνη καὶ κνῆ, ἐξ οὗ καὶ κνῆστις ἡ μάχαιρα.

Κνυζώσω. κνυζῶ τὸ διαφθείρω καὶ κακῶ, ὁ μέλλων κνυζώσω, οἷον κνυζώσω δέ τι ὅσσε. παρὰ τὸ κνῶ κνίζω, ὡς στῶ στίζω, πρῶ πρίζω, ἐξ οὗ καὶ κνύζω. ἀπὸ δὲ τούτου κνυζῶ. τοῦτο δὲ, ὡς λέγει Ἡρωδιανὸς, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, κατὰ συγκοπὴν, ὅ ἐστιν οἷον χαμαιζήλοιο κόνυζε· εἰ δὲ ἐπὶ παρεφθαρμένου καὶ ἐῤῥυσωμένου, οὐκ ἔστι συγκοπὴ, ἀλλ' ἀπὸ τοῦ κνύω, ἐξ οὗ καὶ κνύος ἡ φθορά. ἐκ δὲ τοῦ κνύζω γίνεται κνυζῶ περισπώμενον, ἀφ' οὗ τὸ κνυζώσω. τὸ δὲ κνύζω πολλὰ σημαίνει.

Κνώσσειν. τὸ κοιμᾶσθαι. παρὰ τὸ κενὰ καὶ ἀργὰ εἶναι τῷ ὅσσε εἰς τὸ κοιμᾶσθαι κενώσσειν, καὶ συγκοπῇ κνώσσειν. ἢ παρὰ τὸ κενὸν καὶ τὸ ὅσσω τὸ βλέπω κενώσσω καὶ συγκοπῇ κνώσσω.

Κολοσσὸς σημαίνει καὶ εἴδωλον. κυρίως δὲ κολοσσοὶ λέγονται οἱ ὑπερμεγέθεις ἀνδρίαντες, παρὰ τὸ κολούειν, ὅ ἐστιν ἐλαττοῦν τὰ ὄσση, διὰ τὸ μέγεθος, ὡς μὴ ἀφικνουμένων τῶν ὀφθαλμῶν ὁρᾶν.

Κομόωντες. ἔστι κομῶ συζυγίας πρώτης καὶ δευτέρας. καὶ ὅτε μέν ἐστι πρώτης, σημαίνει τὸ θεραπεύω καὶ ἐπιμελοῦμαι, οἷον τὸ μὲν θεράποντε κομείτην, κατὰ παραγωγὴν κομίζω, καὶ κόμισαί τέ με. ὅτε δέ ἐστι δευτέρας, σημαίνει τὸ εὐφραίνομαι, καὶ τὸ τὰς τρίχας τρέφω. ἐκ δὲ τοῦ κομῶ καὶ τοῦ ἵππος γίνεται ἱπποκόμος βαρύτονον, ἐπεὶ τὰ ἀπὸ ῥημάτων συντιθέμενα ὀνόματα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον ἱπποκόμος. τοῦτο γὰρ ἀπὸ κόμη ὀνόματος συνετέθη καὶ οὐκ ἀπὸ τοῦ κομῶ ῥήματος.

93 b *Κομείτην* ἀντὶ ἐπιμελείας ἠξίουν· ἀπὸ τοῦ κομῶ συζυγίας πρώτης, ὃ σημαίνει τὸ θεραπεύω καὶ ἐπιμελοῦμαι, ὁ παρατατικὸς ἐκόμεον ἐκόμουν, τὸ τρίτον τῶν δυϊκῶν ἐκομείτην ἐκομείτην, καὶ ἀκῶς κομείτην.

Κονιορτός. ὄρω τὸ σημαῖνον τὸ διεγείρω, ὁ μέλλων ὄρσω αἰολικῶς, ῥηματικὸν ὄνομα ὀρτὸς καὶ κονιορτὸς, ὁ τὴν κόνιν ὀρούων καὶ διεγείρων καὶ ὁρμῶν.

Κόνις παρὰ τὸ καίνω τὸ κόπτω, ἢ εἰς μικρὰν κεκομμένη γῆν. δηλοῖ γὰρ τὴν εἰς λεπτομερῆ οὐσίαν χαρήσασαν γῆν ἀπὸ μεταφορᾶς τῶν ξυσμάτων.

Κορέννυται. ἀπὸ τοῦ κορεννύω συζυγίας ἕκτης τῶν βαρυτόνων γίνεται παράγωγον ῥῆμα εἰς μι κορέννυμι συζυγίας τετάρτης τῶν εἰς μι, καὶ τὸ παθητικὸν κορέννυμαι, τὸ γ τῶν πληθυντικῶν κορέννυνται.

Κοπόεν. κόπος κοπόεις κοπόεν, ὡς στόνος στονόεις στονόεν.

Κορήσατε. καθάρατε. ἐκ τοῦ κορῶ.

Κορθύεται. κορυφοῦται, αὔξεται. ἀπὸ τοῦ κορύσσω, ἢ ἀπὸ τοῦ κόρυς κόρυθος κορύθω καὶ κόρθύω.

Κορεσθῆναι. ὅτι κουροτρόφον αὐτὴν ἐκάλουν δηλονότι τὴν γῆν, ὅθεν καὶ τὸ πληρωθῆναι τροφῆς κορεσθῆναι λέγει, καὶ τὸν ἐκ τῆς γῆς καρπὸν κόρην λέγουσιν. οἱ δὲ κόρην καλοῦσι διὰ τὴν τοῦ καρποῦ κατ' ἐνιαυτὸν γένεσιν. ἢ παρὰ τὸ κόρος. τοῦτο παρὰ τὸ χέω χόρος καὶ κόρος ὁ διὰ τῶν χεομένων γενόμενος.

Κορυθαιόλος. αἰόλλω τὸ δηλοῦν τὸ κινῶ καὶ συνεχῶς στρέφω, καὶ αἰολαὶ αἱ ἀελλαί, ὅπερ ἀπὸ τοῦ ἀελλὴς γίνεται. ἢ ἀπὸ τοῦ ἄειν καὶ τοῦ ειλεῖν. ἀφ' οὗ ῥηματικὸν αἰόλος, καὶ ἐν συνθέσει μετὰ τῆς κόρυθος κορυθαιόλος, ὡς πάλλω πάλος, καὶ σακέσπαλος. κορυθαιόλος οὖν ὁ τὴν κόρυθα εὐκίνητον ἔχων ἢ ποικίλην. ἐκ τοῦ κόρυς οὖν κόρυθος καὶ τοῦ αἰόλλω. εἰ γὰρ ἦν ἀπὸ τοῦ αἰόλος, ὤφειλεν εἶναι προπαροξύτονον. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ ἀπὸ 94 a τῶν εἰς ος ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον, χωρὶς εἰ μὴ σύνθετα εἴη, ἕνεκα ἐνεργείας παροξύτονα, οἷον πλησίος παραπλήσιος, αἰόλος παναίολος. τὸ οὖν κορυθαίολος οὐκ ἔχει ἐγκείμενον τὸ αἰόλος, ἀλλὰ τὸ αἰόλλω ῥῆμα τὸ δηλοῦν τὸ κινῶ. γίνεται δὲ ἐκ τοῦ ἄελλα ἀόλλω καὶ πλεονασμῷ τοῦ ι αἰόλλω.

Κοινὴ μὲν διάλεκτος βαρύνει τοὺς ἐνεργητικοὺς πρώτους μέλλοντας, περισπᾷ δὲ μόνους τοὺς τῆς πέμπτης τῶν βαρυτόνων. σπειρῶ γὰρ σπερῶ φησι, κείρω κερῶ, φθείρω φθερῶ, καὶ τὰ ἄλλα ὡσαύτως. *Δωριεῖς* δὲ καὶ ἕτερα δίχα τῆς πέμπτης περισπῶσι μέλλοντας. πεσῶ γάρ φασι καὶ κλαυσῶ καὶ ἐσῶ, ἐξ ὧν καὶ τὸ πεσεῖται καὶ κλαυσεῖται καὶ ἐσεῖται καὶ ἕτερα τοιαῦτα. *Αἰολεῖς* δὲ καὶ τοὺς τῆς πέμπτης περισπω-

μένους μέλλοντας βαρύνουσι καὶ διὰ τοῦ σ̄ ἐκφέρουσι. σπέρσω γάρ φασι καὶ κέρσω καὶ φθέρσω. οὕτω δὲ καὶ ὄρω ὄρσω· τὸ διεγερῶ, ἐξ οὗ καὶ τὸ νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν. οὕτω δὲ καὶ τοῦ ἔρρω τὸ φθείρω ὁ μέλλων ἔρσω αἰολικῶς, ἐξ οὗ καὶ τὸ ἀπόερσεν ἐν τοῖς ἑξῆς ἀντὶ τοῦ ἀπέφθειρε. ποιοῦσι δὲ τοῦτο οἱ Αἰολεῖς πρὸς ἀναλογίαν τῶν λοιπῶν μελλόντων, ἢ δυνάμει ἢ ἐνεργείᾳ τῷ σ̄ παραληγόμενοι βαρύνονται.

Κόρος κοινὸν καὶ κοῦρος ἰωνικῶς καὶ κῶρος αἰολικῶς.

Κομιῶ μέλλων δεύτερός ἐστι ἀττικὸς τοῦ κομίξειν, ὁμοίως τῷ ἐγγιῶ καὶ βαδιοῦμαι καὶ τοῖς τοιούτοις· δηλοῖ δὲ ἡ λέξις τὸ ἐπιμελείας ἀξιώσω.

Κραδαλῶν καὶ κραδάων, κινῶν, σείων. ἔστι δὲ συζυγίας ἕκτης τῶν βαρυτόνων. ἐκ τούτου καὶ τὸ κραδαίνω. οἶμαι δὲ ἀμφότερα γεγενῆσθαι ἀπὸ τοῦ κάρα καραίνω κραδαίνω καὶ κραδάω.

Κραναῆς. τραχείας, ὀρείας, κάρηνα ἐχούσης. ἢ παρὰ τὸ κραναὸν, τοῦτο παρὰ τὸ κράνιον, ὅπερ ἐστὶ τραχὺ καὶ ὀστῶδες.

Κρατευτάων. τῶν βάσεων, ὅ ἐστιν τῶν λίθων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται ὀπτωμένων τῶν κρεῶν, ἀπὸ τοῦ κρατῶ κρατεύω κρατευτὴς κρατευτὸς καὶ κρατευταί.

94b Κρανέεσθαι. τελειωθήσεσθαι, ἤγουν τὸ τελείως λήψεσθαι. κραίνω κρανῶ κρανοῦμαι κρανεῖται κρανεῖσθαι καὶ διαλύσει κρανέεσθαι.

Κραιπνός. ταχύς. τὸ συγκριτικὸν κραιπνότερος, παρὰ τὸ κάπω τὸ πνέω, ὅθεν καὶ κάπον τὸ πνεῦμα καὶ καπνὸς τὸ ἐκ τῶν καυθέντων ξύλων ἀναπεμπόμενον πνεῦμα. τοῦτο πλεονασμῷ τοῦ ρ̄ γίνεται καρπνὸς, καὶ καθ' ὑπερβιβασμὸν κραπνὸς καὶ πλεονασμῷ τοῦ ῑ κραιπνός.

Κρατερός. ἰσχυρὸς, ἀπειλητικός. τὰ εἰς τερος τρισύλλαβα βαρύτονα, οἷον σφέτερος, πρότερος. τὸ δὲ κρατερὸς οὐκ ἦν εἰς τερος. τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν, ἀλλ' ὡς ἀπὸ τοῦ βλάπτω βλαβερὸς, οὕτω καὶ ἀπὸ τοῦ κράτος κρατερὸς, ὡς θάλος θαλερός. τὸ τε ψιλόν. τὰ διὰ τοῦ ερος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται, οἷον γοερὸς φεβερὸς κρυερὸς μυσερὸς ἱερὸς κρατερός.

Κρεἰουσα σημαίνει τὸ βασιλεύουσα, ἀπὸ τοῦ κρατῶ κρατείω καὶ ἡ μετοχὴ κρατείων. τὸ θηλυκὸν κρατείουσα καὶ συγκοπῇ κρείουσα. καὶ κρείων ὁ βασιλεύων κατὰ συγκοπὴν ἀπὸ τοῦ κρατείων.

Κρείσσων. ὡς ταχὺς ταχύτερος ταχίων τάσσων καὶ τροπῇ θάσσων, οὕτως κρατὺς κρατύτερος κρατίων κράσσων καὶ τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ι κρείσσων καὶ τὸ οὐδέτερον τὸ κρεῖσσον.

Κρειῶν. κρεῶν ἐστι καὶ πλεονασμῷ τοῦ ι κρειῶν.

Κρεμόων ἀπὸ τοῦ κρεμάζω, ὡς ἀγορόων ἀπὸ τοῦ ἀγοράζω, γίνεται ὁ μέλλων κρεμάσω καὶ ἀγοράσω, καὶ ἀποβολῇ τοῦ σ κρεμάω καὶ ἀγοράω καὶ κατὰ κρᾶσιν κρεμῶ καὶ ἀγορῶ, πλεονασμῷ του ο κρεμόω καὶ ἀγορόω, ὥσπερ γελῶ γελόω καὶ ὁρῶ ὁρόω, καὶ μετάγεται εἰς ἐνεστῶτα. ταῦτα δὲ μέχρι τοῦ παρατατικοῦ κλίνονται. ἐνεστῶτος οὖν εἰσι καὶ οὐ μέλλοντος. ἐὰν γὰρ τὸ κρεμῶ καὶ ἀγορῶ δῶμεν μέλλοντα εἶναι ἀπὸ τοῦ κρεμάζω καὶ ἀγοράζω, εὑρίσκονται 95 a ἐλάττονας συλλαβὰς ἔχοντες τοῦ ἐνεστῶτος, ὅπερ ἀδύνατον. ὁ κρεμάσω δὲ μέλλων οὐκ ἔστιν ἀπὸ τοῦ κρεμῶ. ἐπεὶ οὖν κρεμήσω ὤφειλεν εἶναι, ὡς βριμῶ βριμᾷς βριμήσω, ἀλλ' ἔστιν ἐκ τοῦ κρεμάζω.

Κρήγιον. παρὰ τὸ κῆρ καὶ τὸ ἡδὺ γίνεται κηρήδιον τοῦτ' ἔστιν τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνὲς καὶ συγκοπῇ καὶ τροπῇ τοῦ δ εἰς γ κρήγιον.

Κρήμνη προστακτικόν ἐστιν ἀπὸ τῶν εἰς μι κρήμνημι ἐκρήμνην ἐκρήμνης ἐκρήμνη, τὸ προστακτικὸν κρήμνη, ὡς ἵστη.

Κρῖ ἡ ἀποκοπὴ τοῦ κριθὴ, ἢ ἀπὸ τοῦ κρίμνου τοῦ σημαίνοντος τὸ παχὺ τῆς ἀλεύρου. ὁμοίως κατὰ ἀποκοπὴν τοῦτο, εἴτε ἀπὸ τοῦ κριθὴ γέγονεν, εἴτε ἀπὸ τοῦ κρίμνου δοκεῖ παραλόγως εἶναι. εἰ μὲν ἀπὸ τοῦ κριθὴ, οὐκ ὤφειλεν εἶναι τὸ κρῖ οὐδέτερον, ἐπειδὴ τὸ κριθὴ θηλυκόν ἐστιν, αἱ δὲ ἀποκοπαὶ τὸ αὐτὸ γένος φυλάττουσιν, οἷον τὸ δῶμα καὶ τὸ δῶ οὐδέτερον, τὸν Ποσειδῶνα καὶ τὸν Ποσειδῶ, καὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἀπόλλω ἀρσενικόν. καὶ ἔστιν εἰπεῖν ὅτι ὥσπερ ἀπὸ τοῦ αὐχῶ καυχῶ γέγονε δευτέρας συζυγίας, τὸ δὲ αὐχῶ πρώτης, οὕτως καὶ τὸ κρῖ οὐκ ἐφύλαξε τὸ γένος. τοῦτο δὲ ἐκτείνει τὸ ῑ, ἐπεὶ πᾶν οὐδέτερον μονοσύλλαβον μονογενὲς μακροκαταληκτεῖ, οἷον ὦς φῶς ὗς πῖ ῥῶ, οὕτως καὶ τὸ κρῖ. πρόσκειται μονογενὲς, διὰ τὸ ἓν καὶ τὸ τί. καὶ πᾶν οὐδέτερον μονοσύλλαβον μακροκατάληκτον περισπᾶται. κλίνεται δὲ, ἐπειδὴ τὰ εἰς ῑ λήγοντα οὐδέτερα κλίνεται σὺν τῷ ῑ, οἷον μέλι μέλιτος, σίνηπι σινήπιος, πέπερι πεπέριος. τὸ δὲ κρῖ ὂν μακρὸν ἔμεινεν ἄκλιτον.

Κριθή. τὰ εἰς θη οὐ θέλουσι τῇ ει παραλήγεσθαι, οἷον ποθὴ ἡ ἐπιζήτησις, κριθὴ, μέθη. γέγονε δὲ παρὰ τὸ προκριθῆναι τῶν ἀκροδρύων. πρῶτον γὰρ βαλάνους ἤσθιον οἱ ἀρχαῖοι. ἢ παρὰ τὸ διακρίνεσθαι τῆς ἄχνης, ἢ διαχωρίζεσθαι. ταῦτα δὲ τὰ εἰς θη βαρύνονται, πλὴν τοῦ κριθὴ, ποθὴ, οἷον σάθη, παλάθη, πόσθη τὸ αἰδοῖον, τήτθη ἡ τροφὸς, τήτθη ἡ μάμμη.

Κρίκεν. ἰστέον ὅτι τὸ κρίκε δὲ ζυγόν μιμητικῶς εἴρηται. εἰ γὰρ ἀπὸ τοῦ κρίζω ἦν, πῶς ὁ δεύτερος ἀόριστος οὔτε διὰ τοῦ γ ἐστὶν, ὡς στίζω ἔστιγα, οὔτε διὰ τοῦ δ, ὡς φράζω ἔφραδον, ἀλλὰ διὰ τοῦ κ; ὅτι δέ ἐστι τὸ κρίζω θέμα, δῆλον ὅτι ἐκ τῶν κινημάτων. ὁ γὰρ ποιητής φησι, ὡς αἱ κεκριγυῖαι, καὶ ῥηματικὸν ὄνομα κριγή. σχηματίζει δὲ τὸ κρίζω ὁ Ἡρωδιανὸς οὕτως. ἔστι τι μονοσύλλαβον ῥῆμα κρῶ,

ἀφ' οὗ τὸ κράζω, καὶ ἕτερον ῥῆμα κρώζω. ἀπὸ δὲ τοῦ κράζω κρίζω, ὡς στάζω στίζω, σεβάζω σεβίζω. τοῦτο δὲ τὸ κρίζω ἥμαρτεν ὁ ἀόριστος παραλαμβανόμενος. σημαίνει δὲ τὸ ἤχησεν, ἐψόφησε, ποιὸν ἦχον ἀπετέλεσεν.

Κροαίνειν Ἀριστοφάνης τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν. ὡς λιπῶ λιπαίνω, βῶ βαίνω καὶ τιτῶ τιταίνω, οὕτως κροτῶ κροταίνω, καὶ ἀποβολῇ τοῦ τ κροαίνω. ἢ παρὰ τὸ κρούω κρουαίνω καὶ κροαίνω.

Κρυόεσσα. φρικτὴ, φοβερὰ, ἢ ψυχροποιός. ἀπὸ τοῦ κρύος κρυόεις.

Κρύσταλλος. τὸ διὰ τοῦ κρύους ἠλλοιωμένον ὕδωρ.

Κρατερὸς παρὰ τὸ κράτος. καθὰ καὶ ὁ καρτερὸς ἐκ τοῦ κάρτος. ὁ δὲ κραταιὸς ἢ παρὰ τὸ κρᾶτα, ὃ δηλοῖ τὴν κεφαλήν, κραταὸς, καὶ πλεονασμῷ τοῦ ι κραταιὸς, ὁ ἐν αὐτῷ κεφαλαιῶν τὸ πᾶν· ἢ παρὰ τὸ κρατὺς ἀργειφόντης, οὗ ἡ γενικὴ κρατέος καὶ παραγωγῇ κρατειὸς, καὶ ὡς εἶδε αἶδε, οὕτω κρατειὸς κραταιός.

Κράτιστοι δὲ ἢ παρὰ τὸ κάρτα, ὃ δηλοῖ τὸ λίαν, ἢ μάλιστα ἐκ τοῦ κράτος κατὰ μετάθεσιν, ὡς βράδιστοι ἵπποι, βάρδιστοι. κράτιστοι δὲ οἱ ἀνδρεῖοι καὶ νικηταί. τοιοῦτον δὲ καὶ ὁ καρτερὸς, ὡς δηλοῖ παρὰ Ἀριανῷ τὸ Θηβαίων ἐγένετο καρτερός, ἦγουν περιεγένετο τῶν Θηβαίων, καὶ αὐτόχρημα εἰπεῖν ἐκράτησεν.

Κτάν. κτάω κτῶ κτῆμι κτήσω, ὁ ἀόριστος δεύτερος ἔκτην, τὸ τρίτον τῶν πληθυντικῶν ἔκτασαν, συγκοπῇ ἔκταν, ἀφαιρέσει κτὰν, ἢ δωρικῶς κτὰς 96 a κτάντος κτὰν, ὡς στὰν, βάν.

Κτανέεσθαι. κτείνω κτενῶ ἔκτεινα, ὁ ἀόριστος δεύτερος ἔκτανον, ὁ μέλλων δεύτερος κτανῶ, ὁ μέσος δεύτερος μέλλων κτανοῦμαι κτανῇ κτανεῖται, τὸ ἀπα-

ρέμφατον κτανεῖσθαι, καὶ διαλύσει διφθόγγου εἰς δύο ε ε κτανέεσθαι, ὡς εἴργω ἐέργω.

Κτὶς, ἡ παρ' Ὁμήρῳ μὲν κτὶς, παρὰ δὲ τοῖς κοινοῖς κατὶς· οἱ δὲ μὴ εἰδότες ὅτι κατὶς ἐστι καὶ συγκοπῇ γίνεται κτὶς· φασὶν εἶναι ζῶον τοῦτο ὀρνιθοφάγον καὶ πανοῦργον, κακῶς ὁ λέγεται αἴλουρος καὶ θηλυκῶς αἰλουρὶς.

Κτέρεα. κτέατα, ἢ τὰ κτήματα νεκρικὰ, ἢ κυρίως τὰ κτεινομένοις προσήκοντα.

Κτέωμεν. ὅμοιόν ἐστι τὸ ἀφέωμεν καὶ φθέωμεν καὶ εἰδέωμεν, ἀντὶ τοῦ ἀφῶμεν καὶ φθῶμεν καὶ εἰδῶμεν, ἐξ οὗ δῆλον ὡς πρωτότυπόν ἐστι ῥῆμα κτῶ, οὗ τὸ ἐντελὲς κτέω καὶ πλεονασμῷ τοῦ ν κτένω καὶ ἐπενθέσει τοῦ ι κτείνω, ὁμοίως τῷ ἔνω εἴνω τὸ καλύπτω.

Κυάνεα. μέλανα. παρὰ τὸ κῦμα κυμανὸς καὶ κυανὸς κυάνειος καὶ κυάνεος καὶ ἡ κυανέα τῆς κυανέας τὸ κυάνειον καὶ κυάνεον.

Κυκεών. ἡ πόσις. ἀπὸ τοῦ κεχύσθαι κυκεών τις ὤν. πόμα γάρ ἐστι κατασκευασθὲν παυστικὸν δίψης. ἡ αἰτιατικὴ κυκεῶνα καὶ κυκεῶ.

Κυκλήσωμεν. κυκλῶ κυκλήσω. ἐπ' ἀμαξῶν ἄξωμεν. κύκλα γὰρ οἱ τροχοὶ, καὶ εἰσκυκλέω καὶ ἐπικυκλέω καὶ ἀνακυκλέω.

Κυλίνδει. Ἀρίσταρχος βαρυτόνως κυλίνδετό φησι, οὐχὶ ἐκυλινδεῖτο. ἀπὸ τοῦ κυλίω κυλίνδω. ἔστι καὶ περισπώμενον, ἐξ οὗ καὶ κυλινδήθρα ἡ κύλιστρα. ἀπὸ τοῦ κυλίνδω καὶ κυλινδῶν.

Κύντερον. παρὰ τὸ κυνὸς γενικῆς κυνώτερος καὶ κύντερος. σημαίνει δὲ χαλεπώτερον καὶ μελάντερον. ἢ παρὰ τὸ κεύθω τὸ κρύπτω.

96b Κύρσας. κύρω κυρῶ, αἰολικῶς κύρσω, ἔκυρσα κύρσας καὶ ἐγκύρσας.

Κύων ἀπὸ τοῦ κύω τὸ φιλῶ παράγεται. ὀφείλων δὲ τρισυλλάβως κλίνεσθαι κύονος, ἔχει τὴν γενι-

κὴν δισύλλαβον κατὰ πάθος, διὰ δύο κανόνων ἐναντιότητα. εἷς μὲν γὰρ κανὼν συστέλλεσθαι θέλει τὸ ω̄ τῆς εὐθείας ἐν τῇ γενικῇ διὰ τὴν τοῦ γένους κοινότητα. ὁ κύων γὰρ καὶ ἡ κύων φαμέν. ἕτερος δέ τις κανὼν φυλάττεσθαι θέλει αὐτὸ διὰ τὸ βραχὺ εἶναι τὸ δίχρονον τῆς παραληγούσης, ὁποῖόν τι καὶ τὸ ἀμφιτρύων ἀμφιτρύωνος καὶ τὰ ὅμοια. ἡ γοῦν τῶν δύο κανόνων μάχη περὶ τὴν τοῦ κύονος παραλήγουσαν διέφθειρεν οἷον καὶ ἐξώθησε τὸ ὑποκείμενον, καὶ τὴν τρισυλλαβίαν εἰς δισυλλαβίαν περιέστησεν.

Κυμβίον. τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ῑ δύο σύμφωνα παροξύνονται, οἷον κυμβίον, ἱστίον, ἰσχίον, ἑρκίον, εἰ μὴ ἄρα πρὸ τοῦ ῑ κεῖται ἀμετάβολον, ὁποῖον τὸ ἴχνιον καὶ ἴκριον.

Κῦθε δεύτερος ἀόριστος τοῦ κεύθω.

Κωπηέντα. μελάνδετα, σιδηρόεντα, ἢ μελαίνας λαβὰς ἔχοντας. ἔστι γὰρ ἡ λαβὴ δεσμός τις τοῦ ξίφους κοπτικὰ τέμνειν δυνάμενα. κώπη κωπήεις, ὡς τιμὴ τιμήεις τιμῆεν.

Κῶμα. ἐκ τοῦ κωμαίνω, ὡς καὶ ἐκ τοῦ δειμαίνω δεῖμα. ἴσως δὲ καὶ ὥσπερ χῶ χῶμα, ῥῶ ῥῶμα, τρῶ τρῶμα, ζῶ ζῶμα, οὕτω καὶ κεῖμαι κῶμα. ἐκ δὲ τοῦ κῶ κατὰ ἑτέραν παραγωγὴν καὶ κώμη γίνεται, ὡς γνῶ γνώμη, τρῶ τρώμη, ἡ τρῶσις, ῥῶ ῥώμη ἡ ῥῶσις. μαλθακὸν δὲ τὸ μαλακοποιόν.

Κώεσσιν οὐκ ἐκ τοῦ κῶας γίνεται. ἦν γὰρ ἂν κώασιν, ὡς κρέασιν, ἀλλὰ ἐκ τοῦ κῶος κατὰ τὸ βέλος βέλεσιν, ἵνα διφορῆται, καθὰ καὶ τὸ ὕδας ὕδος καὶ γῆρας γῆρος, ἐξ οὗ καὶ ὁ παρὰ τῷ Σοφοκλεῖ γηροβοσκὸς, καὶ τὸ γηροτροφεῖν καὶ τὰ ὅμοια.

Λ.

Λάβησι. ἐὰν λάβω ἐὰν λάβῃ καὶ μετὰ τοῦ σι λάβησι. διαλέκτου δέ ἐστι ἰωνικῆς. 97 a

Λαῖνεον πλεονασμὸν ἔχει τοῦ ε̄ τῆς παραληγούσης. τὸ γὰρ ἐντελὲς ἐλάϊνον.

Λαζοίατο. κανόνισον· λάζω ἄχρηστον καὶ τὸ παθητικὸν λάζομαι, καὶ τὸ εὐκτικὸν λαζοίμην λάζοιο λάζοιτο λαζοίμεθον λάζοισθον λαζοίσθην λαζοίμεθα λάζοισθε λάζοιντο καὶ ἰωνικῶς λαζοίατο. ὁμοίως καὶ τὸ ὀλοίατο. ὄλλω, οὗ ὁ μέλλων ὀλῶ, ὁ δεύτερος ἀόριστος ὤλον, ὁ μέσος ὠλόμην, καὶ τὸ εὐκτικὸν παθητικὸν ὀλοίμην ὄλοιο ὄλοιτο ὀλοίμεθον ὄλοισθον ὀλοίσθην ὀλοίμεθα ὄλοισθε ὄλοιντο, καὶ ἰωνικῶς ὀλοίατο τροπῇ τοῦ ν εἰς ᾱ.

Λάζετο. ἐκράτει. λήβω τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος ἔλαβον καὶ ἐξ αὐτοῦ λαβάζω καὶ συγκοπῇ λάζω λάζομαι ἐλαζόμην ἐλάζετο καὶ ἰωνικῶς λάζετο. δύναται δὲ καὶ ἀπὸ τοῦ λῶ τὸ θέλω λάζω γενέσθαι, ὡς στῶ στάζω, κρῶ κράζω; ἢ ἀπὸ τοῦ λάβω λαβάζω, ὡς κύπτω κυπτάζω καὶ συγκοπῇ λάζω.

Λαμπετόωντι. παρὰ τὸ λάμπω γίνεται λαμπετῶ λαμπετῶντος λαμπετῶντι καὶ πλεονασμῷ τοῦ ο̄ λαμπετόωντι. εἴωθε γὰρ ὁ ποιητὴς πλεονάζειν τὸ ο̄ ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων.

Λαχοίην. λάχοιμι λάχοις λάχοι. τοῦτο γίνεται κατὰ πλεονασμὸν τοῦ η̄ ἀττικῶς λαχοίη, εἶτα προσθήκῃ τοῦ σ̄ λαχοίης καὶ τροπῇ τοῦ σ̄ εἰς ν̄ γίνεται τὸ ά, εἶτα κατὰ μεταπλασμὸν λάχοιμι λαχοίην.

Λεύσετε. ἐκ τοῦ λεύω λεύσω τὸ λιθάσω δι' ἑνὸς γράφεται σ̄ νόμῳ μέλλοντος. λεύσσω δὲ τὸ βλέπω ἐν δυσὶ προφέρεται σσ̄, καὶ πρὸς διαστολὴν ἐκείνου, καὶ ὡς ἐνεστὼς, εἰ καὶ ἄλλως οὐδέποτε πρὸ τῶν δύο σσ̄ εὑρίσκεται σύμφωνον, πλὴν τούτου καὶ πλὴν τοῦ κρείσσων καὶ τοῦ ἐξ αὐτοῦ ῥήματος τοῦ κρεισσῶ. χρῆσις δὲ αὐτοῦ κἀνταῦθα ἐν τῷ λεύσετε γὰρ τό γε πάντες. εἰ δὲ καὶ μέλλων τοῦδε τοῦ λεύσσω ἐστὶ τὸ λέξω, τίς οἶδεν.

Ἀέληκα. οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ' ἀπὸ τοῦ 97b
λαλῶ λαλήσω λελάληκα, συγκοπῇ τῆς λα συλλαβῆς.

Ἀελιπαρημένον. ἔστι τὸ θέμα λιπαρῶ τὸ παρακαλῶ, ὁ μέλλων λιπαρήσω λελιπάρηκα λελιπάρημαι λελιπαρημένον, παρὰ τὸ λεῖον παρεῖναι. τὸ δὲ λιπαρῶ παρὰ τὸ λιπαρός.

Ἀείβειν καὶ σπένδειν δηλοῖ ὁ ποιητὴς ἐν τῷ μέθυ λεῖψαι καὶ ὕδατι σπένδοντες, οὗ πρωτότυπον καθ' Ἡρακλείδην τὸ σπείδω. Ἀργεῖοι γάρ φησι καὶ Κρῆτες ἐξαιροῦντες τὸ ῑ τάσσουσι τὸ ν, τὴν εἰς10
πρόθεσιν ἐνς λέγοντες καὶ τὸ τιθεὶς τιθέν̣ς. οἷς ὡμοίωται τὸ σπείδω σπένδω. ἡ δὲ διάλεκτός φασι αὕτη ἔτι καὶ νῦν σώζεται παρὰ τοῖς ἀντιγράφοις. τὸ γὰρ αἰεὶ αἰέν φασι καὶ τὸ οὐ μέντοι οὐ μέντον, οἷον,

οὐ μέντον κάμετόν γε μάχην ἀνὰ κυδιά-15
νειραν.

ἔμπαλιν δέ φησι χρῶνται Σικελοὶ τῷ ῑ ἀντὶ τοῦ ν̄, τὸ ἔνδον ἐνδοῖ λέγοντες. Ὅμηρος εἰνάνυχες ἀντὶ τοῦ ἐννεάνυχες. καὶ τοιόνδε μὲν τοῦτο.

Λέξεο προστακτικὸν πάνυ καινῶς ἔχει. γίνεται δὲ ἀπὸ τοῦ λέγω λέξω, οὗ ἀναδραμόντος εἰς ἐνεστῶ-20
τα ἔστιν αὐτοῦ παθητικὸν τὸ λέξομαι, οὗ παρατατικὸς ἐλεξόμην, τὸ τρίτον λέξετο καὶ ἐξ αὐτοῦ προστακτικὸν τὸ λέξεσο.

Λελάμπρυνται γ' πρόσωπον τῶν ἐνικῶν ἐστιν. ὁμοφωνεῖ δὲ τῷ τρίτῳ τῶν πληθυντικῶν. καὶ γὰρ καὶ25
ἀμφότερα ἐπὶ τῆς παραληγούσης τὸ ν̄ ἔχουσιν, ὡς τὸ ἐξήρανται καὶ κατήσχυνται, καὶ ὅσα τοιαῦτα, οἷς πᾶσι συμβέβηκεν ὁμοφωνεῖν τὸ τρίτον πρόσωπον τῶν ἐνικῶν τῷ τρίτῳ τῶν πληθυντικῶν διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ ν̄ ἀμετάβολον. 30

Λελόγχασι δηλοῖ μὲν τὸ ἔλαχον μᾶλλον ἐξαιρέτως ἔχον ἀπὸ τοῦ λέγω, ἐξ οὗ ἐπίλεκτος καὶ τὸ ἐπιλέγδην ἐπίρρημα καὶ οἱ λογάδες οὗ μόνον ἄνδρες ἀλλὰ καὶ λίθοι. ἔστι δὲ χρόνου ἢ παρακειμένου καθ'

ὁμοιότητα τοῦ κέκλοφα καὶ κέκοφα, ἵνα ᾖ λέλοχα καὶ πλεονασμῷ τοῦ ν̄ δι' εὐφωνίαν λέλογχα. ἢ μέσος παρακείμενος λέλογα προσλαβὼν καὶ τὸ χ̄, ἢ ἀμφότερα μίγμα τοῦ τε λέλογα καὶ τοῦ λέλοχα. οὕτω δὲ μικτόν τι καὶ τὸ ἐνήνοχα καὶ τὰ ἐξ αὐτοῦ σύνθετα. τὸ μὲν γὰρ μικρὸν ο̄ μέσου παρακειμένου ἴδιον, ἐνεργητικοῦ δὲ τὸ σύμφωνον τῆς παραληγούσης. καὶ οὕτω μὲν κοινότερον. Ἡρωδιανὸς δὲ ἐκ τοῦ λήχω τὸ λαγχάνω παράγωγον τὸ λέλοχα τροπῇ τοῦ η̄ εἰς ο̄, ὁμοίως τὸ πήθω πέποθα. λέγει δὲ πλεονάζειν ἐν αὐτοῖς τὸ ν̄, ὡς καὶ ἐν τῷ κέχανδα, οἷον οἶκον κεχανδότα πολλὰ καὶ ἐσθλά. σημείωσαι δὲ ὅτι τὸ λελόγχασι συστέλλει τὴν παραλήγουσαν παρὰ τὴν κοινὴν μὲν παρατήρησιν, ἢ μακροπαράληκτα οἶδε τὰ τῶν τοιούτων παρακειμένων τρίτα πρόσωπα, πλὴν ἄλλως ἀναλόγως τῇ πρὸ αὐτοῦ ὅλῃ κλίσει τοῦ λέλογχα. εἰ δ' ἴσως εὑρεθείη που κατ' ἔκθλιψιν τῆς ληγούσης γραφόμενον, τιμὴν δὲ λελόγχασ' ἴσα θεοῖσι, τότε δὴ καὶ αὐτὸ ἐκτεταμένον ἔσται κατὰ τὸ τετύφασι καὶ πεποιήκασι καὶ τὰ ὅμοια.

Λείηναν. λειαίνω λειανῶ ἐλείηνα ἐλείηναν καὶ ἀκῶς λείηναν.

Λειριόεσσα. γλυκεῖα, ἐπιθυμητὴ, ἀπὸ τοῦ λείριον λειριόεις λειριόεσσα.

Λεύσσω. ἔστι βλέπω αἰολικῶς βλέσσω, ὡς ὄπτω ὄσσω, καὶ κατὰ ἀποβολὴν τοῦ β̄ καὶ πλεονασμῷ τοῦ ν̄ λεύσσω.

Λεγόμεθον. οἱ Αἰολεῖς τὸ λεγόμεθα καὶ τὸ φερόμεθα εἰς ε̄ ποιοῦσι λεγόμεθεν καὶ φερόμεθεν μετὰ τοῦ ν̄. τὸ γὰρ ν̄ ἐφελκυστικόν ἐστιν. ἀλλὰ καὶ τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα εἰς α ποιοῦσιν, ὄπισθεν ὄπισθα, ἄτερθεν καὶ ἄτερθα χωρὶς τοῦ ν̄. ὅτε γάρ εἰσιν εἰς ῑ τὰ ἐπιῤῥήματα, τότε καὶ τὸ ν̄ προσλαμβάνουσι· ὅτε δὲ εἰς α, ἀφίσταται τὸ ν̄, ὥσπερ καὶ τὸ λεγόμεθα.

Λελῆσθαι εἰ μὲν ἀπὸ τοῦ λήθω τὸ λανθάνω ἐστὶν, οὐκ ἔχει τὸ ῑ· εἰ δὲ ἀπὸ τοῦ λῆζω λῆσω λελήϊκα λελήϊσμαι λελήϊσαι λελήϊσθαι καὶ λελῆσθαι κατὰ συναίρεσιν.

Λελιημένος. ἔστι ῥῆμα λῶ τὸ θέλω καὶ προθυμοῦμαι, ἐξ οὗ λιλῶ, ὁ παρακείμενος λελίλικα, ὁ παρακείμενος παθητικὸς λελίλημαι, ἡ μετοχὴ λελιλημένος καὶ ἀποβολῇ τοῦ λ̄ λελιημένος. ἢ ὥσπερ δεδιῶ δεδίηκα, οὕτως λελιῶ λελίηκα λελίημαι λελιημένος.

Λελογχώς. λήχω λέλογχα λελογχώς. ἢ παρὰ τὸ λέγω λέξω λέλοχα ἀττικῶς, ὡς κέκλοφα πέπομφα, λελοχὼς, καὶ πλεονασμῷ τοῦ γ λελογχώς. 98b

Λελυμασμένος. λυμαίνω λελύμαγκα λελύμαμμαι, λελυμασμένος τροπῇ τοῦ μ̄ εἰς σ̄.

Λιμπάνω. τὰ διὰ τοῦ ανω εἰ μὲν πλεονασμῷ τὸ ν̄, συστέλλει τὴν ἄρχουσαν, λήθω λανθάνω, μήθω μανθάνω, λείπω λιμπάνω· εἰ δὲ μὴ, φυλάττει τὴν ἄρχουσαν, αὔξω αὐξάνω.

Λίπτω. τὸ ἐπιθυμῶ. Λυκόφρων,

λίπτοντα κάσις ἐμβαλὼν πελειάδος.

παρὰ τὸ λίαν ἀπτείνεσθαι, ὅ ἐστι προσεγγίζειν. οὐ γὰρ ἐφίεταί τις προσεγγίζειν.

Λιχμώμενος. περιλείχων. ἀπὸ τοῦ λείχω πλεονασμῷ τοῦ μ̄ λιχμῶ. γράφεται δὲ διὰ τοῦ ῑ. οὐ γὰρ πάντοτε ἀκολουθοῦσιν τοῖς πρωτοτύποις τὰ παράγωγα.

Λιτανεύω. δύο θέματα προϋπόκεινται, πρωτότυπον μὲν τὸ λίτω, παράγωγον δὲ ἐξ αὐτοῦ τὸ λιτάνω, πρὸς ὁμοιότητα τοῦ μήθω μανθάνω καὶ τῶν ὁμοίων.

Λίσσομαι. ἀπὸ τοῦ λίαν ἴζω. τὸ θέμα λίσσω, ὁ μέλλων λίσω, ὡς πλάσσω πλάσω.

Λίτα πετάσας. λιτὸν λιτοῦ λιτῷ καὶ μεταπλασμῷ λιτί. ἀπὸ τελικοῦ δοτικῆς εἰς τελικὸν τῆς αὐτῆς, καὶ αἰτιατικὴ κατὰ ἀκολουθίαν δῆθεν κλίσεως λῖτα,

ἐν ὁμοιότητι τοῦ βοῦ βόα, ποδὶ πόδα. διὸ καὶ βαρύνεται. πᾶσα γὰρ αἰτιατικὴ ἑνικὴ δισύλλαβος εἰς ᾱ λήγουσα βαρύνεται. ἄλλως γε μὴν διὰ τὸν μεταπλασμὸν ὀξύνεσθαι ὤφειλεν. οἱ γὰρ μεταπλασμοὶ μεταβιβάζειν 5τοὺς τόνους οὐ βούλονται, χωρὶς τοῦ μητιέτης μητίετα αἰολικοῦ καί τινων ἄλλων ὀλίγων.

Λίπα οὐ σαφῶς φράσαι διὰ τὴν κατ' αὐτὸ ἀποκοπήν. ἄδηλον γὰρ εἴτε λιπαρὸν ἔλαιον ἤλειψε κατὰ πάντα τὸν χρόα, εἴτε λιπαρῷ ἐλαίῳ πάντα ἤλειψεν.

10 Λιτέσθαι. ὤφειλε προπαροξύνεσθαι, ὡς τὸ ἕρεσθαι, καὶ ὅτι ἐνεστὼς ἐστιν ἀπὸ τοῦ λίττομαι βαρυτόνου, ἀλλ' ἐπειδὴ τὰ εἰς σθαι ἀπαρέμφατα τῷ ε παρα-99a λήγεται, μὴ ὄντα ἀπὸ τῶν εἰς μι ἔχει ἐν τῇ τρίτῃ συλλαβῇ τὸ ι συνεσταλμένον, μήτε ἐπιφερομένη 15μήτε δύο σύμφωνα, μήτε διπλοῦντα ὀξύνεται, οἷον πιθέσθαι λιπέσθαι.

Λίγξεν. ἦχησεν. ῥῆμα πεποιημένον ἁρμόζον τῷ ποιητῇ, οἷον λίγξε βιός. κατὰ γὰρ μίμησιν τοῦ ψόφου τοῦ συμβαίνοντος ἐκ τοῦ τόξου πεποίηται κατὰ 20τὸν ἀόριστον μόνον, ἄλλα δὲ αὐτοῦ κινήματα οὐκ ἔστιν. εἰ δέ τιν βιάσεται παραφθείρῃ τὴν μίμησιν. ποία γὰρ ὁμοιότης πρὸς ψόφον τοῦ λίζω;

Λοεσσάμεναι. λουσάμεναι, καὶ διαλύσει τῆς διφθόγγου λοεσάμεναι. ὁ δὲ πλεονασμὸς τοῦ σ Λω-25ριέων καὶ Αἰολέων ἐστίν.

Λοιμοῖο καὶ δένδροιο καὶ ἵπποιο Θετταλῶν γλώσσης ἐστίν.

Λοισθῆϊ ἀπὸ εὐθείας τῆς ὁ λοισθεὺς, ὡς καὶ προεμνημονεύθη. ἐξ οὗ μετ' ὀλίγα λοισθήϊον ἀέθλιον, 30οἱονεὶ λοίσθειον, ὡς ἀπὸ τοῦ λοισθεὺς καὶ ἐν διαλύσει καὶ ἐκτάσει λοισθήϊον.

Λωτεῦντα. ἀνθοῦντα ἢ τὰ λωτὸν ἔχοντα. λωτὸς δέ ἐστιν εἶδος βοτάνης, ἀπὸ τοῦ λωτοέντα ὑπερβιβασμῷ λωτέοντα καὶ κράσει δωρικῇ τοῦ ε καὶ ο εἰς

τὴν ευ λωτεῦντα. εἰ γὰρ ἀπὸ τοῦ λωτοέντα ἦν, λωτοῦντα ἔδει εἶναι.

Λῶστοι. βέλτιστοι. ὄνομα ὑπερθετικὸν ἀπὸ τοῦ λῶος λῶστος. τοῦτο γὰρ παρὰ τὸ λῶ τὸ θέλω.

Μ.

Μαρνάμενος. ἐκ τοῦ μαρνῶ δευτέρας συζυγίας τῶν περισπωμένων γίνεται μάρνημι, ὁ παθητικὸς ἐνεστὼς μάρναμαι μαρνάμενος. τὸ δὲ μαρνῶ, ὡς οἶμαι, παρὰ τὸ μαργῶ τὸ μαίνομαι, μαργῶ καὶ μαρνῶ. ἐοίκασι γὰρ μαινομένοις οἱ μαχόμενοι. ἢ παρὰ τὸ μαραίνω τὸ φθείρω μαρανῶ καὶ μαρνῶ καὶ μάρνημι.

Μαρπέειν τὸ καταλαβεῖν καὶ μάρψαι μάρπτω.

Μάχω μαχήσω. μάχω βαρύτονον οὐχὶ εἴρηται, τὸ δὲ παθητικὸν μάχομαι. ὁ γὰρ χαρακτὴρ παθητικός ἐστι, τὸ δὲ σημαινόμενον ἐνέργειαν δηλοῖ. κα- 99b νὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς χω ῥήματα δισύλλαβα βαρύτονα τῷ α καθαρῷ παραλήγοντα σπάνιά εἰσιν, ἄρχομαι, μάχομαι. καὶ ταῦτα ἄχρι τοῦ παθητικοῦ κλίνεται ως βαρύτονα.

Μείζων. μέγας μέγιστος μέσσων καὶ αἰολικῶς μέζων καὶ πλεονασμῷ τοῦ ι μείζων, ὡς μάσσα μάζα.

Μείων. ὁ ἐλάττων. ὡς πλείων πλεῖστος, οὕτως μείων μεῖστος.

Μείρεται εἰ μὲν σημαίνει τὸ μερίζεται, ἀπὸ τοῦ μέρος γίνεται μέρομαι καὶ πλεονασμῷ τοῦ ι μείρομαι καὶ μείρεται. εἰ δὲ σημαίνει τὸ ἐπιθυμεῖται, ἀπὸ τοῦ ἵμερος ἱμέρω ἱμείρω καὶ ἱμείρομαι ἱμείρεται, καὶ κατὰ ἀφαίρεσιν μείρεται, ὡς ἔβη βῆ, ἔστη στῆ.

Μελεδῶνες. αἱ τὰ μέλη ἔδουσαι φροντίδες. ὅθεν Ἡσίοδος γυικόρους αὐτὰς λέγει τὰς ἕως κόρου τὰ γυῖα κατεσθιούσας. καὶ οἱ Αἰολεῖς σταλαγμὸν τὴν ὀδύνην φασίν.

Μελδόμενος. τηκόμενος. κυρίως δὲ μέλδειν ἐστὶ τὸ τὰ μέλη ἕδειν, οἷον μελέδειν καὶ μέλδειν.

Μεμαώς. προθυμούμενος. παρὰ τὸ μένω τὸ προθυμοῦμαι. ὅθεν καὶ μέμονα μέσος παρακείμενος. ἐκ δὲ τούτου ὁ παρακείμενος μέμαγκα, ὡς τείνω τέταγκα, συγκοπῇ μέμακα μεμακὼς, ἀποβολῇ τοῦ κ̄ μεμαὼς, τὸ θηλυκὸν μεμαυῖα. ἢ ἀπὸ τοῦ μῶ μάσω, ἀφ' οὗ καὶ μέμακα καὶ μεμακὼς καὶ ἀποβολῇ τοῦ κ̄ μεμαώς. ἢ ἀπὸ τοῦ μῶ μήσω μέμηκα μεμηκὼς, καὶ ἐπεὶ οἱ Ἴωνες ἐν τοῖς τοιούτοις ἀποβάλλουσι τὸ κ̄, κεχαρηὼς λέγοντες καὶ τεθνηὼς καὶ βεβηὼς, ἀποβολῇ τοῦ η̄ γίνεται μεμηὼς, ὡς ἐν τῷ ἐκλέλαθον εἴρηται, καὶ μεμαυῖα. ἢ ἐστὶ μεμῶ τὸ προθυμοῦμαι, καὶ ὄνομα ῥηματικὸν ματὸς καὶ αὐτόματος, μέμακα καὶ μέμαα καὶ μεμαὼς μεμαότος καὶ μεμῶτος, καὶ πλεονασμῷ τοῦ ᾱ μεμαῶτος.

Μεθέμεν. μεθεῖσαι, συγχωρῆσαι, ἀπαρέμφατον. ἐνεστὼς ἵημι, τὸ ἀπαρέμφατον ἔναι ἔμεν καὶ μεθέμεν.

Μεθείω. συγχωρῶ. ἀπὸ τοῦ μεθῶ μεθείω, ὡς τελῶ τελείω.

100a Μέμβλωκα. παρὰ τὸ μολῶ μολήσω μεμόληκα καὶ συγκοπῇ μέμλοικα καὶ δι' ἀσυνταξίαν μέμβληκα, πλεονασμῷ τοῦ β̄ καὶ τροπῇ τοῦ η̄ εἰς ω̄, ὡς παρῴχηκα παρῴχωκα καὶ πέπτηκα πέπτωκα, μεμόληκα καὶ συγκοπῇ τοῦ ε̄ καὶ πλεονασμῷ τοῦ β̄, διὰ τὸ μὴ εὑρίσκεσθαι ἀμετάβολον ἀμεταβόλου προηγούμενον κατὰ σύλληψιν, καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ μέμβλωκα καὶ ἐν συνθέσει παραμέμβλωκα.

Μεμετρέαται. ἀπὸ τοῦ μετρῶ μετρήσω μεμέτρηκα μεμέτρημαι μεμέτρηται καὶ ἀκῶς μεμετρέαται.

Μεμακυῖαι. μηκώμεναι. μηκῶ μηκήσω μεμήκηκα ὁ μέσος παρακείμενος, ὡς δέδουπα, καὶ συστολῇ μέμακα μεμακὼς μεμακυῖα. μηκὴ γὰρ ἡ τῶν αἰγῶν φωνὴ, βληχὴ δὲ ἡ τῶν προβάτων.

Μέμνηκα. ἀπὸ τοῦ μένω καὶ συγκοπῇ μνῶ μνήσω μέμνηκα.

Μεμνήμην. ἀπὸ τοῦ μέμνημαι τὸ εὐκτικὸν μεμνήμην, ὡς βεβοήμην, κεκλήμην. εὕρηται γὰρ ὁ παθητικὸς παρακείμενος ἔχων καθαρὰν τὴν ἐσχάτην, μεμνῆο μεμνῆτο προσγραφομένου τοῦ ῑ. πᾶν γὰρ εὐκτικὸν διφθόγγῳ παραλήγεται. καὶ τὸ ῃ δὲ μετὰ τοῦ ῑ διφθογγός ἐστιν.

Μεμνέῳτο δρόμου μεμνέοιτο. καὶ αὐξήσει τοῦ ο̄ εἰς ω̄, ὅπως φησὶν ἐπισκοποίη καὶ ἐπιμελοῖτο τοῦ δρόμου, μή τις περὶ τὸν καμπτῆρα πανοῦργόν τι διατάξηται.

Μέμυκε δὲ γαῖα καὶ ὕλη. εἰ μὲν σημαίνει τὸ ἦχον ἀποτελῶ, ἀπὸ τοῦ μυκῶ περισπωμένου ἐστὶν, εἰ δὲ τὸ συνεσφίγχθαι καὶ πεπιλῆσθαι ὑπὸ τοῦ κρύους, ἀπὸ τοῦ μῶ.

Μενεαίνων ὁ προθυμούμενος. ἀπὸ τοῦ μένος μένω μεναίνω καὶ πλεονασμῷ μενεαίνω.

Μέμφεαι. ἀπὸ τῶν παθητικῶν τρίτων προσώπων οἱ Ἴωνες ἀποβολῇ τοῦ τ̄ ποιοῦσι τὰ δεύτερα πρόσωπα, οἷον κέλεται κέλεαι, μέμφεται μέμφεαι. ὡσαύτως καὶ ἐπὶ τῶν ὑποτακτικῶν παθητικῶν ποιοῦσιν, ἵκηται ἵκηαι, ὅλληται ὅλληαι. τοῦ δὲ μέμφεαι τὸ ἐνεργητικὸν οὐκ ἔστιν.

Μενοεικὲς ἀρεστὸν τῇ ψυχῇ, παρὰ τὸ μένος καὶ εἴκω, τὸ πρέπω, εἰκὴς καὶ μενοεικὴς καὶ τὸ οὐδέτερον μενοεικές. 100b

Μέρμερα. τὰ μερίμνης ἄξια. παρὰ τὸ μείρω τὸ μερίζω καὶ μερμηρίζω. παρὰ τὸ μείρω γίνεται μέρος καὶ μερίζω, καὶ ἀναδιπλασιασμῷ μεμερίζω καὶ πλεονασμῷ τοῦ ρ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ μερμηρίζω. ὁμοίως τὸ δαρδάπτω, μαρμέρω, καρκαίρω. ὁ γὰρ φροντίζων μερίζεται τὴν γνώμην. ἐκ δὲ τοῦ μερίζω μέριδνα καὶ μέριμνα.

Μέθεσθε. κανόνισον· ἵημι, ὁ μέλλων ἥσω, ὁ δεύτερος ἀόριστος ἦν, ὁ μέσος ἕμην ἕσο, καὶ τὸ προστακτικὸν ἕσο καὶ ἐκβολῇ τοῦ σ καὶ κράσει τοῦ ε καὶ ο εἰς ου δίφθογγον, οὗ, καὶ μετὰ τῆς μετά προθέσεως μεθοῦ. τὸ δεύτερον τῶν πληθυντικῶν μέθεσθε.

Μεταμώλια. ἀνέμων, ἀνεμόνιος, ἀνεμώνια τὰ ὑπὸ τῶν ἀνέμων ὀλλύμενα, καὶ τροπῇ τοῦ ν εἰς λ, μεταμώλια καὶ ἀνεμώλια.

Μετέῃσιν. εἶμι τὸ πορεύομαι, ὁ παρατατικὸς εἶν, ἡ μετοχὴ εἷς ἕντος, τὸ ὑποτακτικὸν ἐὰν ὦ, τὸ τρίτον ἐὰν ᾖ καὶ προσλήψει τῆς σι ἐὰν ᾖσιν, ὡς ἐὰν λάβῃσιν, ἀττικῇ ἐκτάσει τοῦ ε ἔῃσι καὶ μετέῃσιν.

Μετεκίαθεν. μετ' αὐτοὺς ἦλθεν, κίω κιάθω, ὡς διώκω διωκάθω, καὶ εἴκω εἰκάθω. ἔστι δὲ ἡ παραγωγὴ αὕτη ἀττική.

Μετενίσσετο σημαίνει τὸ μετῆλθεν. νίσσω γὰρ τὸ πορεύομαι.

Μέτερῥα. τὸ πάθος Αἰόλων. ὁ γὰρ μέτριος μέτερρος παρ' αὐτοῖς καὶ τὰ μέτρια μέτερρα.

Μετεισάμενος. πρὸς αὐτοὺς ἀφικόμενος.

Μέμασαν. θέμα οὐ τὸ μαιμῶ, οὗ ὁ μέλλων μαιμήσω, ἀλλὰ τὸ μῶ τὸ πρωτότυπον τοῦ μαιμῶ. τοῦ δὲ τοιούτου μῶ παράγωγα καὶ ἡ μαῖα καὶ ἡ μήτηρ, ἤδη δὲ καὶ ἡ μοῦσα. οὐ γὰρ ἀξύμβατα τὸ μῶ ἤγουν ζητῶ, καὶ τὸ μῶ ὅ ἐστι προθυμοῦμαι.

Μέμηλε. μέλω μελήσω μεμέληκα μέμηλα. Ὅμηρος,

101a *ὦ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε.*

ὡς ὤλεκα ὤλα, τεθάληκα τέθηλα, βεβούληκα βέβουλα, τοιοῦτόν τι καὶ τὸ λέληκα. δαιμονίη τί λέληκας. καὶ τὸ δεδούπηκα δέδουπα, κατὰ Ἡρωδιανὸν, δεδουπότος Οἰδιπόδαο. καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷς καὶ τὸ ἐκτύπηκα ἔκτυπα. εἰσὶ γὰρ περισπώμενοι τοιοῦτοι μέσοι παρακείμενοι, οἳ καὶ αὐτοὶ κατὰ τὰ προῤῥηθέντα μιᾷ συλλαβῇ ἐνδέουσι τοῦ ἐνεργη-

τικοῦ, ὅπερ ἐν τοῖς βαρυνομένοις οὐκ ἔστι ῥήμασιν. ἐν ἐκείνοις γὰρ ἰσοσυλλαβεῖ καθόλου ὁ μέσος τῷ ἐνεργητικῷ.

Μεταπλασμὸς ὁ τῶν εὐθειῶν τῶν εἰς ης ἀρσενικῶν ὀνομάτων, ὅτε εἰς ᾱ μεταπλασθῶσι κατὰ τὴν λήγουσαν, οἷον ὅτε τοξότης τοξότα λέγεται καὶ ὁ ἱππότης ἱππότα καὶ ὁ αἰχμητὴς αἰχμητὰ καὶ ὁ κυανοχαίτης κυανοχαῖτα Ποσειδάων, διὰ συσταλμένου τοῦ ᾱ, καὶ ὁ ἠπύτης ἠπύτα κῆρυξ, ἤγουν φωνητικὸς, παρὰ τὸ ἠπύω τὸ φωνῶ. οἱ μὲν γὰρ μεταπλασμοὶ ἀπὸ τελικοῦ γίνονται εἰς ὁμοιόπτωτον τελικὸν, οἷον τὸ ἀλκῇ ἀπὸ τοῦ ῃ εἰς ῑ μετεπλάσθη ἐν τῷ ἀλκὶ πεποιθώς, ἅπερ εἰσὶ καὶ ἀμφότερα τελικὰ δοτικῆς. ὡσαύτως καὶ τὸ ὄσσω δυϊκὸν, ὃ δηλοῖ τοὺς ὀφθαλμοὺς μεταπλασθὲν ἐν τῷ ὄσσε, εἰ καὶ συγγενὲς μετέπεσε τελικόν. καὶ γὰρ καὶ τὸ μεταπλασθὲν ω καὶ τὸ ε εἰς ο μεταπέπλασται, τελικά εἰσι τῶν δυϊκῶν. ὁμοίως ἔπαθε καὶ τὸ ἐρυσάρματοι ἵπποι ἐν τῷ ἐρυσάρματες. καὶ ἡ οι γὰρ δίφθογγος καὶ ἡ ες συλλαβὴ εὐθείας πληθυντικῆς εἰσὶ τελεστικά. τὸ μέντοι ἱππότης ἱππότα καὶ τὰ ὅμοια ἀπὸ τῶν εἰς ης εὐθειῶν εἰς ᾱ μεταπεσόντα μεταπλασμὸν παράδοξον ἔπαθον. καὶ ἴσως οὐδὲ μεταπλασμὸν τὸ τοιοῦτον κλητέον. τὸ γὰρ ᾱ τοῦτο οὐκ εὐθείας ἑνικῆς ἀρσενικῆς ἐστι τελικὸν παρ' ἡμῖν, ἀλλὰ κλητικῆς τῆς ὦ ἱππότα καὶ ὦ τοξότα. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τύπος τοῦ σχηματισμοῦ. διὸ καί τινα ἐκ τῶν τοιούτων προπαροξύνονται, ὡς ἐνταῦθα τὸ μητίετα Ζεὺς ἐκ τοῦ μητιέτης γενόμενον, ὃ δηλοῖ τὸν βουλευτικόν. μῆτις γὰρ ἡ βουλή. καὶ ἐκ τοῦ ἀκακήτης ὁ ἀκάκητα, ὁ εἰρηνικὸς καὶ μὴ κακοποιῶν. προπαροξυντικοὶ γάρ εἰσι οἱ Αἰολεῖς ἐν πολλοῖς, ὡς δηλοῖ καὶ τὸ δύνατος παρ' αὐτοῖς προπαροξυνόμενον καὶ ἄλλα μυρία. σημείωσαι δὲ ὅτι ὁ μητίετα Ζεὺς καὶ μητιόεις λέγεται, ὃν ἑρμηνεύει Θεόκριτος ἐν τῷ Διὸς μεγάλου βουλεύσαντος. 101b

Μενοίτιος πλεονασμὸν ἔχει τοῦ ῑ, ὡς ἐκ τοῦ μένος, καθὰ καὶ ἐν Ὀδυσσείᾳ τὸ φιλοίτιος ἐκ τοῦ φίλος. οὕτω δὲ καὶ τὸ θυμοίτης, καὶ παρὰ Θεοκρίτῳ δὲ τὸ *Δαμοίτης*, ἀπὸ τοῦ θυμὸς καὶ δῆμος.

Μεθήμων δηλοῖ οὐ τὸν πρᾷον, ἀλλὰ τὸν πέπονα καὶ ἀμελητὴν καὶ ἔκλυτον, ἀπὸ τοῦ μεθιέναι, ἀφ' οὗ καὶ ἡ μέθη γίνεται.

Μετώπιον ἢ τὸ μέτωπον καθ' ὁμοιότητα τοῦ ἐνώπιον, ἢ τὸ μεσόφρυον, ὡς καὶ μεταμάζιον τὸ μεταξὺ τῶν μαζῶν, καὶ μεταίχμιον τὸ μεταξὺ δύο στρατῶν. φησὶ γὰρ *μετώπιον ὀξεῖ δουρὶ ἔνυξε*. καθὰ δὲ τὸ ἴχνος ἴχνιον οὐκ ἔστι παρ' Ὁμήρῳ ὑποκοριστικὸν, οὕτως οὐδὲ τὸ μετώπιον. σημειοῦνται γὰρ οἱ παλαιοὶ μὴ εἶναι παρ' Ὁμήρῳ ὑποκορισμὸν, διὰ τὸ μεγαλοπρεπὲς τῆς κατ' αὐτὸν ποιήσεως.

Μετεισάμενος. ἤγουν μετελθών, οὗ τὸ θέμα εἶω ποιητικῶς μεταλαβὼν τὰ ποιητικὰ, ὡς εἶπερ που καὶ τὸ ἀΐσσειν εἰς τὸ παιφάσσειν μεταληφθείη, ἢ τὸ καρπαλίμως εἰς τὸ κραιπνῶς.

Μετείω ἀντὶ τοῦ σύνειμι. πρωτότυπον δὲ αὐτοῦ μετέω, ἐξ οὗ μετέησι καὶ συνυπάρχει.

Μεμνέωτο ἢ ἐκ τοῦ μεμνέοιτο γίνεται κατ' ἔκτασιν τοῦ ο̄, ὁποῖα καὶ ἄλλα εὐκτικὰ, ἢ ἀπὸ τοῦ μεμνῶτο ἐπεντεθέντος τοῦ ε̄.

Μέμηλε μέσου ἐστὶ παρακειμένου καὶ γίνεται κατὰ συγκοπὴν ἐκ τοῦ μεμέληκα, ὡς ἐκ τοῦ λελάληκα τὸ λέληκα καὶ τοῦ βεβούληκα τὸ βέβουλα, ὡς προείρηται.

102a *Μέγας* κατὰ συγκοπὴν ἐκ τοῦ μεγάλος, οὗ κλητικὴ μὲν ἐνικὴ παρ' Αἰσχύλῳ ἐν τῷ *ὦ μεγάλε Ζεῦ*. αἱ δὲ λοιπαὶ πλάγιοι πάγχρηστοι.

Μελεδήματα. αἱ φροντίδες καὶ αἱ λύπαι, παρὰ τὸ τὰ μέλη ἔδειν, καὶ αἱ μελεδῶνες.

Μετοχλίσειε. πρωτότυπον τὸ ὀχλεῖν, οὗ παράγωγον τὸ ὀχλίζειν, ὁμοίως τῷ πολεμῶ πολεμίζω.

δοκεῖ δὲ γίνεσθαι τό τε ὀχλεῖν καὶ τὸ ὀχλίζειν ἀπὸ τοῦ τῆς ὀχῆς, ὅ ἐστι συνοχῆς, λιάζειν ἢ λύειν. τὸ γὰρ ὀχλιζόμενον ἤτοι μετακοινούμενον ἐκκλίνει τὴν ἔνθα ἔκειτο συνοχήν. ἐκ δὲ τοῦ ὀχλίζειν γίνεται καὶ ἀνοχλίζειν τὸ ἀνακινεῖν. δοκεῖ δὲ ἐκ τοῦ τοιούτου ὀχλεῖν καὶ ὁ μοχλὸς γίνεσθαι. διὸ καὶ τὸ μοχλεύειν καὶ ἀναμοχλεύειν ταῖς ἐκ τοῦ ὀχλίζειν σημασίαις ἐοίκασι. ἔστι δὲ μοχλὸς οὐ μόνον μηχανῆς ξύλον τι, ἀλλὰ καὶ θύρας ὀχεύς.

Μήδεα ἐπὶ τῶν αἰδοίων παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γεννήσεως.

Μηκᾶσθαι ὁ μεμηκὼς, ὑποτρίζειν τινὲς ἑρμηνεύκασι. καὶ ἔστι μίμημα φωνῆς οὐ μόνον αἰγῶν ὡς πολλαχοῦ φαίνεται, ἀλλὰ καὶ ἐλάφου, συλληπτικῶς καὶ λαγωοῦ, ἣν ἀφίησιν οἷον κλαυθμόν τινα, ὅταν διωκόμενος κατάληπτος γίνεται. καὶ ἴσως ἐκ τοῦ τοιούτου ῥήματος καὶ ἡ κεμὰς ὠνόμασται, οἱονεὶ κημὰς κατὰ μετάθεσιν καὶ κατὰ συστολὴν κεμὰς, ἣν ὁ τὰ μεθ' Ὁμηρον γράψας ἐν δυσὶ γράφεται μ διπλάσας τὸ ἀμετάβολον.

Μητίετα ὤφειλε παροξύνεσθαι, εἴ γε τὰ εἰς της λήγοντα βαρύτονα ἀπρόσληπτα τοῦ σ ἐπὶ γενικῆς καὶ κλητικῆς παροξύνεσθαι θέλει, οἷον οἰκέτα, φυλέτα, ἐννέτα. παραλόγως ἄρα τὸ δέσποτα μητίετα. μητίετα ἡ εὐθεῖα ἐστι μητιέτης ἐκ τοῦ μῆτις μητίτης καὶ μητιέτης. ἡ αἰτιατικὴ τὸν μητιέτην καὶ κατὰ μεταπλασμὸν μητίετα. διὰ τί προπαροξύνεται; ὅτι αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς ᾱ αἰτιατικαὶ μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς εἰς ᾱ μεταπλασθεῖσαι ὡς ἱππότης ἱππότου ἱππότα, ὑπὲρ β' συλλαβὰς, διὰ τὸ λιτοῦ λῖτα, οἷον κατὰ λῖτα πετάσας, προπαροξύνονται, οἷον ἐὔτροχον ἐὔτροχα, ἀλίτροχον ἀλίτροχα. τὸν μητιέτην γὰρ καὶ μητίετα καὶ ἡ κλητικὴ ὦ μητίετα ὤφειλε βαρύνεσθαι. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ης ἰσοσύλλαβα εἰ τὸ τ ἔχουσιν, εἰς ᾱ

ποιοῦσι τὴν κλητικὴν, καὶ ὤφειλεν εἶναι μητιέτα ἀπὸ τῆς μητιέτης εὐθείας. ἀλλ' ἐπειδὴ ἕτερος κανών ἐστιν ὁ λέγων ὅτι πᾶσα πτῶσις συνεμπίπτουσα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν τόνον ἐπιδέχεται, τούτου χάριν καὶ ἡ κλητικὴ τὸν αὐτὸν τόνον ἐφύλαξε τῆς αἰτιατικῆς καὶ ἡ εὐθεῖα πάλιν τῇ αἰτιατικῇ ὡμοφώνησεν. ἔστι γὰρ καὶ ἐπὶ εὐθείας ὁ μητίετα κατὰ μετασχηματισμὸν Βοιωτῶν καὶ Αἰολέων, οἷον αὐτὰρ ὁ αὖτε Θυέστα, ἀντὶ τοῦ ὁ Θυέστης, καὶ ἱππηλάτα ἀντὶ τοῦ ἱππηλάτης, καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης, καὶ κυανοχαῖτα ἀντὶ τοῦ κυανοχαίτης. ἔστι δὲ καὶ ἀττικῆς τοῦτο διαλέκτου ἰδίωμα. ἀντὶ γὰρ εὐθείας οἱ Ἀττικοὶ τῇ κλητικῇ χρῶνται. παρ' ἡμῖν δὲ οὐδὲν ἀρσενικὸν ὄνομα ἐπὶ τῆς εὐθείας ᾱ λήγει.

Μιγέωσι. ῥῆμα ὑποτακτικὸν παθητικὸν δεύτερος ἀόριστος. ἐπεὶ εἰ ἦν ἐνεστὼς, μακρὸν ὤφειλεν ἔχειν τὸ ῑ, ὧδε δὲ βραχύ, καὶ τούτου χάριν ἐστὶ δεύτερος ἀόριστος. ὁ ἐνεστὼς μίγω, τὸ μι μακρὸν, εἶτα μίσγω καὶ θέσει μακρὰ μεταβληθὴ εἰς φ. ὁ δεύτερος ἀόριστος ἔμιγον, ἐμίγην, τὸ ὑποτακτικὸν μιγῶ μιγῶμεν μιγῶσι, καὶ πλεονασμῷ τοῦ ε μιγέωσιν.

Μιμαλλόοντες. παρὰ τὸ μιμεῖσθαι ἄνδρας. μιμαλλόονες γὰρ κυρίως ἐκλήθησαν αἱ γυναῖκες.

Μιν ἀντωνυμία ἐστὶ τρίτου προσώπου πρωτοτύπου, ἐγὼ, σὺ, ἵ. τοῦτο γὰρ τὸ ἵ τρίτον βραχυνόμενον πρόσωπον ἐφειλκύσατο τὸ ν, καὶ πλεονασμῷ τοῦ μ ἐγένετο. οὕτως καὶ τὸ νιν, ὃ σημαίνει τὸ αὐτό. σημαίνει δὲ τρία γένη, αὐτὸν, αὐτὴν, αὐτό.

Μίνυνθα. ἐπ' ὀλίγον χρόνον. μινύθω μίνυθα καὶ πλεονασμῷ τοῦ ν μίνυνθα καὶ μινυνθάδιος.

Μίστυλλον. εἰς μικρὰ διέκοπτον, παρὰ τὸ μεῖον 103 a καὶ τὸ τίλλω, ὃ σημαίνει τὸ εἰς μικρὰ κόπτω. τὸ θέμα μιστύλλω. ἔστι δὲ μίστυλλον τρίτου προσώπου τοῦ παρατατικοῦ τῶν ἐνεργητικῶν.

Μιμνόντεσσιν. ἀντὶ τοῦ μένουσιν ἰωνικῶς εἴρηται.

Μίδας Μίδου καὶ Γέτας Γέτου κοινῶς, Μίδα δὲ καὶ Γέτα δωρικῶς. οὕτω δὲ καὶ *Αἰνείας Αἰνεία. Αἰνείαο* δὲ Βοιωτῶν καὶ ἄλλων Δωριέων· Ἀττικῶν δὲ καὶ Ἰώνων *Μενέλεω καὶ Αἰνείεω·* Θετταλῶν δὲ καλοῖο.

Μνάα δεύτερον πρόσωπον παθητικοῦ ἐνεστῶτος κατὰ Ἴωνας.

Μνῆστις πλεονασμὸν ἔχει τοῦ σ̄. οὐ γὰρ ὡς ἐκ τοῦ λέλησται ἡ λῆστις, οὕτω καὶ ἐκ τοῦ μέμνησται ἡ μνῆστις, ἀλλ' ἐκ τοῦ μέμνηται.

Μοχθίζειν ὅμοιόν ἐστι τῷ πολεμίζειν καὶ τῷ νεμεσίζεσθαι καὶ τοῖς ὁμοίοις, ἐν οἷς καὶ τὸ ὀχθίζειν παρὰ τῷ Ὀππιανῷ.

Μόρσιμος εἰμί. λέγει δὲ μόρσιμον ἀπολύτως ἐνταῦθα ὁ ποιητὴς τὸν μοίρᾳ ὑποκείμενον. παραγωγὴ δὲ αὐτοῦ μείρω μερῶ μέμορκα μέμορα μέσος, ἐξ οὗ μέμορμαι μέμορσαι, ὅθεν μόρσιμος κατὰ ἀναλογίαν τῶν ιμος παραγώγων, ὧν τινὰ καὶ διὰ τοῦ χιμος παράγονται. οὕτως Αἰσχύλος πέπλους μελαγχίμους φησί.

Μυδᾶν ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων. σημαίνει τὸ οἰδαίνειν, ἢ τὸ φυσᾶσθαι καὶ ὀγκοῦσθαι.

Μυδόωσα. διυγρανομένη. ἀπὸ τοῦ ὕδωρ ὑδῶ ὑδώσω καὶ πλεονασμῷ τοῦ μ̄ μυδῶ.

Μῦκον. ἤχησαν. ὠνόμασται ὁ τρόπος ἀπὸ τοῦ παρακολουθοῦντος. μυκῶ μυκήσω μύκησα. τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ δευτέρου ἀορίστου μῦκον ἰωνικῶς.

Μυχοίτατος. μυχαίτατόν φησι ἡ μεθ' Ὅμηρον ἀθῆς, ἤγουν ἐνδότατος. γίνεται δὲ ἐκ τοῦ μυχὸς προσλήψει τοῦ ῐ̄, ὡς ἀδιάφορον ὂν εἴτε μυχοίτατος εἴποι τις, εἴτε μυχώτατος. καὶ ἔστιν ὅμοιον τῷ πάρος παροίτατος, οὗ συγκριτικὸν ἐν Ἰλιάδι ἐστί. σημαίνει 103b δὲ ὅτι καθὰ τὸ μυχοίτατος τροπῇ τοῦ ο εἰς α μυχαί-

τατος γίνεται ἀττικῶς. οὕτως ἐκ τοῦ πρωΐ πρωΐος, οἷον τὴν ἐνέδησα πρώϊον. παράγεται δὲ πρωϊαίτερος. οὕτω δὲ καὶ ἐκ τοῦ ἔργον ὁ προυργιαίτερος, πλεονάσαντος αὐτόθι τοῦ ι, ὡς ἐν τῷ κάμινος καμινος καμινιαῖος, καὶ μνᾶ μναῖος λίθος κατὰ πλεονασμὸν μναιαῖος παρ' Ἀριστοτέλει. ἔστι δὲ καὶ φιλαίτερος καθ' ὁμοίαν ἀναλογίαν, πρὸς ἣν ἐφάνη καὶ ἐν ἄλλοις παρῆχθαι καὶ ὁ μεσαιπόλιος καὶ ὁ Πυλαιμένης καὶ τὸ τιθαιβώσσειν, καὶ ὅσα τοιαῦτα. ὡς δὲ κατὰ τὰ ἄνω κείμενα λέγεται καὶ ὁ μεσαίτερος, καὶ ὅτι καὶ αὐτὸ καὶ τὰ κατ' αὐτὸ πρὸς ὁμοιότητά ἐστι τοῦ πέρας περαίτερος, γῆρας γηραίτερος, καὶ τῶν ὁμοίων, οὐκ ἄδηλόν ἐστιν.

Μώνυχας. μονώνυχας, ἀπὸ τοῦ μόνος καὶ τοῦ ὄνυχας ἀποβολῇ τοῦ ν μοώνυχας καὶ κράσει μώνυχας.

N.

Ναί. ναὶ μὰ τόδε σκῆπτρον, πλεονασμῷ τοῦ μα, ἤτοι ἀπομωτικὸν μόριον κατὰ ἀττικὸν ἔθος. ἤρκει γὰρ εἰπεῖν νὴ τοῦτο σκῆπτρον. λέγεται δὲ καὶ ἀντὶ τοῦ ὅμως. οἷον, ναὶ μὲν ἀκήδεστον γαίη τόνδε λιπόντες.

Ναιετάωσιν. ἀπὸ τοῦ ναίω ναιέτης ναιετῶ, ὡς κυνηγῶ κυνηγέτης κυνηγετῶ. καὶ ἔδει μὲν ναιετάουσι, ὡς βοάουσιν, ἀλλ' ἔστιν ὅμοιον τῷ ἱδροῦσαι ἱδρῶσαι καὶ βοῦν βᾶν, δωρικῇ διαλέκτῳ, ὥσπερ καὶ μοῦσα μῶσα, οὕτως καὶ ναιετάουσι ναιετάωσι. λέγεται δὲ ναιέτης ὁ μέτοικος.

Ναῦφιν. ὥσπερ ἀπὸ τοῦ ταναόποδας γίνεται ταναύποδας κράσει τοῦ αο εἰς τὴν αυ δίφθογγον, σημαίνει δὲ τοὺς σύροντας τοὺς πόδας, οὕτως καὶ ἀπὸ τοῦ ναῦς ναὸς γίνεται ναόφιν, καὶ κράσει ναῦφιν, οἷον ναῦφιν ἀμυνόμενοι, ἀντὶ ἀπὸ τῶν νηῶν 104 a ἀποσοβοῦντες.

Νάσθη. νάω τὸ θέμα, ἐξ οὗ καὶ ναέτης καὶ νά-

σασθαι τὸ οἰκῆσαι, ὡς καὶ κλαίω κλάω, οὕτω ναίω νάω.

Ναιετάειν. προϋποκείμενον ἔχει θέμα οὐ βαρύτονον τὸ ναίω, ἀλλὰ τὸ νεῶ ναιέσω, ἐξ οὗ καθὰ αἰνῶ αἰνέσω αἰνέτης αἰνετὸς, οὕτω καὶ ναιῶ ναιέσω ναιέτης, ὁ ἄλλως ναιέτης, ἀφ' οὗ ῥῆμα τὸ ναιετῶ. ὁ δὲ εἰρημένος ναέτης ὑποβάλλει νοεῖν ὅτι ὥσπερ κλαίω κλάω, καίω κάω, οὕτω δύναται καὶ ναίω νάω, ἀφ' οὗ ὁ ναέτης. ἴσως δὲ ἀχρηστίαν ἐκύρωσε τοῦ νάω τὸ οἰκῶ ἡ κοίνωσις τοῦ νάω τὸ ῥέω. εἴποι δ' ἄν τις τοῦτον κατ' ἀρχὴν μονοσύλλαβον ῥῆμα τὸ νῶ νήσω, τὸ σωρεύω, ἐξ οὗ ὅλα τὰ τοιαῦτα. καὶ γὰρ οἱ νάοντές που σεσωρευμένοι εἰσὶ, καὶ πηγῆς δὲ ὕδωρ ἄθρουν, σωρευθὲν, νᾶμα. οὕτω νάει ἀπόῤῥυτον, ἢ ἄλλως στατὸν μὲν, ἀέννaον δέ. ἐκ τούτων δὲ πολλὰ παρῆκται καὶ διάφορα, ὁ ναὸς ἐν ᾧ πολλοὶ σεσωρεύονται, ἡ ναῦς, ἥ τε νηῦς, ἣν σωρὸς ἐγκείμενος βαρύνει, αἱ νηΐδες καὶ ἕτερα.

Νάσσα ἀντὶ τοῦ κατῴκισα. οὐ γὰρ ναίω μόνον, ἀλλὰ καὶ νάω, ὅθεν καὶ ναέτης ὁ ἐγκάτοικος.

Νέηαι. νέω τὸ πορεύομαι, νέομαι, τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν νέωμαι ἐὰν νέηται, καὶ ἰωνικῶς ἐὰν νέηαι.

Νέηλυς. ἀπὸ τοῦ νέον τὸ νεωστὶ, καὶ τοῦ ἦλυσιν ἡ ἐπέλευσις, ὁ νεωστὶ ἐλθὼν, νεήλυδος. ὁ κανὼν τὰ εἰς υς σύνθετα εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων εἰσὶ συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον βραχὺς βραχέος, τρίβραχυς τριβραχέος· εἰ δὲ ἀπὸ ῥήματος εἰσὶ συντεθειμένα, διὰ τοῦ δος κλίνεται, ἔπηλυς ἐπήλυδος, νέηλυς νεήλυδος. ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς υς ληγόντων ἐστὶ συντεθειμένα, ἀλλὰ ἀπὸ ῥήματος τοῦ ἐλεύθω.

Νεικείησι. κακολογήσει. ἐνεστὼς καὶ παρατατικὸς τρίτου προσώπου νεικῶ νεικείω, ἐὰν νεικείω νεικείῃς νεικείῃ, προσχηματισμῷ τῆς σι νεικείησι, ὡς λάβῃσι.

104b *Νεμέσσι. μέμψει μεμφθῇ, ἀπὸ τοῦ νεμῶ νέμεσις νεμέσει, καὶ τροπῇ τοῦ ε̄ εἰς σ̄ νεμέσσι, ἢ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ̄, οἷον*

οὗτοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι.

Νενέαται. ἔστι νῶ σημαῖνον τὸ σωρεύω, εἰ δὲ τὸ οἰκῶ ἄδηλον, ὁ παρακείμενος νένηκα, ὁ παθητικὸς νένημαι, τὸ γ' τῶν πληθυντικῶν νένηνται, καὶ ἀκῶς νενέαται, ἰωνικῇ ἀφαιρέσει τοῦ ἀναδιπλασιασμοῦ νέαται.

Νένοται. ἢ ἀπὸ τοῦ νενόηται συγκοπῇ, ἢ ἀπὸ τοῦ νένωται καὶ συστολῇ, ἐπειδή ἐστι ῥῆμα νῶ τρίτης συζυγίας. καὶ Σοφοκλῆς νένωται, καὶ Ἀνακρέων, ὁ δ' ὑψηλὰ νενωμένος, καὶ ἄλλο ἄλλα λέξασθαι νένωκται, ὡς χρυσόονται χρυσοῦνται, νόονται νοῦνται.

Νεοχμοῦντες. μετακοσμοῦντες, καὶ νεοχμὸς ἄπονος ἄκοπος, νεωστὶ εἰργασμένος.

Νέκταρ ἐτυμολογεῖται μὲν ἀπὸ τοῦ κτῶ τὸ κτῶμαι καὶ τοῦ νε̄ στερητικοῦ, οἱονεὶ τὸ ἄκτητον, ὃ οὐδενὸς θνητοῦ γίνεται κτέαρ ἤτοι κτῆμα.

Νεῦμαι. ἤγουν νέομαι, ὑπονοστῶ, παλιννοστῶ.

Νημερτὲς, ἐπιῤῥῆμα ἀπὸ τοῦ νημερτὴς ὄνομα, τοῦτο παρὰ τὸ ἁμαρτῶ, τὸ ἐπιτυγχάνω, μετὰ τοῦ ν̄ στερητικοῦ νημερτὴς ὁ μὴ ἀποτυγχάνων.

Νηγάτεον δὲ ἢ τὸ νεωστὶ γενόμενον, οἱονεὶ νεήγατον, ἢ παρὰ τὸ νη̄ στερητικὸν, καὶ τὸ γατὸν τὸ γεγενημένον, ἵνα δηλοῖ τὸ ἀγένητον καὶ ὡς εἰπεῖν ἀχειρότευκτον. ὥσπερ γάρ φασι ἀπὸ τοῦ τείνω τατὸς, οὕτω καὶ ἀπὸ τοῦ γείνω γατὸς καὶ νηγάτεος.

Νῆμα γίνεται παρὰ τὸ νήθω, ἢ μᾶλλον παρὰ τὸ νῶ, ἐξ οὗ καὶ τὸ νήθω παρῆκται, ὡς ἐκ τοῦ κνῶ τὸ κνήθω, καὶ ἐκ τοῦ μῶ μήθω, ἤτοι ζητῶ. ὅθεν καὶ προμηθεύς. χρῆσις δὲ τοῦ νῶ παρὰ Ἡσιόδῳ.

Νοσφιζοίμεθα παρὰ τὸ νοσφίζω. τοῦτο ἐκ τοῦ νόσφι, τὸ δὲ ἐκ τοῦ νόστος νοστόσφι καὶ ἐν συγκοπῇ νόσφι.

Νουνέχοντας ὑφὲν ἀναγνωστέον. ἀπὸ τοῦ νοῦν ἔχω σύνθετον ῥῆμα νουνέχω καὶ νουνέχοντας. πολλά-
κις γὰρ ἀπὸ β' διεστώτων μερῶν τοῦ λόγου γίνε- 105 a
ται ἑνότης, οἷον ἀρειοπάγος ἀρειοπαγήτης, νεάπολις νεαπολίτης.

Νοῦς παρὰ τὸ νέεσθαι τὸ πορεύεσθαι, ὃς πάντοτε κινούμενος ἐν ἡμῖν.

Νοῦσος ἰωνικὴν ἐπένθεσιν ἔχει τοῦ ῡ. ὡς γὰρ ὁδὸς οὐδὸς, καὶ βότας βούτας παρ' Εὐριπίδῃ, καὶ κόρος κοῦρος ὁ νέος, καὶ ὀλομένη οὐλομένη, καὶ ὄρος οὖρος, περιορισμὸς, καὶ γόνος γούνος ὁ γόνιμος τόπος, οὕτω καὶ νόσος νοῦσος κατὰ τοὺς Ἴωνας μηκύνοντας τὸ ο τῇ προσλήψει τοῦ ῡ, οὗπερ ἀνάπαλιν οἱ Βοιωτοὶ ποιοῦσι κατὰ τὴν Ἡρακλείδου παράδοσιν προστιθέντες αὐτοὶ τῷ ῡ διχρόνῳ τὸ μικρὸν, καὶ βραχυνομένου μὲν φησι βραχύνοντες, μηκυνομένου δὲ μηκύνοντες, τὸ ὕλη οὖλη λέγοντες, καὶ τὸ ὕδες οὖδες.

Νόστος γίνεται πλεονάσαντος τοῦ σ, πρὸς διαστολὴν τοῦ νότος ὁ ἄνεμος.

Νῶ. ἅπαξ ἐχρήσατο ταύτῃ τῇ λέξει ὁ ποιητής. οἷον, πρίν γ' ἐπὶ νῶ τῷδ' ἀνδρί. ὁ νοῦς, πρὶν ἡμᾶς ἐπὶ τούτῳ τῷ ἀνδρί. ὅτι τῷ νῶ καὶ σφῶ σὺν τῷ ῑ τινὲς γράφουσι, λέγοντες ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γεγονέναι κατὰ συναίρεσιν τοῦ ω καὶ ῑ εἰς τὸ ῳ διφθογγον. ἀλλ' ἡ παράδοσις οὐκ οἶδε τὸ ῑ. ἕτεροι δὲ λέγουσι νῶϊ καὶ σφῶϊ κατὰ ἀποκοπὴν γεγονέναι νῶ καὶ σφῶ χωρὶς τοῦ ῑ. ἀλλ' εἰ ἀπὸ τοῦ σφῶϊ καὶ νῶϊ γεγόνασιν, ὤφειλεν ἔχειν τὴν περισπωμένην τάσιν, ἐπειδὴ τὸ νῶϊ καὶ σφῶϊ περισπᾶται, ὥσπερ τὸ κυκεῶνα μετὰ τὸ ἀποκοπῆναι ἐφύλαξεν τὴν περισπωμένην τάσιν. ἄλλοι δὲ λέγουσιν οὔτε τὸ νῶ γεγονέναι ἀπὸ τοῦ νῶϊ, οὔτε τὸ σφῶ ἀπὸ τοῦ σφῶϊ, ἀλλὰ καὶ

τούτων ἕτερον θέμα ἐστὶ, κἀκείνων ἕτερα θέματα. λέγει δὲ ὁ τεχνικὸς ὅτι ἀπὸ τῶν νῶϊ καὶ σφῶϊ δυϊκῶν ἀντωνυμιῶν γεγόνασι νὼ καὶ σφὼ κατὰ ἀποκοπὴν τοῦ ῑ καὶ ὀξύνεται ἀναλόγως. καὶ γὰρ τὸ ἐν τοῖς πτωτικοῖς ω̄ ἀπέστραπται τὴν περισπωμένην, οἷον τὼ σοφὼ, τὼ καλὼ, οὕτως εἶναι καὶ νώ καὶ σφὼ ὀξυτόνως. διὰ τί δὲ νῶϊ καὶ σφῶϊ δυϊκαὶ ἀντωνυμίαι ἀποκόπτονται καὶ νὼ καὶ σφὼ γίνεται; ὅτι οὐδέποτε ἐν τοῖς πτωτικοῖς τὸ ω̄ εὑρίσκεται πρὸ τοῦ ῑ προπε-
105b ρισπώμενον, ἀλλ' ἢ προπαροξύτονον, ὡς τὸ Μίνωϊ καὶ ἥρωϊ, ἢ ὀξύτονον, ὡς ἐπὶ τοῦ Τρωΐ καὶ δμωΐ. ἐπεὶ οὖν αὗται αἱ νῶϊ καὶ σφῶϊ ἀντωνυμίαι εὑρέθησαν προπερισπώμεναι, διὰ τοῦτο πάσχουσιν ἀποκοπὴν, ἵνα διὰ τῆς ἀποκοπῆς ἐξαμαυρωθῇ ἡ πα-
15ράλογος τάσις. πρόσκειται ἐν τοῖς πτωτικοῖς, ἐπειδὴ τὸ πρωΐ καὶ πρῶϊ λέγουσιν οἱ ποιηταί. τὸ ἰδρῶτι οὐκ ἀντίκειται ἡμῖν, ἐπεὶ οὐκ ἔχει τὸ ω̄ πρὸ τοῦ ῑ, ἀλλὰ πρὸ τοῦ τ.

Νώμησαν. ἀπὸ τοῦ ὤμος ἡ μεταφορὰ, καὶ μῶ,
20νομῶ νώμησαν τουτέστι διεμέρισαν, διέδωκαν. νωμῶ νωμήσω. γράφεται δὲ τὸ νω μέγα. τὰ γὰρ εἰς ω̄ λήγοντα ῥήματα δισύλλαβα κατὰ τροπὴν τοῦ ε̄ εἰς ω̄ ἐκ βαρυτόνων εἰς περισπώμενα μετηγμένα διὰ τοῦ ω̄ μεγάλου γράφεται, καὶ εἰ μὲν διὰ καθαροῦ τοῦ ω̄
25ἐκφέρεται, βαρύτονα, ζέω ζώω, χέω χόω, ῥέω ῥώω, πλέω πλώω, τρέω τρώω· εἰ δὲ μετὰ συμφώνου, περισπῶνται, οἷον στρέφω στρωφῶ, νέμω νωμῶ. γίνεται γὰρ ἐν τούτοις τροπῇ τοῦ ε̄ εἰς ο̄ καὶ ἐκτάσει τοῦ ο̄ εἰς ω̄. οὐ πάντα δὲ τὰ περισπώμενα μεγαλογραφεῖ-
30ται. ἔστι γὰρ καὶ δομῶ καὶ πολῶ καὶ σοβῶ καὶ ἕτερα, ἀλλὰ τὰ τῶν τῆς πρώτης συζυγίας περισπωμένων μικρογραφεῖται, τὰ τῆς δευτέρας δὲ διὰ τοῦ ω̄ μεγάλου γράφεται.

Νώνυμος. ἄνευ ὕμνων καὶ εὐφημίας. παρὰ τὸ
35νω στερητικὸν καὶ τὸ ὕμνος, ἢ τὸ ὄνομα νώνομος,

καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ō εἰς ῡ νάνυμος, ὡς κοπρώνυμος, μεγαλώνυμος.

Νώροπα. λαμπρὸν, παρὰ τὸ νω̄ στερητικὸν καὶ τὸ ὄψ γέγονε νώροψ, ὁ μὴ ἐῶν εἰς αὐτὸν ἀφορᾶν τὴν ὄψιν διὰ τὸ ἄγαν λαμπρόν. ἀμαυροῖ γὰρ τὴν ὄψιν τὸ πάνυ λαμπρόν.

Νώσατο. ἐπέγνω. νοήσατο, καὶ κράσει τοῦ ō καὶ η̄ εἰς ω̄ μέγα νώσατο.

Νώσω. ἰστέον ὅτι ὥσπερ ἐν τῷ νοῶ νοήσω καὶ κράσει νώσω καὶ πλεονασμῷ τοῦ κ̄ νώσκω, καταρχὰς προτίθεται τὸ γ̄ καὶ γίνεται γνώσκω καὶ κατὰ ἀναδιπλασιασμὸν γιγνώσκω, κατὰ δὲ ὅμοιον πλεονασμὸν καὶ τὸ γίνεται γίγνεται ποιεῖται, καὶ ἡ σύνοια ξύγνοια, ὃ δηλοῖ τὴν συγνώμην, καὶ ὁ δοῦπος γδοῦπος, ὅθεν καὶ ῥῆμα γδουπέω γδουπήσω, ἐν τοῖς ἑξῆς, ἔτι δὲ καὶ ἐρίγδουπος, ὥσπερ καὶ γνόφος παρὰ τὸ νείφω. οὕτω καὶ τὸ μὴ νοεῖν ἀγνοεῖν. αὐτὸ δὲ πλεονασμῷ τοῦ ῑ̄ καὶ ἀγνοιεῖν λέγεται πρὸς εὐχρηστίαν μέτρου, οἷον, οὐδέμην ἦρι ἠγνοίησεν. 106 a

Νῷν, σφῷν, σὺν τῷ ῑ̄. ἀπὸ γὰρ νῶϊν καὶ σφῶϊν γίνεται κατὰ συναίρεσιν τοῦ ω̄ καὶ ῑ̄ εἰς τὴν ῳ̄ δίφθογγον, ἄλλως τε καὶ πᾶσα δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ῑ̄ θέλει ἔχειν. δεῖ δὲ γινώσκειν ὅτι Ἀρίσταρχος τὸ οὐ γὰρ σφῶν ἀπόλωλε τοκήων χωρὶς τοῦ ῑ̄ ἀξιοῖ γράφεσθαι, λέγων ὅτι γ' προσώπου ἐστὶ πληθυντικοῦ ἡμῶν ὑμῶν σφῶν, ἀντὶ δευτέρου δυϊκοῦ. ἀντὶ γὰρ τοῦ σφῶϊν κεῖται. ἀλλ' ἔστιν εἰπεῖν ὅτι χωρὶς τοῦ ῑ̄ γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ ποιητὴς, εἰ μὴ κατὰ διάλυσιν, οἷον τοῖν τοῖϊν, ὥμοιν ὥμοιϊν, ἀλλήλοιν ἀλληλοιϊν. εἰ οὖν τὸ ῑ̄ ἔχει, ἔμελλε κατὰ διάλυσιν εἶναι.

Νὼ καὶ σφὼ ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γεγόνασιν ἀποβολῇ τοῦ ῑ̄, καὶ ὅτι οὐ περισπῶνται διὰ τὴν ἀποκοπὴν κατὰ τὸ ἱδρῶτα ἱδρῶ, δῶμα δῶ, ἀλλ' ὀξύνον-

ται ἀναλόγως ὡς δυϊκά. καὶ ὅτι ἀναγκαίως ἀπεκδπη τὸ νὼ καὶ τὸ σφὼ ἐκ τοῦ νῶϊ καὶ τοῦ σφῶϊ. οὐδέποτε γάρ φασι τὸ ῶ κείμενον πρὸ καθαρεύοντος τοῦ ῑ περισπᾶται, ἀλλ' ἢ ὀξύνεται, ὡς ἐν τῷ πρωΐ καὶ δδμωΐ, ἢ προπαροξύνεται, ὡς ἐν τῷ ἤρωϊ, Μίνωϊ. διὸ καὶ ἐν τῷ νῶϊν καὶ σφῶϊν, ἐπειδὴ καὶ τὸ ω προκείμενον τοῦ ῑ περισπᾶται, ἐπενοήθη συναίρεσις τοῦ νᾶν καὶ σφᾶν πρὸς ἀποφυγὴν παραλόγου, οἷον, οὐ γὰρ σφᾶν γένος ἀπόλωλε τοκήων, τὸ ἐν Ὀδυσσείᾳ κείμενον.

Νωτοπλῆγα οἱ παλαιοὶ ῥήτορες τὸν μαστιγίαν φασί.

Νώροπα δὲ λέγει τὸν χαλκὸν ἤγουν τὸν λαμπρὸν καὶ στερίσκοντα τοῦ ὁρᾶν, οἷα δυσωπουμένης τῆς ὄψεως πρὸς τὴν λαμπρότητα. ἔστι γὰρ στερητικὸν μὲν τὸ νω, ὁρᾶν δὲ τὸ βλέπειν, ἐξ οὗ ὁ νώροψ. ἢ ἐκ τοῦ νω καὶ ὄψ, ὡς προείρηται.

Ξ.

106b Ξανθὸς ὅτι ἐκ τοῦ ἄνθος γίνεται πλεονασμῷ τοῦ ξ, δηλοῦσιν οἱ παλαιοὶ, ἵνα ᾖ ξανθὴ κόμη ἡ ἀνθηρά. δύναται δὲ καὶ ἀπὸ τοῦ ἐξανθεῖν εἶναι, ἀπελεύσει τοῦ κατ' ἀρχὴν ε.

Ξεῖνος. ὥσπερ ἀπὸ τοῦ κενὸς γίνεται κεινὸς, οὕτως καὶ παρὰ τὸ ξένος ξεῖνος.

Ξερὸν συνέσταλται ἐκ τοῦ ξηροῦ. τοιοῦτον δὲ καὶ τὸ νοσηρὸν νοσερόν. εὕρηται γὰρ διχῶς.

Ξυνέηκεν ἀόριστος πρῶτος, ἴημι ἴσω, ὁ ἀόριστος ἧκα συνῆκα καὶ ξυνήκα καὶ ξυνῆκε τῷ πλεονασμῷ τοῦ ε ἀττικῶς ξυνέηκεν. οἱ δὲ Ἀττικοὶ τὸ συν ξυν λέγουσιν.

Ξυνήϊα παρὰ τὸ ξυνὸς τὸ κτητικὸν ξύνειον, ὡς κυνὸς κύνειον, καὶ διαιρέσει ἰωνικῇ ξυνέϊον, καὶ τροπῇ τοῦ ε εἰς η ξυνήϊον, ἡ εὐθεῖα τῶν πληθυντικῶν ξυνήϊα.

Ξύνιον. ξυνίω ἐξύνιον καὶ ἰωνικῶς ξύνιον, ἢ ξυνίεσαν καὶ συγκοπῇ ξύνιον. σημαίνει δὲ τὸ ἐπείθοντο καὶ ὑπήκοον. κακῶς δὲ συνιῶ συνίουν, ὁ ἀόριστος δεύτερος σύνιον καὶ ξύνιον. οὕτως οἶμαι ξυνὸς παρὰ τὸ συνιέναι τινὶ, ἢ παρὰ τὴν ξύν πρόθεσιν παρῆκται.

Ξυστὸς, ὁ εὖ ἐξυσμένος καὶ ὁμαλὸς τόπος. σημαίνει δὲ καὶ δόρυ. *νύσσοντες ξυστοῖσι.* διὰ τί ὡς λύω λυτὸς μὴ καὶ ξύω ξυτός; ἀλλὰ οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, ἀλλ' ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου γίνεται, ἀπὸ μὲν τοῦ λέλυται λυτὸς, ἀπὸ δὲ τοῦ ἔξυσται ξυστός.

Ξυνεδεδέατο. συνδεδεμένοι ἦσαν. δέω, ὁ παθητικὸς ὑπερσυντέλικος ἐδεδέμην ἐδέδεντο καὶ ἐδεδέατο, καὶ μετὰ τῆς ξύν προθέσεως ξυνεδεδέατο. οὐχ ὡς τινες δὲ ἀπὸ τοῦ δῶ δήσω ἐδέδητο, καὶ ἀκῶς ἐδεδέατο, ὡς ἐπεποίητο ἐπεποιέατο, ἀλλὰ ἀπὸ τοῦ ἐδέδεντο καὶ ἰωνικῶς τροπῇ τοῦ ν̄ εἰς ᾱ ἐδεδέατο.

Ξυνάρασθαι. ξυναρμόσασθαι, καταθέσθαι, 107 a
ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω.

Ξυνερῥώγη. ξυνερράγη, διελύθη. ῥήσσω ῥήξω ἔρρηγα, ὁ μέσος παρακείμενος ἔρρωγα, ὁ ὑπερσυντέλικος ἐρρήγειν ἐρρήγει, καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ ξυνερρώγη.

Ξυνήϊα δηλοῖ μὲν τὰ κοινὰ, καὶ διὰ τοῦτο ἅλλως μὲν εἰπεῖν ἄδαστα, δριμέως δὲ κατά τινα παλαιὸν ἄληκτα ἤγουν μήπω εἰς λάχος ἐλθόντα, ὥστε λαχεῖν τίς ἐστι εἰς κλῆρον. γίνεται δὲ ἢ ἀπὸ τοῦ ξυνὸς ὁ κοινὸς, οἷον ξυνὸς ἐνυάλιος, οὗ κτητικὸν ξύνειος, ὡς ἡμετάρειος, καὶ διαλύσει καὶ ἐκτάσει οὐδέτερον αὐτοῦ τὸ ξυνήϊον, ἢ καὶ ἄλλως ὡς ξεῖνος ξείνιον, καὶ πλεονασμῷ ξεινήϊον, οὕτω ξυνὸς ξύνιον καὶ ξυνήϊον.

Ξυμβλήμεναι τὸ πλησιάσαι καὶ συμμίξαι.

Ο.

Ὄαροι αἱ γυναῖκες, οἷον ὀαρέων ἕνεκα σφετεράων, οἱονεὶ ὁμόαροί τινες οὖσαι, παρὰ τὸ ὁμοῦ ἀρηρέναι καὶ συνηρμόσθαι γάμῳ. ἐξ αὐτοῦ καὶ τὸ ὀαρίζειν.

Ὄγμος δὲ ὁ προαροτριαθεὶς τόπος καὶ ἀνοιγεὶς ἑλκυσμῷ ἀρότρου, ὡς ἀπὸ τοῦ οἴγω οἴγμος καὶ ὄγμος κατὰ τοὺς παλαιούς, ἢ ἐκ τοῦ ἕλκω ὅλγμος, καὶ ἀποβολῇ τοῦ λ̄ ὄγμος. ἢ καὶ ἀπὸ τοῦ ἄγω ἄγμος καὶ ὄγμος ἡ ἐπίστιχος ἀγωγή. σημαίνει γάρ φασι ἐπίστιχον καὶ αὐλακώδη φυτείαν. βαρύνεται δὲ κανόνι τοιούτῳ· τὰ εἰς ος̄ λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο̄ καὶ ἔχοντα δύο σύμφωνα βαρύνεται, ὄκνος, ὄμβρος, ὄσσος, ὄρθρος, ὄρφνος, ὄλβος. οὕτω γοῦν ἡ ὄγμος.

Ὀδὰξ τοῖς ὀδοῦσι λαβέσθαι τινός. Ὅμηρος, ὀδὰξ λαζοίατο γαῖαν, ἀντὶ τοῖς ὀδοῦσι τὴν γῆν δάκοιεν. τοῦτο δὲ συμβαίνει αὐτοῖς ὀδυνωμένοις. δάκω δάξω καὶ πλεονασμῷ κατ' ἀρχὰς τοῦ ο̄, ὡς σταφὶς ἄσταφις, καὶ ἀποβολῇ τοῦ ω̄ μεγάλου ὀδάξ.

107b Ὁδὸς παρὰ τὸ ἕω τὸ πέμπω, ἑδὸς καὶ ὁδός, ὡς σβέω σβεδὸς καὶ σποδός. τὸ δὲ οὐδὸς πλεονασμῷ τοῦ ῡ.

Ὀδυνάσαι. ὀδυνάω ὀδυνῶ ὀδυνάομαι ὀδυνῶμαι ὀδυνᾶται, τὸ τρίτον τροπῇ τοῦ τ̄ εἰς σ̄ ἰωνικῶς ὀδυνᾶσαι.

Ὄδωδα. ἔστιν ὄζω, ἀλλὰ καὶ ὀζῶ περισπώμενον, ὅθεν τὸ προσώξεσαν, ὥσπερ πιέζω πιεζῶ. ἐκ τοῦ ὄζω οὖν ὅσω ὁ μέλλων, ὁ παρακείμενος ὦκα, ὁ μέσος ὦδα, καὶ ἀττικῶς ὄδωδα. ἢ ἐκ τοῦ ὀδῶ ὀδώσω ὤδηκα, ὁ μέσος ὦδα.

Ὀδὰξ λάζεσθαι τὴν γῆν, ἤγουν λαμβάνεσθαι τῆς γῆς, ἀπὸ τοῦ δάκω δάξω δάξ. ἢ καὶ ὡς λήγω λήξω λὴξ καὶ λὰξ, οὕτω καὶ δήκω δήξω δὴξ καὶ δὰξ

καὶ κατὰ πλεονασμὸν ὀδάξ. δηλοῖ δὲ τὸ δάκνειν τὴν γῆν τοὺς πεφονευμένους ἐν τῷ σφαδάζειν.

Ὀδώδη μέσου ὑπερσυντελίκου τὸ κανόνισμα τοιοῦτον· ὀζῶ ὀζήσω παρὰ τῷ κωμικῷ ἐν Σφηξὶν οὐ καὶ ἄλλως ὀξέσω. χρῆσις κοινὴ πρὸς ὁμοιότητα τοῦ αἰνῶ αἰνήσω καὶ αἰνέσω καὶ τῶν ὁμοίων. ὀζῶ οὖν ὀζήσω, ὁ παρακείμενος ὤζηκα ἐνεργητικὸς καὶ μέσος ὤζα δισυλλάβως. ἐν γὰρ τοῖς περισπωμένοις ῥήμασι μιᾷ συλλαβῇ ἐνδεῖ τοῦ ἐνεργητικοῦ παρακειμένου ὁ μέσος, οἷον ὀλῶ ὀλέσω ὤλεκα, ὅθεν ἀττικὸν ὄλωλα. ὤζηκα τοίνυν, ὁ μέσος ὤζα καὶ ἀττικῶς ὄζωζα, καὶ τροπῇ δωρικῇ τῶν δύο ξξ εἰς δύο δδ, ὡς καὶ ἑτέρωθι δηλοῦται, ὄδωδα, ὁ ὑπερσυντέλικος ὠζώζει καὶ ὠδώδει μετὰ δύο ἀττικῶς αὐξήσεων καὶ ἰωνικῶς ὀδώδει συστολῇ τῆς ἀρχούσης. τοιοῦτον δὲ καὶ μετ' ὀλίγα τὸ ὀρώρει. ὀρῶ γὰρ τὸ διεγείρω, ὁ μέλλων ὀρήσω, ἐξ οὗ ὤρηκα, ὁ μέσος ὦρα καὶ ἀττικῶς ὄρωρα, ὃς ὑπερθέσει χρονικῇ γίνεται ὤρορα, ὑπερσυντέλικος κοινὸς ὠρώρειν καὶ ἰωνικῶς ὀρώρειν, οὗ τρίτον ὀρώρει δ' οὐρανόθεν νύξ. δῆλον δ' ὅτι οὐ μόνον ταπειvοῦνται μυριαχοῦ χρονικαὶ αὐξήσεις ἰωνικῶς, ἀλλὰ καὶ ἐκ βραχέων μηκύνονται ἀττικῶς, ὡς ἐν τῷ ἠβουλόμην ἠδυνάμην ἤμελλον, ἤδη δὲ καὶ ἐν τῷ διοκόνουν, εἰ καὶ ἄλλως αὐτὸ ἐκ τοῦ διαεκόνουν κεκράσθαι δοκεῖ.

Οἶμα ὅρμημα ἀπὸ τοῦ οἰμῶ τὸ ὁρμῶ, οἰμήσω 108 a οἴμημα καὶ συγκοπῇ οἶμα.

Οἶμαι. οἴω τὸ ὑπολαμβάνω οἶομαι καὶ συγκοπῇ οἶμαι.

Οἷο, τοῦ ἰδίου. ὃς, οὗ, ἰωνικῶς οἷο. οἱ γὰρ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς τῆς εἰς ος εὐθείας γενικὰς διὰ τοῦ οιο προφέρουσιν.

Οἷος ὁ μόνος καὶ οἷα ἡ μόνη. παρὰ τὸ ἷος, ὃ σημαίνει τὸ αὐτὸ, καὶ πλεονασμῷ τοῦ ο οἷος καὶ οἷα θηλυκὸν, ὡς τὸ παιδίσκη οἷα θᾶττον προσελθοῦσα θροήσειε.

Οἴοθεν. οἷος ἀντίβιον μαχέσασθαι ἐκ μόνου μόνος, νυνὶ δὲ μόνος πρὸ μόνου.

Οἴσετε ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ. ἔστι γὰρ οἴσω μέλλων, καὶ μετὰ ταῦτα εἰς ἐνεστῶτα τοῦτο μεταγόμενον μέλλοντα οὐκ ἔχει. τὰ γὰρ ποιητικῶς ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα ἄχρι τοῦ παρατατικοῦ κλίνεται. τοῦτο τὸ προστακτικὸν οἶσε, τὸ τρίτον οἰσέτω, οἴσετε ἀντὶ ἄγετε.

Οἶσθα γινώσκεις. εἶδω γινώσκω, ὁ μέσος παρακείμενος οἶδα, ᾗ διὰ τοῦ ο καὶ ι. εἰ μέντοι ἐν δισυλλάβῳ τὸ ε εὑρεθῇ ᾗ μόνον ᾗ μετὰ τοῦ ι, τρέπεται εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ, ᾗ διὰ τῆς ει διφθόγγου. εἰ γὰρ ει δίφθογγος ἐπειδὰν ἄρχηται ἀπὸ τοῦ ἐνεστῶτος ἄτρεπτος καὶ ἐν τοῖς παρῳχημένοις τηρεῖται. εἶδα οὖν διαλύσει ἔϊδα, ὡς εἶκα ἔϊκα, καὶ τροπῇ αἰολικῇ τοῦ ε εἰς ο οἶδα. τὸ δεύτερον οἶδας προσχηματισμῷ τῆς θα συλλαβῆς ἀττικῶς οἴδασθα, συγκοπῇ αἰολικῇ οἶσθα. ᾗ οὕτως. ἔστιν εἶδω τὸ γινώσκω βαρύτονον καὶ εἰδῶ περισπώμενον καὶ παράγωγον εἴδημι, τὸ δεύτερον ἤδης καὶ μετὰ τῆς θα εἴδησθα καὶ οἶσθα. τὸ δὲ οἶδα ὥσπερ ἀπὸ τοῦ εἶκω γίνεται ἐοίκα, οὕτω καὶ ἀπὸ τοῦ εἶδω τοῦ σημαίνοντος τὸ γινώσκω, ὁ μέσος παρακείμενος εἶδα καὶ διαλύσει ἔϊδα καὶ οἶδα, ᾗ τροπῇ αἰολικῇ τοῦ ε εἰς ο καὶ ἐπεκτάσει τῆς ε, ὡς ὁρῶ ἑορῶ, ὠνῶ, ᾗ πλεονασμῷ τοῦ ο. τὸ μέντοι σύνοιδα αἰολικόν ἐστι καθὸ τὸν τόνον ἀναβιβάξει. ἔδει γὰρ ὡς εἶκα συνεῖκα, οὕτως καὶ οἶδα συνοῖδα εἶναι.

Ὁΐων τῶν προβάτων. Ἀρίσταρχος δισυλλάβως οἰῶν λέγει ὡς αἰγῶν. ὁ δὲ Ἀσκαλωνίτης Πτολεμαῖος λέγει, ᾗ εὐθεῖα μόνη ἐστὶν εἰς οἷς, αἱ δὲ λοιπαὶ πλαγίαι πτώσεις κατὰ διάστασιν. διαμαρτάνουσι δὲ ἀμφότεροι. οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν, ἀλλὰ δισυλλάβως, οἷον τοῖσι δ' ὅϊς λάσιος. καὶ τὰς πλαγίας κατὰ διάστασιν λέγει, οἷον

νῶτον ἔθηκ' ὄϊος, καὶ ἠδ' ἀπάνευθεν ὄϊν, καὶ μῆλ' ὄϊες τε καὶ αἶγες. εἰ δὲ κωλύει μέτρον, οὐ κατὰ διάστασιν λέγει, οἷον οἰὸς ἀώτῳ, ἄλλως τε ὅτι τὸ ὄϊς δισύλλαβον ἀναλογώτερόν ἐστι τοῦ μονοσυλλάβου. πολλὰ γάρ ἐστιν εἰς ις λήγοντα ἐπ' εὐθείας εὑρεῖν, οὐδὲν δὲ εἰς οις, εἰ μὴ μόνον τὸ οἷς καὶ φθοῖς ἀττικῶς.

Οἴζυρὸς τοιαύτην ἔχει παραγωγήν, ὥσπερ παρὰ τὸ αι ἐπιῤῥήμα γίνεται αἰάζω καὶ παρὰ τὸ ω ὤζω ἐν Αἰσχύλῳ, ἐξ οὗ τὸ οἰμώζω, οὕτω παρὰ τὸ οι οἴζω, ἐξ οὗ παράγωγον οἰζύω, καὶ κατὰ διάλυσιν ὀΐζύω, ὡς τὸ ἀλλ' ἄγε δὴ περὶ ἐκεῖνον ὄΐζυε, ἐξ οὗ ὀΐζὺς ἡ ἀξία θρήνων κακοπάθεια καὶ ὀΐζυρὸς ὁ θρήνων ἐπάξιος.

Οἶκος. τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι ἀρχόμενα φιλεῖ βαρύνεσθαι, ὅτε πρὸ τῆς ος σύμφωνον ἢ σύμφωνα ὑπάρχει, οἷον οἶκος οἶτος οἶμος οἶκτος, τὸ δὲ Οἰὸς, δῆμος δέ ἐστιν Ἀττικῆς, ὀξυτόνως, οὐκ ἔχει σύμφωνον πρὸ τοῦ ος. ὁ δὲ ῥηθεὶς Οἰὸς ἔοικε καὶ Οἴη λέγεσθαι θηλυκῶς. διὸ καὶ ἐκ τοῦ τοιούτου δήμου Οἴηθεν ἐλέγετο εἶναι καθ' ὁμοιότητα τοῦ Ἀθήνηθεν καὶ Θήβηθεν. εἰ δὲ ἴσως ἄλλος δῆμός ἐστιν ὁ Οἰὸς, καὶ ἄλλος ἡ Οἴη, ζητητέον ἑτέρωθεν.

Οἶδα αἰολικῶς πεποιῆσθαι ὁ Ἡρακλείδης φησὶ, ὡς καὶ τὸ δέδοικα λέλοιπα πέποιθα. τὰ γὰρ κοινὰ τῇ διὰ τοῦ ε καὶ ι διφθόγγῳ παραλήγεσθαι, βούλονται.

Οἰνοβαρείων ἐκ τοῦ οἰνοβαρεῖν γίνεται παραχθὲν ὡς τὸ θείω, κιχείω καὶ τὰ τοιαῦτα. καὶ ἔστι σεσημειωμένον ὡς βαρύνεται μὲν τὸ οἰνοβαρείω, περισπᾶται δὲ παρὰ τοῖς ὕστερον τὸ καρηβαρειῶ. 109 a

Οἰδιπόδην σχηματίζων Ἡρωδιανὸς ἔνθα λέγει περὶ τοῦ φαινόλης φαινόλου, γενειόλης γενειόλου, παραδίδωσιν ὡς ἡ γενικὴ τοῦ οἰδίποδος μεταθέσει τῆς ος εἰς ης ποιεῖ τὸ οἰδιπόδης οἰδιπόδου, ὅπερ ὅμοιον τῷ τρίποδος τριπόδης, καὶ ἐκπόδης παρ' Ἡσιόδῳ.

Οἱ Ῥηγῖνοι καθ' Ἡρακλείδην τὰ τρίτα τῶν μὲν ὁριστικῶν περισπωμένων τῆς πρώτης συζυγίας καὶ τῶν βαρυτόνων δὲ ῥημάτων κατὰ τὸ ἐνικὸν εἰς τὴν σι συλλαβὴν περαιοῦσι τοῦ η παραλήγοντος. τὸ γὰρ φιλεῖ καὶ νοεῖ καὶ λέγει καὶ φέρει, φίλησί φησι καὶ νόησι καὶ λέγησι καὶ φέρησι. τοιοῦτον δὲ καὶ τὸ λαμπρὸν παμφαίνησι παρ' Ὁμήρῳ ἅπαξ φησὶ χρησαμένῳ τῇ διαλέκτῳ ἐπὶ τούτου. καλεῖται δὲ καὶ σχῆμα ἰβύκειον ὑπὸ τῶν γραμματικῶν διὰ τὸν μελοποιὸν δηλαδὴ Ἴβυκον φιληδήσαντα τοιαύτῃ γλώσσῃ. εἰ δή φησι καὶ τὸ ὦ τουτέστιν ὑπάρχω πρώτης ἐστὶ συζυγίας κατὰ τὸ φιλῶ, καὶ ἔστι τρίτον αὐτοῦ εἶ, δωριζόμενον κατὰ Ῥηγίνους, γένοιτ' ἂν ὁμοίῳ λόγῳ ἐκ τούτου ἦσιν ὁ ἐνεστώς. ἰστέον δὲ ὅτι οὐ περὶ τρίτων αὐθυποτάκτων ἐστὶν ὁ λόγος, ὁποῖον τὸ λάβη λάχη, ἐξ ὧν λάβησι λάχησιν. αὐτὰ γὰρ καὶ ὅσα τοιαῦτα οὐ Ῥηγίνων εἰσὶν, ἀλλὰ Ἰώνων.

Ὀκλαδιᾶν παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι. ἐκ δὲ τοῦ κλῶ κλάσω γίνεται ῥηματικὸν ὄνομα κλὰς καὶ δωρικῶς κλὰξ, καὶ πλεονασμῷ τοῦ ο, οἷον ὀκλὰξ, ὡς ὀδὰξ, καὶ ὀκλάξειν χωλεύει ἐπὶ γόνυ κάμπτεται.

Ὀγνείω. οὐκ ἔστιν πλεονασμός. λέγεται γὰρ ὅτι ἔστιν ὀκνῶ καὶ κατὰ Ἴωνας ὀκνέω καὶ πλεονασμῷ τοῦ ι. οὐκ ἔστιν δὲ οὕτως, ἀλλὰ κατὰ παραγωγὴν, ὡς βρώσω βρωσείω, θάλπω θαλπείω, ῥιγῶ ῥιγείω, οὕτως ὀκνῶ ὀκνείω. σημαίνει τὸ ῥαθυμῶ καὶ ἀμελῶ, καὶ τὸ δειλείω, ὅθεν καὶ ὁ θεολόγος ὀκνῶ γὰρ εἰπεῖν ἀντὶ τοῦ δέδοικα. 109b

Ὀλέκοντο. ἀπώλλοντο. παρὰ τοῖς Ἴωσιν ἄρχεται ἀπὸ τοῦ ο καὶ ἔχει πάθος καὶ διάλεκτον. γίνεται δὲ παρὰ τὸν μέλλοντα προσόδῳ τοῦ κ παράγωγα ῥήματα. ἔστιν οὖν ὀλῶ ὀλέσω ὀλέσκω, ὡς ἔω ἔσω ἔσκω, καὶ ἐνδείᾳ τοῦ σ ὀλέκω, οὗ ὁ παρακείμενος ὤλεκα, ὁ παθητικὸς παρατατικὸς ὠλεκόμην ὠλέκοντο καὶ ια-

κῶς ὀλέκοντο. ἕτερα δὲ αὐτοῦ κινήματα οὐκ εἰσὶν. οὐ γὰρ ποιεῖ τὰ τοιαῦτα μέλλοντα.

Ὄληαι Τυραννίων προπερισπᾷ καὶ τὸ ῑ προσγράφει, οἰόμενος παρέλκον τὴν ται, οὕτως καὶ ἐπὶ τοῦ πρώτου ἐπαύρηαι. ἔστι δὲ μέσος ἀόριστος πρῶτος καὶ οὐ περισπᾶται, οὐδὲ προσγράφεται τὸ ῑ. τὸ μέντοι ὄρηαι, οἷον αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρηαι, ἐκ τοῦ ὄρεαι γίνεται ἐνεστῶτος, ὡς ἀπὸ τῆς πρώτης συζυγίας κατ' ἔκτασιν, ὡς δίζεαι δίζηαι. λέγουσι γὰρ οἱ Ἴωνες ὀρέω, καὶ ἀπὸ τῆς πρώτης συζυγίας, ὤρεον ὅμιλον.

Ὀλιγοδρανέων. ὀλίγον ἰσχύων. δραίνειν γὰρ τὸ ἰσχύειν.

Ὄλισθος παρὰ τὸ ὀλοσθένειν, ἢ παρὰ τὸ ὅλος καὶ τὸ ἵζω τὸ καθέζομαι, ὁ ὅλος καταπίπτων, καὶ ῥῆμα ὀλισθῶ ὀλισθήσω. ἐκ δὲ τοῦ ὀλισθῶ παράγωγον ὀλισθαίνω, ὡς φῶ φαίνω.

Ὀλλύω οἱ μὲν παρὰ τὸ ὁλῶ ὀλλύω, πλεονασμῷ τοῦ λ̄, οἱ δὲ παρὰ τὸ ὄλλω ὀλλύω. τὰ δὲ διὰ τοῦ νω ποιοῦντα εἰς μι παράγωγα, εἰ μὲν ὦσιν ὑπὲρ δύο συλλαβὰς, ἄχρι τοῦ παρατατικοῦ κλίνεται· εἰ δὲ δισύλλαβα, καὶ μετὰ τὸν παρατατικόν.

Ὀλοώτερος ἐκ τοῦ ὀλοός. ἔστι δὲ συγκριτικὸν ἀντὶ ἁπλοῦ. τὸ γὰρ δικαιότερον καὶ ὀλοώτερον συγκριτικὰ ὄντα τύπου ἀντὶ ἁπλῶν λαμβάνεται τῷ ποιητῇ.

Ὀλοφυρόμενος. κλαίων, ἀποδυρόμενος. κυρίως μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν, παρὰ τὸ ὅλως φύρειν ἑαυτόν.

Ὀλοφώϊα. ὀλέθρια, παρὰ τοὺς φῶτας ὀλλύειν.

Ὄλυμπος. ἔοικε μὲν ἐκ τοῦ ὀλόλαμπος συν- 110a κοπῆναι ἡ λα συλλαβὴ, τραπῆναι δὲ τὸ δεύτερον ο̄ εἰς ῡ αἰολικῶς, ὡς τὸ ὄνομα ὄννυμα, ἐξ οὗ καὶ τὸ ὀνυμαίνω καὶ τὸ νώνυμος καὶ τὰ τοιαῦτα. διὸ καὶ ψιλοῦται τὸ ὄλυμπος. ψιλωτικοὶ γὰρ οἱ Αἰολεῖς.

Ὀλέεσκον πλεονασμὸν ἔχει τοῦ ε̄ τοῦ ἐν τῇ παραληγούσῃ.

Ὀλίγον ὀλίζον καθ' Ἡρακλείδην Ἴωνές φασι οἱ νεώτεροι τὸ ζ̄ ἀντὶ τοῦ γ̄ χρώμενοι, καὶ τὸ μὲν φύγω βφύζω λέγοντες, τὸ δὲ πέφυγα καὶ πεφυγὼς πέφυζα καὶ πεφυζώς. ἐρεῖ δὲ τίς φησι οὕτω καὶ ἐκ τοῦ φυγῶ φυγήσω πεφυγηκότες γενέσθαι καὶ πεφυζότες ἐξαιρεθείσης τῆς μέσης συλλαβῆς καὶ τοῦ γ̄ τραπέντος εἰς ξ̄, ὃ γίνεται καὶ ἐν τῷ φυγὴ φύζα, ὅθεν φυζινός φησι, ὁ δειλὸς, εἶτα φυζακηνὸς, ὡς λεπτὸς λεπτινὸς λεπτακινός.

Ὅμηρος παρὰ τὸ ὁρῶ καὶ τὴν μὴ ἀπαγόρευσιν μήορος καὶ ὑπερθέσει ὅμηρος. ἢ παρὰ τὸ πηρὸς ὁ τυφλὸς ὁπηρὸς καὶ ὅμηρος καὶ ὁμηρίδης γένος τί. Πλούταρχος δὲ ἄλλως λέγει ἐν τῷ βίῳ αὐτοῦ.

Ὁμήγυρις πλῆθος, ἄθροισμα. παρὰ τὸ ὁμοῦ καὶ τὸ ἄγυρις ἡ ἄθροισις ὁμοάγυρις καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ᾱ εἰς ῆ ὁμήγυρις.

Ὁμηγερέες ἐπίῤῥημα ἀθροίσεως παρὰ τὸ ὁμοῦ καὶ τὸ ἀγείρω τὸ συναθροίζω ὁμοαγειρὴς ὁμοαγειρέος, τὸ πληθυντικὸν ὁμοαγειρέες συστολῇ τοῦ ῑ̄ καὶ συγκοπῇ καὶ τροπῇ ὁμηγερέες, καὶ λαμβάνεται εἰς ἐπίῤῥημα ὥσπερ τὸ ἀολλέες.

Ὁμιλαδὸν κατὰ ἴλας καὶ συστροφὰς, ἢ ἀθροίσματα.

Ὁμοκλὴ ἡ ἀπειλή. ὁμοκλητῆρος ἀκούων. σημαίνει δὲ τὸ ὁμοῦ ἐγκελεύσασθαι καὶ πλῆξαι, ὡς τὸ πεπλήγοντ' ἰμάσιν ὁμοκλήσαντ' ἐπέεσσιν. ὅταν δὲ λέγει, τὰ σκῆπτρα ἔλασκεν, ὁμοκλήσασκέν τε μύθῳ, ἀντὶ ἠπείλησε, γίνεται παρὰ τὸ κέλλω τὸ προστάσσω καὶ τὸ ὁμοῦ ὁμοκελὴ καὶ συγ- 110b κοπῇ ὁμοκλή. ἢ ἔστι ῥῆμα κλῶ τὸ φωνῶ καὶ λέγω, ἀπὸ τοῦ καλῶ συγκοπῇ γινόμενον. ἐκ γοῦν τοῦ ὁμοῦ καὶ τοῦ κλῶ ὁμοκλῶ τὸ μεθ' ὕβρεως ἀπειλῶ καὶ ὁμοκλὴ οἱονεὶ ἡ ὁμοῦ πᾶσι λεγομένη φωνὴ, οἷον μετὰ

δὲ Τρῴεσσι αὐτὸς ὠμόκλα, ἀντὶ τοῦ πᾶσιν ἐπεφώνει καὶ ἔλεγεν. ὅθεν καὶ τὸ ἐνικλᾶν. τοῦτο δὲ Ἀριστοφάνης ἀντὶ ἀντιλέγειν. τὴν γὰρ ἐν πρόθεσιν ἀντὶ τῆς ἀντί, οἷον τὸν σὸν ἐνστάτην λέγεις, ἀντὶ τοῦ ἀντιστάτην.

Ὡμοκλήσασκεν. ἐκ τοῦ ὁμοκλὴ ῥῆμα ὁμοκλῶ, ὁ ἀόριστος ὁμόκλησα, τὸ τρίτον ὁμόκλησε καὶ ὁμοκλήσασκεν. ἔλθωμεν δὲ καὶ διαλάβωμεν περὶ τῶν τοιούτων. ἰστέον ὅτι ταῦτα ἰωνικῶς γίνεται διὰ τοῦ σκ. ἀπὸ τῶν βαρυτόνων ὄντα ἔχουσι πρὸ τοῦ σκ τὸ ε, οἷον τύπτεσκε, λάβεσκε, λέγεσκεν, ἔσκε, ὑπεσταλμένου τοῦ ἀορίστου πρώτου, περὶ οὗ μέλλομεν εἰπεῖν. ὁμοίως δὲ καὶ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι τὸ ε ἔχουσι πρὸ τοῦ σκ, οἷον πολέεσκε, τίθεσκε. τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ παρατατικῷ μόνῳ ἔχει τὸ α ἀπὸ τοῦ σκ, οἷον βόασκε, γέλασκεν. ἐν δὲ τῷ δευτέρῳ ἀορίστῳ ἐὰν ὅλως γέγονε, τὸ ε ἔχει ἀπὸ τοῦ σκ, οἷον μυκῶ μυκήσω ἐμύκησα ἔμυκον μύκεσκε. τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι καὶ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ ἀορίστῳ πρώτῳ διὰ τοῦ ᾱ ἐκφέρονται, οἷον ἵστημι ἵστην ἔστην στάσκε. τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι διὰ τοῦ ō ἐκφέρονται, οἷον ἐχρύσουν ἐχρύσοσκεν, ἐδίδων ἐδίδοσκεν. τὰ δὲ τῆς τετάρτης συζυγίας τῶν εἰς μι συστέλλει τὸ δίχρονον μόνον ἀπὸ τοῦ σκ, οἷον ἐξεύγνυ ζεύγνυσκεν, ἔδυν ἔδυς ἔδυσκεν. ὁ δὲ ἀόριστος δεύτερος ἐπὶ τῶν βαρυτόνων καὶ περισπωμένων καὶ τῶν εἰς μι τὸ ᾱ ἔχει ἀπὸ τοῦ σκ, οἷον τλάσκε, γράψασκε, βοήσασκε, φήσασκε, πτήσασκε. καὶ τοῦτο εἰκότως. τὸ γὰρ κεχρεωστημένον ᾱ τῷ τρίτῳ προσώπῳ ἀνέσθη ἐνταῦθα. προερχομένου γὰρ τὸ σκ ἐν τῷ τρίτῳ προσώπῳ 111a τοῦ ἀορίστου οὐ ἔστιν ὁμόφωνον μετὰ ᾱ. ταῦτα δὲ οἱ Ἴωνες. οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις τῷ πρώτῳ προσώπῳ καὶ τῷ δευτέρῳ ποιοῦσιν, οἷον τύπτεσκον, χήρεσκον, τύπτεσκε, χήρεσκε. λέγει

δὲ Ἄμβρων ὅτι εἴ τι προσλάβωσι ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλουσι κατὰ τὴν ἀρχήν. καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκε, ἀποβάλλοντες καὶ τῆς ἀρχῆς καὶ προστιθέντων κατὰ τὸ τέλος. διὰ τοῦτο τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε̄ τῆς ἀρχῆς, ἐπειδὴ τὰ ποιητικὰ ἰωνικῶς ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι, οἷον ἔτυπτε, τύπτε δ' ἐπιστροφάδην, πρὸς τύπτων μετοχὴν, ἤψατο, ἅψατο δήμου, πρὸς τὴν ἅψας μετοχὴν, καὶ ἄκουσα πρὸς τὴν ἀκούσασα μετοχήν. διὰ τοῦτο δὲ εἶπον ταῖς ἰδίαις μετοχαῖς καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι, διὰ τὸ εἰπεσκεν. τοῦτο γὰρ τῇ εἰπὼν μετοχῇ συνέρχεται, οὐ μὴν τῷ ἐνεστῶτι. ἔπω γάρ ἐστιν ὁ ἐνεστώς.

Ὄμοσσον. ὀμνύω ἐνεστὼς, καὶ ὄμνυμι ὤμνυον παρατατικὸν, ὀμοῦμαι μέλλων, ὀμώμοκα παρακείμενος, ὤμοσα ἀόριστος, ἀφ' οὗ προστακτικὸν ὄμοσον, καὶ πλεονασμῷ τοῦ σ αἰολικῶς ὄμοσσον.

Ὀμόργνυ. ἀπεπίαξεν, ἀπέμασεν, ἀπὸ τοῦ ἀμέλγω, τροπῇ τοῦ ᾱ καὶ ε̄ εἰς ο̄, καὶ τοῦ λ̄ εἰς ρ̄, καὶ πλεονασμῷ τοῦ ν̄ ὁμόργνω καὶ ὁμοργνύω καὶ ὁμόργνυν ἀναυξήτως ἰωνικῶς ὁμόργνυ καὶ ὁμοργνὺς μετοχὴ, ἢ αὖτως ἀμέλγω, τροπῇ τοῦ ᾱ καὶ ε̄ εἰς ο̄ καὶ τοῦ λ̄ εἰς ρ̄ ὁμόργω, παραγώγως ὁμοργύω, ὡς ὄρω ὀρύω, καὶ πλεονασμῷ τοῦ ν̄ ὁμοργύνω, ὡς ὀρύνω, καὶ δύω δύνω, καὶ ὑπερθέσει ὁμοργνύω, ὡς ὀρνύω καὶ ἀχνύω, καὶ ὄρνυμι καὶ ἄχνυμι.

Ὁμώλακες. ὅμοροι, γειτνιάζοντες, οἱονεὶ ὁμοαύλακες. ὦλαξ γὰρ κατὰ Δωριεῖς ἡ αὖλαξ καὶ ὅμοροι οἱ αὐτοὶ, ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ὄρος ὁ ὁρισμός.

111b Ὁμωθῆναι. ὁμοιωθῆναι, οἰκειωθῆναι, εἰς ὁμόνοιαν ἐλθεῖν.

Ὀνείατα. ἐκ τοῦ ὀνέω τὸ ὠφελῶ πλεονασμῷ τοῦ ῑ, ὡς ἔδω ἔδαρ εἶδαρ καὶ ἔαρ εἶαρ.

Ὀνήμενος κοινότερον μὲν ἐκ τοῦ ὀνῶ ὄνημι παρῆκται, ὁμοίως τῷ διζῶ δίζημι, ὅθεν τὸ ἵππους

διξήμενος, καὶ τὸ φιλῶ φίλημι, ὅθεν τὸ φίλατο παρ' Ὁμήρῳ, καὶ τῷ αἰνῶ αἴνημι, ὡς τὸ οὐ μὲν ἔγωγε αἴνημι, καὶ ἄλλοις μυρίοις. ὁ δὲ Ἀλεξανδρεὺς Ἡρακλείδης καινήν τινα περιεργίαν ἑτεροίαν ὑποβάλλει, ἐν οἷς γράφει οὕτω· ὁ ἐνεργητικὸς παρατατικὸς ὅτε τὸ θεματικὸν ω̄ εἰς τὴν οῡ διφθογγον μεταθῇ, πλεονάζει τὸ ν̄ ἐπὶ τέλους, οἷον ἦχω ἦχουν, οἰκῶ ὤκουν, ὀκνῶ ὤκνουν. οὐκοῦν καὶ ἀπὸ τοῦ ῶ̄ ἐνεργητικοῦ ὑπαρκτικοῦ θέματος εἴη ἂν ὁ ἐνεργητικὸς παρατατικὸς οὖν ἀντὶ τοῦ ὑπῆρχον, καὶ παθητικῶς οὔμην, ἐξ ὧν αἰολικῶς ὁ ουν γέγονεν ἦν, καὶ ὁ οὔμην ἤμην. Αἰολεῖς γάρ φησι τὴν οῡ διφθογγον παρατέλευτον οὖσαν ἐν τοῖς τοιούτοις εἰς η̄ μετατιθέασι, οἳ καὶ τὸ ἐκαλούμην καὶ τὸ ἐνοούμην καὶ ὅσα ὅμοια τῆς πρώτης συζυγίας τῶν περισπωμένων, ἐκαλήμην καὶ ἐνοή-μην λέγουσι, καὶ ἐπὶ μετοχῶν καλήμενος καὶ νοήμενος μεταπιπτούσης τῆς ου διφθόγγου εἰς τὸ η̄. δίδωσι οὖν ὁ εἰρημένος Ἡρακλείδης καὶ ὀνήμενος Αἰολέων διαλέκτῳ ἀρχὴν εἶναι τὸ ὀνούμενος. δῆλον δὲ ὅτι ἐκ τοῦ ὡς ἐῤῥέθη ὤνημι καὶ τὸ ὤνητο διὰ τοῦ η̄ παρῄκται, καὶ τὸ ὤνατο καὶ τὸ ὤνασθαι καὶ ὠνάμην καὶ ὠνάμενος, καὶ εἴτι ἄλλο τοιοῦτον.

Ὄνονται φανερῶς βαρύτονον ὄν, ὡς ἀπὸ τοῦ ἐνεστῶτος τοῦ ὄνω, ὄνομαι, ὅθεν καὶ τὸ ὀνῶ ὀνόσω παράγωγον ῥῆμα καινότροπον, καὶ οὐ φύσει ὂν τρί-της συζυγίας τῶν περισπωμένων.

Ὀξυλαβῆσαι. ὀξέως λαβέσθαι πράγματος.

Ὄου ἄρθρον ὑποτακτικόν. τὸ δὲ ō οὐκ ἔστι πλεονασμὸς, ἀλλὰ διαίρεσις. τὰ γὰρ ἄρθρα εἰώθασι διαιρεῖσθαι, οὐ πλεονάζειν, οἷον ἧς ἕης, οὗ ὅου. διαίρεσις οὖν καὶ οὐ πλεονασμός. διδάσκει γὰρ καὶ ὁ τόνος αὐτός. ὁ γὰρ πλεονασμὸς τὸν οἰκεῖον τόνον 112a φυλάσσει, ἤνδανεν ἐήνδανεν, ὥρακα ἑώρακα. εἰ ἄρα οὖν τὸ ō κατὰ πλεονασμὸν ἐγένετο, ὤφειλεν εἶναι ὀοῦ περισπώμενον. οὐκ ἔστι τοίνυν πλεονασμὸς, ἀλλὰ

διαίρεσις. διαφέρει δὲ πλεονασμὸς διαιρέσεως, καθότι ὁ μὲν τὸν αὐτὸν τόνον φυλάττει, οἷον εἴκοσιν ἐείκοσιν, ἡ δὲ διαίρεσις ἐναλλάσσει τὸν τόνον, ἧς ἕης, οὗ ὅου. δασύνεται δέ. τὰ γὰρ πλεονάζοντα φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ δασυνομένου φωνήεντος ἀρχομέναις μεταληπτικὰ γίνεται τοῦ δασέος πνεύματος, οἷον ὥρα ἑώρα, ἥνδανεν ἐήνδανεν, εἷς ἕεις, ὃς ἑός, ἢ ἐή, ἧκεν ἕηκεν, καὶ ἀφέηκε καὶ ἀφῆκε. τὰ δὲ πλεονάζοντα ἐν λέξεσι ψιλουμέναις συμψιλοῦνται καὶ αὐτά, οἷον εἴκοσι ἐείκοσιν, οἶκα ἔοικα, ἔρσαι ἕρσαι, ἐλποίμην ἐελποίμην, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως.

Ὅου ἀντὶ τοῦ οὗτινος πλεονασμὸν ἔχει τοῦ ο, ἵνα ᾖ ὥσπερ τοῦ ὅτου, καὶ τῷ ὅτῳ, οὕτω καὶ οὗ ὅου, ἀναδραμούσης τῆς δασείας εἰς τὴν παραλήγουσαν. τόπου δὲ τοιούτου καὶ τὸ ὁτέοισι καὶ τὸ ὅτεω ἀντὶ τοῦ ᾧτινι.

Ὅπα τὴν φωνὴν παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἕψω, ἀποβολῇ τοῦ ω μεγάλου καὶ τροπῇ τοῦ ε εἰς ο ὦψ ὀπὸς ὅπα, οἷον Θέσπιν κατεβρόντισεν ὁ βλέπων ὅπα.

Ὀπιπεύω παρὰ τὸ ὄπτω τὸ βλέπω, πάραγωγον ὀπτεύω, καὶ διπλασιασμῷ ὀπιπτεύω, καὶ ἀποβολῇ τοῦ τ ὀπιπεύω. οὐδέποτε γὰρ ἀναδιπλασιασμὸς διὰ μακροῦ.

Ὀπίζεσθαι τὸ ἐντρέπεσθαι ἀπὸ ὀπῶν εἴρηται τῶν ὀφθαλμῶν, οἷον θεῶν δ' ὀποπίζεο μῆνιν, ἀντὶ τοῦ προόρα, καὶ ἐπιστροφὴν ποιεῖν, καὶ ὀπίζετο ἀντὶ ἐπιστρέφετο.

Ὀπυιομένη. μεμνηστευμένη, γεγαμημένη. τὸ ὀπυίω καὶ ἀλλυίω καὶ τὰ τούτοις παραπλήσια τῇ υι διφθόγγῳ παραλήγονται. ἐκλελοίπασιν οἱ χρόνοι.

112b Ὀπτανεῖον τὸ μαγειρεῖον. γράφεται δὲ διὰ διφθόγγου. ἅμα μὲν οἱ λέγουσιν ὀπτωνήϊον. δεύτερον δὲ τῷ λόγῳ τοῦ βαλανεῖον. ὁ δὲ Ἡρόδοτος λέγει καὶ ἐνταῦθα καὶ ἐν τῷ καθόλου ὅτι παρὰ τοῖς αὐτοῖς

διὰ τοῦ ῑ γράφεται, καὶ προπαροξυνόμενα οἷον ὀπτάνιον.

Ὄπωπα. ὄπτω ὄψω, ὁ παρακείμενος ὦφα, ὁ μέσος παρακείμενος ὦπα καὶ ὄπωπα ἀττικῶς. τούτων δὲ οἱ κοινοὶ μέσοι παρακείμενοι, ἤγουν ὁ ὦπα ὁ ὦδας καὶ οἱ λοιποὶ οὐχ εὑρίσκονται ἐν χρήσει, ὡς λέγει ὁ Χοιροβοσκός.

Ὄπισθεν μετὰ τοῦ ᾱ γραπτέον. συγκέκοπται ἀπὸ τοῦ ὀπίσωθεν. τὸ δὲ στῆ δ' ὄπιθεν ἀποβολὴν τοῦ ᾱ πέπονθεν.

Ὀπτὸν πρωτότυπόν ἐστι τοῦ ὀπτοῦ. ἀπὸ τοῦ ὀπτητοῦ συγκέκοπται, ὡς καὶ τὸ ἑφθὸν ἀπὸ τοῦ ἑψητοῦ. ἄλλως γὰρ τὸ ἀπαθὲς ὀπτὸν τὸ θεατὸν δηλοῖ, ὡς καὶ Ἀθηναῖος ἀστεῖζεται ὅπου λέγει ὀπτὸν ὠμὸν ἰχθῦν.

Ὄρνυμεν. ὄρνυμι ἤρνυν ὀρνὺς ὀρνύντος, ὀρνύναι ὀρνύμεν.

Ὀρεῖται. κινηθήσεται. ὄρω ὀρῶ, ὁ μέσος μέλλων ὀροῦμαι ὀρῇ ὀρῆται.

Ὀργῶντας ἐπιτεταμένως ἐπιθυμοῦντας, ἀπὸ τοῦ ὀργῶ, ὃ σημαίνει τὸ ἀκμάζω, ὅπερ ἀπὸ τοῦ ὀρέγω γίνεται κατὰ συγκοπήν.

Ὀρεὺς ὁ ἡμίονος παρὰ τὸ ἐν ὄρεσιν μᾶλλον τῶν ἄλλων ζώων δύνασθαι ἐργάζεσθαι. ὄρος ὀρεύς, ὡς ἡνίοχος ἡνιοχεύς, καὶ πλεονασμῷ τοῦ υ ὀρευς κατὰ Ἴωνας καὶ οὐρῆας. ἢ παρὰ τὸ οὐρώδη γονὴν ἔχειν, ὅθεν ἐν ταῖς συνουσίαις δὲ οὐ συλλαμβάνουσιν οὐδὲ τεκνογονοῦσιν.

Ὀρεσκῶος. ὁ ἐν ὄρεσι διατρίβων καὶ διαιτώμενος ἀπὸ τοῦ κῶ κείω κοιμῶμαι, ὀρεσίκοιος καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ο εἰς ω ὀρεσκῶος, προσγραφομένου τοῦ ῑ, καὶ ὀρεσκεύειν τὸ ἐν ὄρεσι διατρίβειν καὶ διαιτᾶσθαι.

Ὀρθοῖτο. κανόνισον· ὀρθόω ὀρθῶ καὶ τὸ παθητικὸν ὀρθόομαι ὀρθοῦμαι, ὀρθόοιτο ὀρθοῖτο.

Ὄρηαι. ὡς ἵκηαι καὶ ὄληαι. τὸ θέμα ὄρω τὸ διεγείρω.

113a Ὄρθαι. ὄρω τὸ διεγείρω. ὀρῶ ὄρσω αἰολικῶς, ὦρκα ὦρμαι ὦρσαι ὦρται ὦρσθαι τὸ ἀπαρέμφατον καὶ συστολῇ ἰωνικῇ ὄρθαι.

Ὀρθοκραιράων. τῶν τὰς κεφαλὰς ὀρθὰς ἐχουσῶν. κραῖρα γὰρ ἡ κεφαλή. λέγεται δὲ διὰ τὸ τὰς πρύμνας καὶ πρώρας ἀνατετάσθαι ἐκ μεταφορᾶς τῶν βοῶν. σημαίνει δὲ καὶ τῶν ἐχόντων ὀρθὰ κέρατα. ἀπὸ δὲ τοῦ κραῖρα καὶ τὸ τῆς κεφαλῆς ἥμισυ ἡμίκρανον λέγεται.

Ὀρίνω. τὸ διεγείρω καὶ ταράσσω. ἀπὸ τοῦ ὄρω ὀρύω καὶ ὀρύνω, ὡς πλήθω πληθύω πληθύνω, καὶ τροπῇ τοῦ ῡ εἰς ῑ ὀρίνω. τὰ δὲ διὰ τοῦ ινω ὑπὲρ δύο συλλαβὰς διὰ τὸ κρίνω, τὰ δὲ διὰ τῆς ει διφθόγγου γραφόμενα ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Ὀρώη. κανόνισον· ὁράω ὁρῶ καὶ ἡ μετοχὴ ὁράων τοῦ ὁράοντος, τὸ εὐκτικὸν ὁραίοιμι ὁρῶμι καὶ τροπῇ τοῦ μι εἰς ην ὁρώην ὁρώης ὁρώη. ὁμοίως καὶ τὸ ἀγαπώη, βοώη.

Ὄρμενα. παρὰ τὸ ὄρω ἐστὶ τὸ ψιλούμενον ὄρω ὄρσω αἰολικῶς, ὦρκα ὦρμαι ὦρμενος, καὶ συστολῇ καὶ ἀναδρομῇ τοῦ τόνου ὄρμενος, ἢ ἀπὸ τοῦ ὀρώμενος κατὰ συγκοπήν.

Ὄρμασται. ἁρμόζω, τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου ἥρμοσται, ὑπερθέσει ὅρμησται καὶ συστολῇ τοῦ η εἰς α ὅρμασται.

Ὄρνις παρὰ τὸ ὄρω ὄρις. τί γὰρ ὁρμητικώτερον ἐν ζώοις πτῆμα ὄρνιθος; ὁ κανών· τὰ εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ῑ δύο ἀμετάβολα διὰ τοῦ θος κλίνεται, δέλλις δέλλιθος ζῶον ὅμοιον μελίσσῃ, μέρμις μέρμιθος τὸ σχοινίον, ἔλμινς ἔλμινθος, πλὴν τοῦ τράλις τράλεως. ἔστι δὲ ὄνομα πόλιος. τοῦτο γὰρ διὰ καθαροῦ τοῦ ως κλίνεται. τὸ ὄρνις Ἀττικοὶ ἐκτείνουσιν ὥστε βραχύ ἐστι. τὰ γὰρ εἰς ῑ βαρύτονα εἴτε ἀρ-

σενικὰ εἴτε θηλυκὰ συστέλλει τὸ ῑ. ἐπὶ δὲ τῆς γενικῆς ἔστι μακρόν. ἔστι γὰρ κανὼν ὁ λέγων ὅτι οὐδέποτε παραλήγουσα περιττοσυλλάβου γενικῆς μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας εὑρίσκεται, πλὴν τοῦ ὄρνις ὄρνιθος. ἰστέον δὲ ὅτι τὸ ὄρνις καὶ τὸ πετει-
νὸν γενικά εἰσιν. τὸ δὲ χὴν, γέρανος, κύκνος εἰδικά.

Ὀρνύω. ὄρω τὸ διεγείρω καὶ ἐξ αὐτοῦ ὀρύω, ὡς πλήθω πληθύω καὶ πλεονασμῷ τοῦ ν̄ δωρικῶς ὀρύνω, καὶ ὑπερβιβασμῷ ὀρνύω, ἐξ οὗ ὄρνυμι καὶ ὀρνύμενος καὶ ὄρνυθι καὶ τὰ ἐξ αὐτῶν. 113b

Ὀρόγυια. ὀρέγω τὸ ἐκτείνω ὤρεγα ὠρεγὼς ὠρεγυῖα, συστολῇ καὶ τροπῇ ὀρόγυια.

Ὀροθύνω τὸ διεγείρω καὶ παρορμῶ καὶ ἐρεθίζω, παρὰ τὸ ὀροθῶ ὀροθύνω, ἢ παρὰ τὸ ὄρω ὀρῶ καὶ τὸ θύνω γίνεται ὀροθύνω.

Ὄρουσεν. ἐκ τοῦ ὀρούω τὸ ὁρμῶ. τοῦτο δὲ ἀπὸ τοῦ ὄρω ὀρύω, ὡς πλήθω πληθύω, πήδω πηδύω, καὶ πλεονασμῷ τοῦ ῡ ἰωνικῶς καὶ βοιωτικῶς ὀρούω. τότε δὲ πλεονάζει τὸ ῡ στοιχεῖον τὸ ο̄, ὅταν τὸ ῡ οὐχ ὑποτάσσεται φωνήεντι, οἷον κῦνες κοῦνες, κῦμα κοῦμα, νόσος νοῦσος. οὐ πλεονάζει δὲ τὸ ο̄ ὅτε ὑποτάσσεται, οἷον εὐνὴ αὐλὴ αὐδή.

Ὀρόωτε. ὁράω ὁρῶ ὁράοιμι ὁρῶμι ὁράοιτε ὁρῶτε καὶ πλεονασμῷ τοῦ ο̄ ὁρόωτε.

Ὀῤῥωδῶ τὸ φοβοῦμαι, παρὰ τὸ τὸν ὄῤῥον ἱδροῦν. ὄῤῥος δέ ἐστιν τὸ ἱερὸν ὀστοῦν. συμβαίνει δέ πως τοῖς φοβουμένοις ἱδρῶτα γίνεσθαι κατὰ τὸ ἱερὸν ὀστοῦν. ἢ παρὰ τὸ ῥῶ τὸ ὑγιαίνω, ἐξ οὗ καὶ τὸ ἔῤῥωσθαι παράγωγον, ῥώζω καὶ μεταθέσει τοῦ ζ εἰς δ ῥωδῶ, ὡς μύζω μυδῶ, καὶ ἕζω ἑδῶ. ὅθεν τὸ καθεδοῦμαι, καὶ ἐρίζω ἐριδῶ, ἔνθεν τὸ ἐριδήσασθαι Ἀχαιούς. ῥωδῶ οὖν καὶ μετὰ τοῦ στερητικοῦ ᾰ̀ ἀῤῥωδέων, καὶ τροπῇ τοῦ ᾰ̀ εἰς ο̄ ὀῤῥωδῶ, τὸ μὴ ἐρῶσθαι τὴν ψυχὴν ἀπὸ φόβου.

Ὄρσεο ῥῆμα προστακτικὸν, οἷον ὄρσε' Ἀσκληπιάδη. ὄρω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ καὶ αἰολικῶς ὄρσω, καὶ μετάγεται εἰς ἐνεστῶτα καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ. τὸ παθητικὸν ὄρσομαι ὠρσόδμην ὤρσου, τὸ προστακτικὸν ὄρσου καὶ ὄρσεο ἰωνικῶς συστολῇ τοῦ ō καὶ διαλύσει τῆς ου εἰς ē καὶ ō, ὡς ἐμοῦ ἐμέο, τύπτου τύπτεο.

Ὀρφνὴ ἡ σκοτία, καὶ νύκτα δι' ὀρφναίην, τὴν σκοτεινὴν, ἀπὸ τοῦ ἐρέφω τὸ σκέπω γίνεται ὀροφὴ καὶ πλεονασμῷ τοῦ ν ὀροφνὴ καὶ συγκοπῇ ὀρφνή.

114a Ὀρωρέχατο. ἐκρέμαντο. παρὰ τὸ ὀρέγω ὀρέξω ὤρεχα ὤρεγμαι ὠρέγμην ὤρεκτο ὠρέχατο καὶ ἀττικῶς ὠρωρέχατο καὶ συστολῇ ὀρωρέχατο.

Ὀρεῖται. κινηθήσεται. ὄρω ὀρῶ, ὁ μέσος μέλλων ὀροῦμαι ὀρῇ ὀρεῖται.

Ὄρωρε γίνεται μὲν ἐκ τοῦ ὦρα παρακειμένου ἀττικῶς ὄρωρε, καὶ δηλοῖ τὸ διήγειρεν. ἔπαθε δὲ ὑπέρθεσιν χρόνου μεταθέντος τοῦ ω μεγάλου εἰς τὴν ἄρχουσαν. καὶ τοῦτο καὶ ἐν τοῖς ἑξῆς ἀλλαχοῦ εὑρεθήσεται. οὕτω ποτὲ καὶ ἡ τοῦ κρονίωνος συστέλλεται παραλήγουσα χρόνου μεταθέσει. ὁ γὰρ κρονίων εἰ μὲν βραχύνει τὸ παραλῆγον δίχρονον, φυλάττει τὸ ω ἐν τῇ γενικῇ· εἰ δὲ ἐκτείνει αὐτὸ, ἀλλάσσει τὸ μακρὸν ω ἐν τῇ γενικῇ. οὕτω καὶ τὸ ἠνάλωτο ἐκ τοῦ ἀνήλωτο μετηλλάγη τῷ χρόνῳ καὶ τὸ ἠναντιοῦτο ἀπὸ τοῦ ἐνηντιοῦτο.

Ὀρυγμαδῷ. τὸ δὲ ὀρυγμαδὸς δηλοῖ κυρίως μὲν τὸν ἐν ὄρει κτύπον, καταχρηστικῶς δὲ τὸν ὅπου δήποτε.

Ὄρνις κοινόν ἐστιν ὄνομα. Δωριεὺς δὲ ἀνὴρ ὄρνιξ ὄρνιχος κλίνει, ὡς καὶ Πίνδαρος δηλοῖ, τροπῇ δωρικῇ τοῦ σ εἰς ξ, ὁποία γίνεται καὶ ἐν τῷ ἁρπάσω ἁρπάξω καὶ τοῖς ὁμοίοις.

Ὁρμαίνειν κεῖται ἐπὶ τοῦ διαλογίζεσθαι καὶ μήπω καταστῆναι ἢ στῆσαι τὸ βούλευμα, ἀλλ' ἐν κινήσει ἔτι καὶ ὁρμῇ εἶναι.

Ὁρῶ κανονικῶς περισπᾶται. Ἡρακλείδης δηλοῖ γράψας οὕτω· τὰ θέματα ἔχοντα μετὰ τὸ προηγούμενον ο̄ ἓν σύμφωνον ἁπλοῦν ἑπόμενον περισπῶνται, νομῶ, σοφῶ, φορῶ. τὸ κόπτω βαρύνεται, ἐπεὶ δύο σύμφωνα ἕπεται αὐτῷ. τὸ δὲ ὄζω καὶ δεσπόζω, ἐπεὶ διπλοῦν. ὅθεν τὸ ὁρῶ εὐλόγως περισπᾶται συμφώνου ἑνὸς ἐπαγομένου ἁπλοῦ.

Ὅς ἄρθρον ὑποτακτικόν, σημαίνει δὲ ἀντωνυμίαν κτητικὴν τρίτου προσώπου ἐμὸς σὸς ὅς. σημαίνει δὲ ἀντωνυμίαν ἰσοδύναμον τῇ οὗτος, οἷον ὃς γὰρ δεύτατος Ἀχαιῶν. δύναται σημαίνειν καὶ τὴν αὐτός. ἀλλὰ καὶ ὃς δέδοικε Διὸς μεγάλου κεραυνόν. παρὰ δὲ ποιητῇ καὶ ἀντὶ προτακτικοῦ 114b ἐλείφθη, οἷον ἔνθ' ὅτε δειλὸς ἀνὴρ, ὅστ' ἄλκιμος ἐξεφαάνθη. ὥσπερ καὶ τὸ ο̄ προτακτικὸν ὂν ἀντὶ ὑποτακτικοῦ τῷ αὐτῷ ποιητῇ παραλαμβάνεται, οἷον ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ ἕζετο, ἀντὶ τοῦ ὅς. ἤτοι οὗτος τοιουτοτρόπως εἰπών. ἔστι δὲ καὶ ἁ μόριον ἰσοδυναμοῦν τὸ ὅστις ὑποτακτικῷ ἄρθρῳ ὁμόφωνον, οἷον ὃς ἂν ἔλθῃ μεινάτω με ἄνθρωπος ὃς ἦλθεν. καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί οὐκ εἰσὶν εἰς ο̄ς ὀνόματα μονοσύλλαβα. τὸ γὰρ ὃς ἄρθρον ἐστὶν ὡς εἰπεῖν καὶ τὸ π̄ος, οἷον ὡς πὸς χειμαινομένοιο ἀπὸ ποῦς γέγονε· κατὰ ἀποβολὴν τοῦ υ. καὶ ἔστιν εἰπεῖν ὅτι κανών ἐστιν ὁ λέγων ὅτι πᾶν ὄνομα μονοσύλλαβον μακροκαταληκτεῖν θέλει φύσει ἢ θέσει, πλὴν τοῦ τὶς, ἄλλως τε δύο κανόνες εἶχον μαχόμενοι. καθὸ μὲν γάρ εἰσιν εἰς ος εἰς ου ὤφειλεν ἔχειν τὴν γενικὴν, καθὸ δὲ πάλιν ὅτι πᾶσα εὐθεῖα μονοσύλλαβος ἰσοσυλλάβως κλινομένη ἀποβολῇ τοῦ σ̄ ποιεῖ τὴν γενικὴν, καθὸ ὁ χνᾶς τοῦ χνᾶ καὶ ὁ δρῆς τοῦ δρῆ, ὤφειλον ἀποβολῇ τοῦ σ̄ κλίνεσθαι. τῶν οὖν δύο κανόνων μαχομένων ἐπέλιπον τὰ εἰς ος μονοσύλλαβα ὀνόματα. περὶ δὲ τοῦ ὀρφῶς ἐστιν εἰπεῖν, ὡς λέγει ὁ Χοῖος, ὅτι τὰ εἰς ως ἀττικὰ τῆς κοινῆς εὐθείας ἔχει τὸν τόνον, κἂν φθάσῃ προπαροξυνθῆναι ἡ εὐθεῖα. πᾶσα

πτῶσις προπαροξύνεται. σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶς. ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον τῶν κοινῶν. τοῦ μὲν γὰρ ὀρφῶς ὁ τόνος ὄρφος ἐστὶ βαρύτονος, τοῦ δὲ λαγὼς λαγὸς ὀξύτονος. καὶ Ἡρωδιανός φησι ὡς ὑπὲρ μίαν συλλαβὴν οὐδὲν περισπᾶται πλὴν τοῦ ὀρφῶς καὶ λαγῶς.

Ὀσμὴ παρὰ τὸ ὄδω ὄσω διαλυομένου γὰρ ξ εἰς σ καὶ δ. οἱ μὲν κοινοὶ χρῶνται, οἱ δὲ Αἰολεῖς τῷ δ' ὁ παρακείμενος ὤκα ὦσμαι ὀσμήν.

Ὄσσα θεία φήμη καὶ κληδὼν, ὅσσαν ὅδ' ἄμβροτον οἴεται. οἶμαι παρὰ τὸ ὄπτω. σημαίνει καὶ τὸ ὄρος τὸ Θεσσαλικόν. σημείωσαι δὲ τὴν πᾶσαν φωνὴν ὅσσαν λέγεσθαι.

Ὄσσε οἱ ὀφθαλμοὶ παρὰ τὸ ὄπτω τὸ βλέπω αἰολικῶς ὅσσω, ὡς κόπτω κόσσω καὶ πέπτω πέσσω. τὸ ὅσσος ὅσσεος καὶ ὅσσους, ὡς τὸ βέλος τοῦ βέλεος καὶ βέλους, τῷ ὅσσει, ὃ καὶ εὕρηται ἐν χρήσει. τὼ ὄσσε καὶ κατὰ συγκοπὴν ἢ ἀποκοπὴν ὄσσε. ἔστι δὲ καὶ ὁ ὅσσος ἀρσενικοῦ τοῦ ὄσσου. ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ ὄσσω καὶ κατὰ μεταπλασμὸν ὄσσε. γίνεται δὲ τὸ πάθος τοῦτο οὐκ ἐν ὀνόμασι μόνον, ἀλλὰ καὶ ἐν ῥήμασιν, οἷον περιπατοῖμι περιπατοίην, δοῖμι δοίην, ζῶμι ζώην, κλύε κλύθι, ἄνωγε ἄνωχθι, ἴε ἴθι, πίε πίθι. εὕρηται δὲ καὶ ἐν ἐπιῤῥήμασι τὸ πάθος τοῦτο, οἷον διχῇ δίχα, τριχῇ τρίχα, σαφῇ σάφα. πάντων δὲ τῶν ἐν ὀνόμασιν μεταπλασμῶν καινότερον παρ' Αἰλιανῷ τὸ τῷ κλείδης ἀντὶ τοῦ κλάδω.

Ὀσσόμενος αἰολικῶς τροχῇ τοῦ πτ εἰς δύο σσ, οἷον ὄπτομαι ὄσσομαι, καὶ μετοχὴ ὀσσόμενος ἀντὶ τοῦ περιβλεψάμενος καὶ ὅσσετο θυμὸς προεώρα, τουτέστι κατὰ τὴν ψυχὴν προσεδέχετο, οἷον κατ' ἐπίνοιαν ἔγνω, ἀπὸ τῶν ὄσσων τῶν ὀφθαλμῶν.

Ὀσσεύεσθαι. διακληδονίζεσθαι, παρὰ τὴν ὅσσαν, ἥ ἐστι θεία κλιδών. ἔστι καὶ ὄρος Θεσσαλίας.

Ὄστλιγγες. αἱ λαμπηδόνες τοῦ πυρὸς, οἷον ὄστλιγγες μαλεροῖο πυρός, παρὰ τὸ ὄσσε καὶ τὸν ἴλιγγα, ὀσσίλιγγές τινες οὖσαι, καὶ κατὰ συγκοπὴν ὄστλιγγες. σημαίνει δὲ τρίχας, ὡς Καλλίμαχος ἐν πρώτῳ αἰτιῶν, ἀπ' ὀστλίγγων αἱ ἐν ἄλειφα ῥέει, παρὰ τὸ περὶ τὸ ὀστέον εἱλεῖσθαι ὀστοΐλιγγες τινὲς οὖσαι αἱ παρὰ τὸ ὀστέον εἱλούμεναι, ἢ παρὰ τὸ τὰ ὀστώδη μέρη τῆς κεφαλῆς εἱλεῖσθαι καὶ συνηθροῖσθαι.

Ὄσσε δυϊκόν. δηλοῖ δὲ τοὺς ὀφθαλμούς. γίνεται δὲ ἀπὸ ὄσσω τὸ βλέπω, ἐξ οὗ καὶ τὸ κακ' ὀσσόμενος ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. κλίνεται δὲ κατὰ μέν τινας ἀπὸ τοῦ ὄσσος οὐδετέρου ὀνόματος, ὡς βέλος. οὗ δοτικὴ ἑνικὴ εὕρηται ἐν χρήσει τῷ ὄσσει, ὡς τῷ βέλει. καὶ ἀκολούθως εὐθεῖα δυϊκῶν ὄσσεε καὶ κατ' ἀποκοπὴν ἢ συγκοπὴν ὄσσε. ἕτεροι δέ φασιν οὕτως· ἀπὸ τοῦ ὄσσος ἀρσενικοῦ, ὡς ὁ πλόος, εὐθεῖα δυϊκῶν ὄσσω, ὡς πλόω, καὶ κατὰ μεταπλασμὸν 115b ὄσσε, ἤγουν κατὰ μεταποίησιν τοῦ ω τελικοῦ τῆς εὐθείας τῶν δυϊκῶν εἰς τὸ ε, ὅπερ καὶ αὐτὸ τελικόν ἐστι τῆς τῶν δυϊκῶν εὐθείας. ἔστι γὰρ μεταπλασμὸς μετάθεσις καὶ μετασχηματισμὸς λέξεως εἰς ἕτερον συγγενὲς τελικόν. καὶ εὐθὺς δειχθήσεται. γίνεται δὲ ὁ τοιοῦτος μεταπλασμὸς καὶ ἐν ὀνόμασιν, οἷον τῇ ὑσμήνῃ καὶ τῇ δωδώνῃ, κοινῶς μὲν διὰ τοῦ η τὸ τελικὸν, ποιητικῶς δὲ διὰ τοῦ ι κατὰ μετάπλασιν. τὸ δὲ ὅμοιον καὶ ἐπὶ τοῦ ἀλκῇ. τὸ δὲ λέων ἀλκὶ πεποιθὼς διὰ τοῦ ι γραφὲν μεταπέπλασται. καινότερον δὲ τούτων τὸ τῇ κλαδὶ παρ' Αἰλιανῷ ἐν τῷ περὶ ζώων ἰδιότητος. γίνεται δὲ τὸ τοιοῦτον πάθος καὶ ἐν ῥήμασιν, οἷον τὸ περιπατοίην ἐκ τοῦ περιπατοῦμι μετεπλάσθη ἀπὸ τελικοῦ δηλαδὴ εἰς τελικὸν, ὡς καὶ ἀπὸ τοῦ γνοῦμι τὸ γνοίην καὶ ἀπὸ τοῦ εἴδομι τὸ εἰδείην, καὶ τὸ καινότερον ἐκ τοῦ ἐκπεφεύγοιμι τὸ ἐκπεφευγοίην παρὰ Σοφοκλεῖ. τελικὸν ἐν εὐκτικοῖς γὰρ καὶ τὸ μι, οἷον τύπτοιμι καὶ τὸ ην, οἷον τυφτείην. ὅμοιον δέ τι ἔπαθε καὶ τὸ κλύε τουτέστιν ἄκουε. καὶ αὐτὸ γὰρ μετα-

πλασθὲν εἰς ἕτερον προστακτικὸν τελικὸν κλῦθι γέγονεν, ὡς ἀρέσκει τοῖς παλαιοῖς. ὁμοίῳ δέ τινι τρόπῳ καὶ τὸ ἄνωγε ἀντὶ τοῦ κέλευε ἄνωχθι γέγονεν, καὶ ζῶμι ζώην, καὶ δοῖμι δοίην, ἴε ἴθι, πίε πίθι. εὕρηται δὲ πάθος ὅμοιον καὶ ἐν ἐπιῤῥήμασι, ὡς ὅτε τὸ διχῇ δίχα φαμὲν καὶ τριχῇ τρίχα καὶ τὰ ἑξῆς καὶ τὸ σαφῇ σάφα. καὶ ἐν τούτοις γὰρ τελικῶς γέγονεν ἐναλλαγή. τελικὸν γὰρ ἐπιῤῥημάτων, ὥσπερ καὶ τὸ ῃ, οὕτω καὶ τὸ ᾱ, οἷον ἅμα, κάρτα ἀντὶ λίαν, μάλα, εἶτα ὀσφόδρα, ὑπόδρα ἀντὶ τοῦ ὑποβλεπτικῶς, ἄντα ἀντὶ τοῦ ἐναντίας.

Ὀσσεσθαι. τὰ εἰς πτω, φησὶ Ἡρακλείδης, βαρύτονα Αἰολεῖς εἰς δύο σσ μετατιθέασιν, οἷον πέπτω πέσσω, ὄπτω ὄσσω. ἐκ τοῦ ὄπτω γίνεται τὸ ὄψω, ἀλλ' οὐχὶ ἐκ τοῦ κατ' ὀπτεύω κατ' ὀσσεύω φασὶ οἱ Αἰολεῖς. ὅμοιον δὲ καὶ τοῖς ῥηθεῖσι καὶ τὸ ἐνίπτω ἐνίσσω, καὶ τὸ βλέπω, ἐξ οὗ φησι βλέπτω βλέσσω. ὅθεν 116a λεύσσω. ἴσως δὲ καὶ τὸ λίσσω ἐκ τοῦ λίπτω ἤγουν ἐπιθυμῶ γέγονεν. ἐπιθυμεῖ γάρ πως καὶ ὁ λισσόμενος περί τινος.

Ὀτέοισιν. Ὅμηρος,

εἰ μὲν ὅτοισι κῦδος ὑπέρτατον ἐγγυαλίξει,

ἠδ' ὅτινας μινύθει.

ἀντὶ τοῦ οἱστισι τρισύλλαβον ἐπὶ τοῦ ο ἔχει τὸν τόνον. τὸ δὲ ὀτέοισεν οὐκ ἔτι.

Ὀτρύνω. ἀπὸ τοῦ ὄρω τὸ διεγείρω ὀρύω ὀρύνω καὶ πλεονασμῷ τοῦ τ ὀτρύνω τὸ ἐπισπεύδω καὶ παρορμῶ καὶ διεγείρω, ὡς τὸ

ὤτρυνε δὲ γέροντα παριστάμενος ἐπέεσσι.

σημαίνει καὶ τὸ κατασκευάζω, ὡς τὸ αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνητε.

Ὅτι πολλάκις ἄλλα μέρη λόγων ἀντὶ ἄλλων λαμβάνονταί φησι Ἡρακλείδης διὰ τὴν πρὸς ἄλληλα συγ-

γένειαν, οἷον ἀπαρέμφατα ἀντὶ ὀνομάτων, ὡς ἐν τῷ περίεστε μὲν τῇ βουλῇ, περὶ δ' ἐστὲ μάχεσθαι, ἤγουν περίεστε δὲ καὶ ὑπερέχετε καὶ ἐν τῇ μάχῃ. λαμβάνονται δὲ καὶ μετοχαὶ ἀντὶ ὀνομάτων, ὡς ὅτε τὴν τοῦ δεῖνος φαμὲν ἐρωμένην ἀντὶ τοῦ γυναῖκα, καὶ νόσον ὀλομένην τὴν ὀλέθριαν. καὶ ὀνόματα ἀντὶ ἐπιρρημάτων, ὡς τὸ πλατὺ χαίνειν ἀντὶ τοῦ πλατέως, καὶ ὠκὺ βαδίζειν ἀντὶ τοῦ ταχέως. καὶ ἀντωνυμίαι δὲ ἀντὶ ἐπιρρημάτων, ὡς τὸ ἄλλη ἀντὶ τοῦ ἀλλαχοῦ, καὶ ταύτη ἀντὶ τοῦ οὕτως. καὶ σύνδεσμοὶ δὲ ἀντὶ προθέσεως λαμβάνεται, οἷον ὁ δὲ ἀντὶ τῆς εἰς ἐν τῷ πυθώδε ἦγουν εἰς πυθὼ, καὶ ἀγορήνδε καὶ φύγαδε καὶ οἴκαδε ἀντὶ τοῦ εἰς ἀγορὰν καὶ εἰς φυγὴν καὶ εἰς οἶκον. ἔστι δὲ ἐξ ἀντιστρόφου καὶ πρόθεσιν εὑρεῖν ποτὲ λαμβανομένην ἀντὶ συνδέσμου, ὡς ὅτε τίς εἴπῃ ὅτι ἐκ τῶνδε τάδε γενήσεται, τουτέστιν ἕνεκα τούτων. καὶ εἰπὼν δὲ ὅτι ὁ μῦθος κοινός ἐστι τῶν ῥητόρων ἐκ παραινέσεως ἀντὶ συνδέσμου τοῦ ἕνεκεν τὴν ἐκ πρόθεσιν ἔλαβεν. καὶ ταῦτα μὲν οὕτως. Ἰστέον δὲ ὅτι ὡς ἐν τῷ τοιόσδε τοσόσδε τηλικόσδε ὅδε ἦδε καὶ τοῖς ὁμοίοις, οὕτω καὶ ἐν τῷ πόλεμόνδε πυθώδε φυγάδε οἴκαδε ἀϊδόσδε καὶ τοῖς τοιούτοις δυνατὸν ἐπέκτασιν μὲν εἶναι τὴν δε συλλαβὴν, λαμβάνεσθαι δ' ἔξωθεν πρόθεσιν χάριν συντάξεως ἐντελοῦς, ὁποῖόν τι γίνεται καὶ ἐν τῷ τόδ' ἱκάνεις, ἤγουν εἰς τόδε τὸ χωρίον καὶ ἐν τῷ τῇδε, ὅ ἐστιν ἐν ταύτῃ τῇ ὁδῷ τυχὸν ἢ τῇ κώμῃ. ὅτι δὲ ἐπέκτασιν ποιεῖ οὐ μόνον τὸ ι ἐν τῷ οὑτοσὶ καὶ νυνὶ καὶ ἐνταυθὶ κατὰ τὸν τεχνικὸν Γεώργιον, καὶ ὄψι, ὅθεν καὶ ὀψιμαθὴς, καὶ νυμενί φησι καὶ νυγαρὶ ἀντὶ τοῦ νῦν, ἀλλὰ καὶ τὸ ῆ ἐν τῷ ὁτιὴ καὶ τίη ἀντὶ τοῦ τὶ βαρυτόνως, ἢ κατά τινας τιὴ ὀξυτόνως, καὶ ἐπειὴ ἀντὶ τοῦ ἐπειδή. ἔτι δὲ καὶ ἡ θα συλλαβὴ ἐν τῷ οἶσθα καὶ ἔφησθα καὶ τοῖς ὁμοίοις. ὁμοίως δὲ καὶ τὸ δ μετὰ τοῦ ι, οἷον ὁδὶ καὶ νυνδὶ ἀντὶ τοῦ νῦν, καὶ ἐνθαδί. τὰ πλείω δὲ μᾶλλον ἡ δε συλλαβή. δῆλον δ' ἔστιν ὅτι ταύτῃ τῇ ἐπεκτάσει

χαίρει μάλιστα ἡ ποίησις, ὡς δηλοῖ καὶ τὸ ἄστυδε ἄλαδε πόλινδε τροίηνδε. οὕτω δὲ καὶ τὸ κλισίηνδε.

Ὅτι ὥσπερ ἡ ἐπί πρόθεσίς ἐστιν ὅτε μόνη αὐτὴ καθ' αὑτὴν τίθεται ἀντὶ ῥήματος τοῦ ἔπεστιν, οἷον δοῦτοι ἐπιδέος, ἀντὶ τοῦ οὐκ ἔπεστί σοι φόβος, ὡσαύτως καὶ ἡ μετά πρόθεσις τὸν τόνον ἀναβιβάσασα λέγεται ἀντὶ μέτεστιν, ὡς καὶ Εὐριπίδης δηλοῖ. οὕτω καὶ τὸ πάρα. τοῦτο δὲ καὶ ἀντὶ ἑνικοῦ λαμβάνεται ῥήματος τοῦ πάρεστι καὶ ἀντὶ πληθυντικοῦ, οἷον παρ' ἔμοιγε καὶ ἄλλοι. ὁμοίως καὶ τὸ ἔνι, ὅπερ ἐστιν ἡ ἐν πρόθεσις μετὰ ἐπεκτάσεως. καὶ αὐτὸ γὰρ ποτὲ μὲν ἀντὶ τοῦ ἔνεστιν ἤγουν ὑπάρχει νοεῖται, ποτὲ δὲ ἀντὶ τοῦ ἔνεισιν, ὡς τὸ ἐπεὶ οὐχ οἱ ἔνι φρένες. τοῦτο δὲ τὸ σχῆμα οἱ παλαιοὶ μετατύπωσιν καλοῦσιν, λέγοντες ὅτι ἐκ συνθέτου ἁπλοῦν γέγονεν, ἤγουν μετετυπώθη ἀπὸ συνθέτου λέξεως εἰς ἁπλῆν, καὶ καινὸν οὐδὲν, ἐὰν αἱ προθέσεις αὗται ὑπαρκτικοῦ ῥήματος λείποντος, λαμβάνεται ἀντ' αὐτοῦ. ἐν πολλοῖς γὰρ ἡ τῶν ὑπαρκτικῶν ῥημάτων ἐλλέλειπται σύνταξις. ἐκεῖνο δὲ καινότερον, ἐὰν ἡ ἀνά πρόθεσις ἀναβιβασθέντος τοῦ τόνου λαμβάνηται ἀντὶ ῥήματος τοῦ ἀνάστηθι, ὡς τὸ ἀλλ' ἄνα ἐξ ἑδρέων. ἔτι δὲ καινὸν καὶ ἐὰν ἡ ἀντί πρόθεσις αὐτὴ καθ' ἑαυτὴν ποιῇ τὸ ῥῆμα τὸ ἀντιάαν ἤγουν ἀντικρὺ γίνεσθαι, ὥσπερ καὶ τὸ ἀντιόων. ἔτι δε καὶ ὄνομα τὸ ἀντίος. ὅθεν καὶ ὁ ἐναντίος καὶ τὸ ἐναντιῶ ῥῆμα. οὕτω δὲ καὶ ἐκ τῶν περί προθέσεων ὁ περίμος κυρίως φανεῖται γενόμενον, καὶ ἐκ τῆς ἀμφί ὁ ἄμφιος, καὶ τῆς ὑπό ὕπτιος ποταμὸς παφλαγονικὸς, οὐ μὴν ἀναντιῤῥήτως, καὶ ἐκ τῆς ἀνὰ ὁ ἄνιος. ἐκεῖνος γὰρ ἐκ τῆς ἀνίας παρῆκται κατά τινας. σημειοῦνται δὲ οἱ παλαιοὶ ὅτι ὥσπερ προθέσεις τινὲς ἀντὶ ῥημάτων λειπόντων λαμβάνονται, οὕτω κατά τινα ἀνταπόδοσιν καὶ ῥήματα δεόμενα προθέσεων ἐκφωνοῦνται μὲν δίχα ἐκείνων, ἑρμηνεύονται δὲ σὺν ἐκείνοις, ὡς τὸ εἶμι Φθίηνδε ἀντὶ τοῦ ἄπειμι εἰς τὴν Φθίαν, καὶ ἴθι μή μ' ἐρέθιζε,

ἀντὶ τοῦ ἄπιθι. τὸ δὲ ἀνάπαλιν λέξεις μετὰ προθέσεων οὖσαι περισσὰς ἔχουσιν αὐτὰς, ὡς τὸ ἀπουρανόθεν καὶ ἕτερα φανησόμενα πολλαχοῦ.

Ὄτριχας συγκέκοπται μὲν ἐκ τοῦ ὁμοιότριχας, ψιλοῦται δὲ διὰ τὸ ἐπαγόμενον τ, ὡς καὶ τὸ ὀτρύνω καὶ ὀτρεὺς καὶ ὄττοβος καὶ τὰ ὅμοια. ὅτε συνέκειτο τὸ μ ἐν τῷ ὁμοιότριχες, τότε διὰ κανόνα ἕτερον ἐδασύνετο. τὸ δὲ οἰέτεας δηλοῖ μὲν τὸ ὁμοέτεας ἤτοι ὁμοχρόνους, συνεκόπη δὲ ὁμοίως καὶ αὐτό, καὶ ὀφεῖλον εἶναι ὁέτεας ἐμηκύνθη πλεονασμῷ τοῦ ι διὰ μέτρου εὐχρηστίαν. καὶ εὐθὺς ἐψιλώθη κανονικῶς καὶ αὐτό. ἐνταῦθα δὲ σημείωσαι, εἰ καὶ εὕρηται παρὰ τοῖς ὕστερον Ἀττικοῖς θηλυκὸν σύνθεμα ἐκ τοῦ ἔθους εἰς ις λῆγον καὶ διὰ τοῦ ος κλινόμενον, ὡς δηλοῦσι καὶ αἱ τριακόντιδες σπονδαὶ, ἀλλ' ὁ ποιητὴς ἵππους οἰέτιδας δυνάμενος εἰπεῖν οἰέτας λέγει διὰ τοῦ η πάντως γράφων τὸ οἰέτης ἵππος τὸ θηλυκὸν καὶ διὰ τοῦ ος κλίνων ἰωνικῶς. οἰέτεος γὰρ, οὗ αἰολικὸν παλαιὸν οἰέτεας. ἔτι κἀκεῖνο σημείωσαι, ὅτι εἰ καὶ οἱ μεθ' Ὅμηρον τὰ εἰς ης ὀνόματα τὰ ἀπὸ τοῦ ἔτους ὀξύνουσι, καὶ τὴν αὐτὴν κλίσιν καὶ τὸν αὐτὸν τόνον τηροῦσιν ἔν τε ἀρσενικῷ γένει ἔν τε θηλυκῷ, οἷον ὁ διετὴς τοῦ διετέος, καὶ οὕτω κατ' αὐτοὺς ἀναλόγως οἰετὴς οἰετέος ὤφειλεν εἶναι καὶ τὸ πληθυντικὸν οἰετέας, ἀλλ' ὁ ποιητὴς βαρύνει τὰ τοιαῦτα, ὡς δῆλον καὶ ἐκ τοῦ ἑξετὲ ἀδμήτην. διὸ καὶ τὸ οἰέτεας ἐνταῦθα προπαροξυτόνως ἐκφέρει. ἐξηκολούθησε γὰρ κατὰ τοὺς παλαιοὺς τὸ οἰέτης τῷ εὐνέτης γαμέτης καὶ τοῖς τοιούτοις, ἐν οἷς μόνον τὸ εὐετὴς σεσημείωται. οἱ δ' αὐτοί φασι καὶ ὅτι ὁμηρικὸν τὸ ποδώκης βαρυτόνως. οἱ μέντοι πρὸ ὀλίγου ῥηθέντες γραμματικοὶ ἀπηλεγέως κατακρίνουσι τὸ οἰέτεας ὡς παραλόγως προπαροξυνόμενον, λέγοντες ὅτι τὰ εἰς ος οὐδέτερα δισύλλαβα ποιοῦντα ἐπιθετικὰ σύνθετα εἰς ης λήγοντα ἐν ὀξείᾳ τάσει ἔχουσιν αὐτὰ, γένος εὐγενὴς, κλέος εὐκλεὴς, θάλος εὐθαλής. ἐχρῆν οὖν φασὶ καὶ

117b

παρὰ τὸ ἔτος ταυτὸ γίνεσθαι. ἀναγινώσκουσι δὲ καὶ τὸ ἐξέτεα δμήτην παροξυτόνως ἐξετέα ὡς εὐσεβέα. Ἄλλιος τὸ Διονύσιος ἐν ᾧ συνέθετο λεξικῷ φησί· διέτης πεντέτης καὶ πάντα τὰ ὅμοια βαρύνουσιν Ἀττικοί, προφέροντες τῷ τόνῳ ὡς εὐεργέτης. Ἡρωδιανὸς δὲ τοῖς ἁπηλεγέως, ὡς ἐῤῥέθη, κατακρίνουσι συνδιαγνωμονῶν λέγει ὅτι οἱ μὲν τὸ διετὴς ὀξυτόνως προηνέγκαντο, οἱ δὲ βαρυτόνως. ὁ μέντοι λόγος ἀπαιτεῖ ὀξυτόνως λέγειν, ἐπεὶ πᾶν εἰς ος οὐδέτερον δισύλλαβον κατὰ τὴν παρατέλευτον μεμελέτηται διὰ τοῦ ε εἶναι, ἡνίκα ἂν συντεθῇ, εἰς ης λήγει καὶ ὀξύνεται, οἷον σθένος ἀσθενὴς, βέλος πολυβελής. οὕτως οὖν καὶ ἔτος οἰετὴς καὶ τὰ ὅμοια. ὅτι διάφορα καὶ ἄλλα οἱ Ἀττικοὶ παρὰ τὴν ἀνάλογον συνήθειαν πονοῦσι δῆλον καὶ ἐκ τοῦ τροπαῖον, ὃ κοινῶς τρόπαιον λέγεται, καὶ ἐκ τοῦ ἑτοῖμον καὶ ἐρῆμον, καὶ ἐκ τοῦ ὅμοιος. τὸ γὰρ κοινὸν ὁμοῖον προπερισπῶσι. οἱ δ' αὐτοὶ καὶ βδέλυρος λέγουσι καὶ πόνηρος καὶ μόχθηρος ἔξω ἀναλογίας. πᾶν γὰρ εἰς ρος λῆγον παρώνυμον παρεσχηματισμένον τοῖς γένεσιν ὀξύτονόν ἐστι καθ' Ἡρωδιανόν. διό φησι εἰ καὶ μόχθηρος καὶ πόνηρος βαρυτόνως ἐπὶ τῶν ἐπιπόνων καὶ ὑπομενετικῶν, πονηρὸς δὲ καὶ μοχθηρὸς ἐπὶ τῶν κατὰ ψυχὴν φαύλων. ἀλλὰ τοῦτο οὐκ εὖ. εἰ γὰρ πόνος καὶ μόχθος τὰ πρωτότυπα, εὐλόγως πονηρος καὶ μοχθηρὸς τὰ τούτοις παρακείμενα, κἂν διαφόρων ἔχηται σημασιῶν, ἵνα ᾖ ἀνάλογα τῷ κάματος καματηρος, ὄλισθος ὀλισθηρὸς, βλάβη βλαβερὸς, κράτος κρατερὸς καὶ τὸ ἰδὲ καὶ λαβὲ, ἀντὶ τοῦ ἴδε καὶ λάβε, κατα συνεκδρομὴν τοῦ εἰπὲ ἐλθὲ εὑρέ.

118a Ὄτεω ἐκ τοῦ ὅτω γέγονεν ἰωνικῇ ἐπενθέσει τοῦ ε ὁμοίως τῷ ὀτέοισιν.

Ὄτεων δύο ἔχει πλεονασμούς. τὸ γὰρ κοινὸν τῶν ἀντὶ τοῦ ὧντινων. τοιοῦτον καὶ τὸ ὀτέοισι καὶ τὸ ὅτεω.

Οὗας παρὰ τὸ αὔω τὸ φωνῶ αὖας καὶ τροπῇ τοῦ ᾱ εἰς ο οὖας, τὸ τῆς φωνῆς ἀντιληπτικῆς αἰσθή-

σεως. ἢ παρὰ τὸ αὔω αὖος, ὡς τεύχω τεῦχος, καὶ ὑπερθέσει τῶν γραμμάτων οὖας. κλίνεται οὔατος, ὡς δέρατος. ἐκ δὲ τούτου κατὰ ἀποβολὴν τοῦ ῡ ὅας, καὶ κράσει οὖς καὶ κατὰ Δωριεῖς ὦς. τὸ δὲ ἀμφῶες, νεοτευχὲς παρὰ Θεοκρίτῳ. οὕτως ὡς παρὰ τὸ οὖ-δας γίνεται οὖδος, καὶ παρὰ τὸ γῆρας γῆρος, καὶ παρὰ τὸ κῶας κῶος, οὕτως καὶ παρὰ τὸ ὅας ὅος. εἶτα πάλιν ὡς παρὰ τὸ εἶδος εὐειδὴς, καὶ τέλος εὐτελὴς, καὶ παρὰ τὸ γένος εὐγενὴς, οὕτως καὶ παρὰ τὸ ὦς ὅος γίνεται ἀμφώης. ἀπὸ γὰρ τῶν εἰς ᾱς οὐ γίνεται σύνθετα, ἀλλὰ ἀπὸ τῶν εἰς ος πέπονθε. τὸ δὲ οὖς ἄκλιτόν ἐστιν, ὡς λέγει ὁ Χοῖος. οὐδὲν γὰρ οὐδέτερον εἰς ους λήγει, εἰ μὴ μόνον τὸ οὖς, ὅθεν ὡς μονῆρες ἔμεινεν ἄκλιτον, ὥσπερ καὶ τὸ δέμας ἄκλιτόν ἐστιν. οὐδὲν γὰρ οὐδέτερον εἰς ας λήγειν εὑρίσκεται ἔχον πρὸ τοῦ α τὸ μ, καὶ ὡς μὴ ἔχον τι μιμήσασθαι ἔμεινεν ἄκλιτον.

Οὐδενόσωρα τὰ οὐδεμιᾶς φροντίδος ἄξια, ὡς κυνόσωρα τὰ κυνὸς φροντίδος ἄξια, ὑφὲν καὶ κατὰ σύνθεσιν, εἰ καὶ σπανία ἡ τοιαύτη σύνθεσις ἐκ τῆς ου ἀποφάσεως καὶ τῆς ἑνὸς γενικῆς καὶ τοῦ ὦρα ἡ φροντίς. αἱ ξέναι δὲ αὗται συνθέσεις ποιητῶν τολμήματα. καὶ γὰρ οὐκ ἔχει τι ἕτερον μιμήσασθαι. τὸ γὰρ ἐκκεδεκάδωρα. καὶ ὁ μὲν Ἡρωδιανὸς οὕτως περὶ τοῦ οὐδενόσωρα. ἕτεροι δὲ ἐκ τῆς ου ἀποφάσεως, τοῦ δὲ συνδέσμου, τῆς ἑνὸς γενικῆς καὶ τοῦ ὦρα τοῦτο φασὶ συγκεῖσθαι.

Οὖθαρ ἀρούρης τὸ λιπαρώτερον καὶ κάρπιμον καὶ κάλλιστον τῆς γῆς, οἶμαι ἀπὸ τοῦ θῶ τὸ φέρω ἢ θάλλω γίνεται πλεονασμῷ τῆς ου, ἢ παρὰ τὸ θηλάζω. γίνεται γὰρ καὶ πλεονασμῷ τῆς ου. οὖθαρ σημαίνει καὶ τὸν μαζόν. 118b

Οὐκ ἀρετᾷ τὰ κακὰ ἔργα. οἷον οὐκ ἀρετοῦται τὰ κακὰ, οὐκ ἀρετῆς μεταλαμβάνει. ἔστι δὲ δευτέρας συζυγίας ἀρετῶ ἀρετᾷς. ἀρετῶσι δὲ λαοί. ἐκ δὲ τούτου ἀρετῶ καὶ ἀρεταίνω, ὡς δρῶ δραίνω, λιπῶ λιπαίνω.

Οὐκ ἔα. συστέλλεται τὸ ᾱ καὶ βαρύνεται, οἷον τρεῖν μ' οὐκ ἔα Παλλὰς Ἀθήνη. τὸ μὲν γὰρ ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ ἐᾷς ἐᾷ μετὰ τοῦ ῑ, καὶ μεταβολὴ γίνεται τοῦ τόνου, εἰ μὴ ἐκδεξαίμεθα ὡς ἔστιν ἔθος τῷ ποιητῇ τὰ ῥήματα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο αα. ὧν τὸ μὲν πρῶτον συνεσταλμένον, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον, οἷον οὐχ ὁράᾳς οἷος κἀγώ. καὶ ἐπὶ τοῦ τρίτου, ἰσχανάᾳ δακέειν, ἠτ' ἐκπεράᾳ, καὶ πάλιν οὐκ ἐάᾳ. δύναται κατὰ ἀποκοπὴν ἢ συγκοπὴν ἔα γεγονέναι, οἷον τρεῖν μ' οὐκ ἔα Παλλὰς Ἀθήνη. ὅθεν καὶ συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτα ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ οὔτα κατὰ λαπαρήν. εἰ δέ τις ἐπιζητῶν ὁμοιότητα ἀπὸ τῶν εἰς ῶ περισπωμένων ἢ βαρυτόνων, ἀποκοπὴν ἐπὶ τρίτου προσώπου οὐχ εὑρήσει, καὶ οὐδὲ τοῦτο παραδέξαιτο ἑαυτὸν λήσει περι γὰρ πάθους καὶ λαμβάνομαι.

Οὐκ ἔχαδον, οὐκ ἐχώρησαν, ἀπὸ τοῦ χῶ τὸ χωρῶ, ὅθεν καὶ χῶρα καὶ χωρίον, γίνεται χάζω παράγωγον, ὡς σφῶ σφάζω, σχῶ σχάζω, κλῶ κλάζω, κρῶ κράζω, ῥῶ ῥάζω, ἐξ οὗ καὶ ἐν Ὀδυσσείᾳ τὸ ῥάσα τέδ' ὕδωρ, καὶ τὸ ἐῤῥάδαται τοῖχοι, βρῶ βράζω, οὕτως καὶ τὸ οὐκ ἔχαδεν ἢ κέχαδεν. εἰ μὲν γὰρ κέχαδε, μέσος ἐστὶ παρακείμενος ἀπὸ τοῦ χάζω χάσω κέχακα κέχαδα, ἢ ἀπὸ τοῦ χαδῶ περισπώμενον χαδήσω κεχάδηκα κέχαδα. ὡς γὰρ ἕζω ἑδῶ, πιέζω πιεδῶ καὶ πεδῶ, μύζω μυδῶ, οὕτως χάζω χαδῶ, καὶ ἔχαδε δεύτερος ἀόριστος.

119a Οὐλαμὸς, τὸ πλῆθος τῶν ἀνδρῶν, ἡ τάξις, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ὅθεν καὶ τὰς τρίχας οὐλὰς φασιν. ἰστέον δὲ ὅτι οὐλαμός ἐστι τάξις συνεστηκυῖα ἐκ μ ἀνδρῶν, φάλαγξ δὲ ἀπὸ ρκ ἀνδρῶν, πύργος ἀπὸ γξ. τάξις αὕτη τετραγωνοειδῶς πυκνουμένη. ἡ δὲ στὶξ ἐκ φ. γίνονται δὲ αἱ φάλαγγες παρὰ τὰ φαλαγ-

γία, ὡς φασιν οἱ παλαιοί. οὕτως δὲ παρ' ἐκείνοις ἐκαλοῦντο τὰ ξύλα, ὅθεν αἱ στρατιωτικαὶ φάλαγγες, ἐπεὶ ξύλοις οἱ πάλαι καὶ ῥοπάλοις καὶ κορύναις ἐμάχοντο. διὸ καὶ ἡμεῖς τὰ ἐκ ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν. καὶ μήποτε διὰ τοῦτο καὶ τὰ ἐν τοῖς δοκοῖς τῶν οἴκων τεχνουργοῦντα ἀράχνια φαλάγγια καλοῦμεν. Ἀριστοτέλης δὲ καὶ ἐπὶ δακτύλοις τὴν λέξιν τίθησιν, οὗ τὸ μὲν καμπτικὸν φησι κόνδυλος, τὸ δὲ ἄκαμπτον κόνδυλος.

Οὐλομένην μῆνιν σημαίνει τὴν ὀλεθρίαν. ἔστι δὲ μετοχὴ ἀπὸ τοῦ οὐλόμενος. ἢ ἀπὸ τοῦ οὖλος ὁ ὀλέθριος γίνεται οὐλῶ οὐλήσω. μετοχὴ δὲ εἶπεν ἀντὶ ὀνόματος. ἀλλὰ καὶ Ἡσίοδος ἔλαβεν τὴν χρῆσιν οὐλομένην πενίαν εἰπών. ἢ ἀπὸ τοῦ ὀλέω ὀλῶ τὸ ὀλέσω ἡ παθητικὴ μετοχὴ τοῦ θηλυκοῦ ὀλομένη καὶ ὑπερβιβασμῷ τοῦ υ οὐλομένη. ἢ ἀπὸ τοῦ ὄλλω τὸ ἀπολύω καὶ πλεονασμῷ τοῦ υ. καὶ ἔστι μετοχὴ ἀντὶ ἐπιθετικοῦ ὀνόματος τοῦ ὀλοή, ὡς καὶ τοὐναντίον ἐστὶν εὑρεῖν ὄνομα ἀντὶ μετοχῆς, οἷον ψάμμω κυανέη ἀντὶ τοῦ κυανιζούσῃ.

Οὐμός. σημείωται ὅτι Ἀπολλώνιος φησὶ ἐν τοῖς πνεύμασι τὴν δασεῖαν ἐπικρατεῖν, ὁ ἐμὸς οὑμός, ἃ ἔπαθον ἄπαθον. καὶ ὅτι φησὶ τὸ ὠπόλος δασυνόμενον καὶ ψιλούμενον συναλήλιπται.

Οὕνεκα σύνδεσμος αἰτιολογικὸς σχήματος ἁπλοῦ. ἔχει δὲ ἔννοιαν σύνθετον ἀντὶ τοῦ οὕτινος ἕνεκα τούτου χάριν. τὸ δὲ τοὔνεκα ἐστὶ σύνδεσμος ἀνταποδοτικός.

Οὐρανόθι ἔστιν ἐπίῤῥημα τοπικόν. το νο μικρόν. τὰ εἰς θι ἐπιῤῥήματα τὴν παραλήγουσαν θέλουσι φυλάσσειν τῶν διὰ τοῦ οθεν, οἷον ιλιόθεν ιλιόθι, ὅθεν ὅθι, αὐτόθεν αὐτόθι, καὶ συγκοπῇ αὖθι. οὕτως καὶ οὐρανόθεν οὐρανόθι. ἢ ὅτι τὰ εἰς θεν 119b ἐπιῤῥήματα παραγωγὴν τὴν τῶν πρωτοτύπων φυλάττουσι γραφήν, οἷον ἠὼς, τοῦτο κατὰ παραγωγὴν ἠῶθεν καὶ ἠῶθι, ἕως ἕωθεν.

Ὀρήων, τῶν φυλάκων, ἐκ τοῦ οὖρος ὁ φύλαξ, οὐρεὺς οὐρῆος.

Οὔ σε ἔοικεν. αἱ ἐγκλινόμεναι ἀντωνυμίαι διαφέρουσι τῶν ὀρθοτονουμένων, ὅτι αἱ μὲν ὀρθοτονούμεναι διαστολὴν ἔχουσιν ἑτέρου προσώπου, οἷον ἐμοὶ ἔδωκε καὶ οὐκ ἄλλῳ, ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. αἱ δὲ ἐγκλινόμεναι ἀπόλυτα πρόσωπα δηλοῦσιν, ὡς σεο νῦν ἔραμαι.

Οὐσία. ὡς παρὰ τὸ γέρων γερούσιον καὶ γερουσία καὶ ἑκὼν ἑκούσιος ἑκουσία, οὕτως καὶ παρὰ τὴν ὢν μετοχὴν ὑπάρξεως οὖσαν σημαντικὴν οὔσιος οὐσία τὸ θηλυκόν, ἡ οὖσα καὶ ὑπάρχουσα ἀεί. ἢ οὖσα ἐστὶν ἡ ὑπάρχουσα καὶ πλεονασμῷ τοῦ ῑ οὐσία. ἢ παρὰ τὸ ἴσος ἰσία καὶ τροπῇ τοῦ ῑ εἰς ῡ καὶ πλεονασμῷ τοῦ ο οὐσία.

Οὔτά με Τυδέος υἱός. ἀντὶ ἔτρωσκέ με, ἀπὸ τοῦ οὐτάζω οὐτάσω, ὁ ἀόριστος οὔτασα, τὸ τρίτον οὔτασε καὶ κατὰ ἀποκοπὴν οὖτα.

Οὐτάμενος. παρὰ τὸ οὐτῶ παράγωγον εἰς μι οὔτημι, τὸ παθητικὸν οὔταμαι, ἡ μετοχὴ οὐτάμενος. ἢ ἀπὸ τοῦ οὐτάζω ὁ παθητικὸς παρακείμενος οὔτασμαι, ἡ μετοχὴ οὐτασμένος καὶ ἀποβολῇ τοῦ σ οὐτάμενος. προπαροξύνεται δὲ ὑπὸ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπειδὴ αἱ τοιαῦται μετοχαὶ προπαροξύνονται, ἱστάμενος, κιχράμενος. ὁ γὰρ ποιητὴς τῷ χαρακτῆρι μᾶλλον τοῦτο προσνέμει. ἢ ὅτι καὶ ὑφαίρεσις τοῦ σ ἀναδρομὴν ἐπεργάζεται τοῦ τόνου. οὕτως ἀπὸ τοῦ ἑλῶ ἥλακα καὶ ἐλήλακα ὁ ἀττικὸς παρακείμενος, ὁ παθητικὸς ἥλασμαι καὶ ἐλήλασμαι, ἡ μετοχὴ ἠλασμένος καὶ ἐληλασμένος, καὶ ἀποβολῇ τοῦ σ ἐληλάμενος. μετὰ γὰρ τὴν ἀποβολὴν παροξύνεται καὶ συνέπεσε χαρακτῆρι τῶν διὰ τοῦ αμενος, ἱστάμενος, πριάμενος.

120a Οὐτάσαι καὶ οὐτάναι ἀπαρέμφατον, καὶ τὸ μὲν οὐτάσαι ἀπὸ τοῦ οὐτάζω, τὸ δὲ οὐτάναι ἀπὸ τοῦ οὔτημι.

Οὖτα οὐ δευτέρας ἐστὶ συζυγίας, ἀλλ' ἐκ τοῦ οὐτάζω γίνεται, οὗ ὁ ἀόριστος οὔτασα, τὸ τρίτον οὔτασε καὶ κατὰ ἀποκοπὴν οὖτα. διὸ καὶ συστέλλει παρὰ τῷ ποιητῇ τὸ δίχρονον καὶ προπερισπᾶται.

Οὐλομένην Πορφύριος μὲν ὄνομα λέγει σύνθετον ἐκ τοῦ ὀλοὸν καὶ τοῦ μένος, οἱονεὶ τὴν ἔχουσαν οὖλον ἤτοι ὀλέθριον μένος, ἕτεροι δὲ μετοχὴν μέσου ἀορίστου δευτέρου, ἵνα λέγῃ παθητικῶς οὐλομένην ἰωνικῇ ἐπενθέσει τοῦ ῡ τὴν ὀλομένην καὶ ἀξίαν ὀλέσθαι, ὅπερ καὶ οὐλομένη καὶ ἀπολουμένη λέγεται κατὰ χρόνον μέσου δευτέρου ἀορίστου. κατὰ δέ τινας οὐκ ἔστι ἡ λέξις κυρίως παθητικὴ ἐνταῦθα κατὰ τὸ ὀλόμενος καὶ ὀλούμενος, ἀλλ' ἐν μόνῃ φαίνεται φωνῇ· οἳ καὶ καλῶς λέγουσιν. ὅτι γὰρ ἐνέργειαν σημαίνει, δηλοῖ ὁ ποιητὴς ἐπαγαγὼν τὸ ἡ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν, μονονουχὶ λέγων κατὰ λόγον ἐπεξηγήσεως, ὅτι οὐλομένην τὴν μῆνίν φημι, οὐχ ὅτι αὐτὴ ἔπαθέ τι, ἀλλ' ὅτι μάλιστα ἐνήργησεν. ἔθηκε γὰρ ἄλγεα μυρία τοῖς Ἀχαιοῖς.

Οὕνεκα σύνδεσμός ἐστιν αἰτιολογικὸς, γέγονε δὲ ἀπὸ τοῦ οὗ ἕνεκα. διὸ καὶ δασύνεται παθὸν ἔκθλιψιν τοῦ μετὰ τὴν καταρχὴν δευτέρου φωνήεντος, ὡς καὶ μή ἐστι μή 'στι καὶ ἄλλα πολλά.

Οὐτιδανὸς πλεονασμός ἐστι τοῦ δ̄, ὥσπερ καὶ ἐν τῷ πολυδίψιον Ἄργος. ἐχθοδοπὸς μὲν γὰρ ἐκ τοῦ ἔχθω καὶ τοῦ ὄπτω, ἢ τοῦ ὄψ ὀπὸς, ἵνα ᾖ ἐχθροπὸς, ὃν μισοῦμεν καὶ βλέποντες, ἢ προσφωνοῦντες. οὕτω δὲ καὶ τὸ κνώδαλον εἴτε ὑπὸ κυνῶν ἁλίσκεται εἴτε κνώσσει ἐν τῇ ἁλὶ, πλεονασμὸν ἔχει τοῦ δ̄, ὡς καὶ ἡ ἄχερδος, ἧς οὐκ ἔστι χειρὶ ἅψασθαι διὰ τὸ ἀκανθῶδες καὶ τὸ ἀπὸ τοῦ ὕω γιγνόμενον ὕδωρ καὶ τὸ ἀνέρος ἀνδρὸς καὶ ἕτερα. ἐν οἷς καὶ τὸ ἀμαλδύναι, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, καὶ ἡ πίδαξ ἀπὸ τοῦ ποιεῖν γινομένη. ἴσως δὲ καὶ ὅλη ἡ δα συλλαβὴ πλεονάζει ἐν τῷ οὐτιδανός.

120b Οὖατα πρωτότυπόν ἐστι τοῦ ὦτα. ἐκεῖθεν γὰρ τὸ ὦτα κατὰ ἔκθλιψιν καὶ κρᾶσιν. οὕτω δὲ καὶ τὸ ὣς ἐκ τοῦ οὗας, ἀφ' οὗ παρὰ τοῖς παλαιοῖς ἑτεροῦας ὁ μόνωτος. εὔλογος δὲ πάντως κἀνταῦθα καὶ ἀπέλευσις τοῦ υ στοιχείου, ὡς καὶ ἐν τῷ τοὺς Μενελάους τοὺς Μενέλεως, πλὴν ἐκεῖ μὲν διὰ μόνην καλλιφωνίαν, ἐπὶ δὲ τοῦ οὔατα ὦτα διὰ εὐύδωσιν κράσεως. εἴη δὲ ἂν διὰ τὰ ῥηθέντα οὔατα ὠτῶ, ἐν τὸ τοῦ Νέστορος δέπας, ὥς που καὶ λέβητες ὠτώεντες, ἔτι δὲ καὶ οὐατῶεν, καθὰ καὶ Σιμωνίδης, οὐατώεντα σκύφον. οὕτω δὲ πάντως καὶ θὴρ οὐατώεις.

Οὐχ ἅπτομαι πότερον ἀπὸ τῆς οὐ ἀρνήσεως γέγονεν, ἢ ἀπὸ τοῦ οὐχί; λέγομεν ὅτι οὐκ ἀπὸ τοῦ οὐχί. οὐδὲ γὰρ ἔχει ἀπόστροφον. καὶ τοῦτο δῆλον καὶ ἐξ ἑτέρου ῥήματος, οὐκ ἔρχομαι, οὐκ ἄγω. εἰ γὰρ ἀπὸ τοῦ οὐχὶ αἱ συνθέσεις ἐγίνοντο, ἅτρεπτον ἂν τὸ χ ἐφυλάσσετο. ψιλὴ γὰρ οὐ δύναται μεταβαλεῖν τὸ δασὺ εἰς ψιλὸν, ὡς ἀμφ' ἐμοί, ἡ δὲ δασεῖα μᾶλλον τὸ ψιλὸν μεταβάλλει πρὸς δασύ, οἷον ταῦθ' οὕτως ἔχει. δῆλον οὖν ὅτι ἐκ τῆς οὐ ἀρνήσεως μᾶλλον τὰ ῥήματα συντίθεται καὶ πλεονάζει τὸ κ διὰ τὸ ἐπάλληλον τῶν φωνηέντων μεταβαλλόμενον, ὁπηνίκα δασύνεται τὸ ῥῆμα ὡς τὸ οὐχ ὁρῶ. ἄτοπον οὖν εἰ τὸ μὲν οὐκ ἄγω ἐκ τοῦ οὐ συντίθεται, τὸ δὲ οὐχ ἅπτομαι ἐκ τοῦ οὐχί. ὤφειλε γὰρ λέγεσθαι οὐχ ἔρχομαι. ἰστέον δὲ ὅτι καὶ τοῦτο τὸ σύμφωνον προσελθὸν διὰ τὸ ἐπάλληλον τῶν φωνηέντων τῇ κατὰ συλλαβῇ ἀκολούθη, διιστάμενον τῆς οὐ ἀρνήσεως. οὕτως εὗρον ἐγὼ εἰς τὰς ἀπορίας καὶ λύσεις Εὐλόγου σχολαστικοῦ.

30 Οὐ. τὸ οὐ ἐπιῤῥῆμά ἐστιν ἀρνήσεως, τὸ δὲ κ πλεονάζει διὰ τὴν χασμῳδίαν, καὶ ὅτι ψιλὰ ψιλῶν ἡγεῖται, δασέα δασέων, δῆλον καὶ ὅτι ἡ οὐκ ἄρνησις συντιθεμένη ἑτέρᾳ λέξει τῇ ἀπὸ φωνήεντος ἀρχομένῃ, ψιλουμένης μὲν αὐτῆς πλεονάζει τὸ κ, ὡς τὸ οὐκ ὀνοστὰ καὶ οὐκ ἐπιεικτὸν ἀντὶ τοῦ οὐχὶ ὑποχωροῦν

τινὶ, οὐ νικώμενον, δασυνομένης δὲ πλεονάζει τὸ χ̄, ὡς τὸ οὐχ οὕτως. ἔστι δὲ ἐπίῤῥημα μεσότητος. 121 a

Οὐχί. τὸ οὐχὶ κατ' ἐπέκτασίν ἐστι τῆς χι συλλαβῆς ἐκ τῆς οὐ ἀρνήσεως. ἢ καὶ κατὰ πλεονασμόν. τὸ δὲ οὐκὶ κατὰ πλεονασμὸν καὶ μόνον καὶ οὐ κατ' ἐπέκτασιν. αἱ γὰρ ἐπεκτάσεις διὰ δασέων γίνονται καὶ οὐ διὰ ψιλῶν οὐὶ καὶ οὐχὶ καὶ οὐκὶ σημαίνει τὸ οὐδαμῶς, καὶ ἔστιν ἐπίῤῥημα ἀρνήσεως. καὶ οἱ Ἴωνες ἀντὶ τῶν δασέων χρῶνται τοῖς ψιλοῖς. τὸ δὲ οὐχὶ παράλογόν ἐστι κατὰ τὸν τόνον. ὤφειλεν γὰρ βαρύνεσθαι ὡς ναῖχι, ἦχι. ἐπεὶ δὲ παραλόγως ὀξύνεται πρὸ τῆς ἐπεκτάσεως, τούτου χάριν παραλόγως ὀξύνεται καὶ μετὰ τὴν ἐπέκτασιν. τὰ δὲ εἰς φι καὶ χι λήγοντα ἐπιῤῥήματα συνεσταλμένον ἔχοντα τὸ ῑ βαρύνεται, οἷον νόσφι ἶφι ναῖχι ἦχι. ὅθεν καὶ τὸ πρῶϊ ἀναλογώτερόν ἐστι παρὰ τῷ ποιητῇ πρῶϊ δ' ὑπ' ἠοῖ. τὸ δὲ χωρὶς ἀποβάλλον τὸ σ̄ διὰ τὸν κανόνα βαρύνεται καὶ γίνεται χῶρι. πρόσκειται συνεσταλμένον ἔχοντα τὸ ῑ διὰ τὸ δευρὶ νυνὶ καὶ κεῖ. ἔστι δὲ μίμημα φωνῆς χοίρων. ἐχρήσατο Ἀριστοφάνης τῇ λέξει. τὸ ἄρι καὶ ἐρι ἐπιτατικὸν ἐπίῤῥημα συνεσταλμένον ἔχοντα τὸ ῑ καὶ μὴ βαρυνόμενα οὐκ ἀντίκεινται ἡμῖν. οὐ γὰρ εὑρίσκεταί ποτε αὐτὰ καθ' ἑαυτὰ, ἀλλ' ἐν συνθέσει. τὸ δὲ οὐχὶ ὤφειλε βαρύνεσθαι. ἀλλ' ἐπειδὴ ἐκ τῆς οὐ ἀρνήσεως γέγονε κατ' ἐπέκτασιν τῆς χι, παραλόγως ὀξύνεται καὶ μετὰ τῆς ἐπεκτάσεως.

Ὄφελες ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον, ὡς δὴ μὴ ὄφελες νικᾶν. ὡς μ' ὄφελ' Ἕκτωρ κτεῖναι. μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα. γράφεται καὶ μέγα καὶ μικρόν. Καλλίμαχος δὲ ἐπ' εὐκτικοῦ, ὄφελον μὴ δ' ἐλύοντο θοαὶ νῆες. ὅταν δὲ ο̄ ἔχει ἀπαρέμφατον μέγα, ὤφελον ποιῆσαι.

Ὄφελον. κανών ἐστιν ὁ λέγων ὅτι τὸ ὄφελον ἀδιάπτωτόν ἐστιν ἀπαρεμφάτῳ συντασσόμενον καὶ οὐκ

ἄλλῃ τινὶ ἐγκλίσει. σημαίνει δὲ δύο ἔστιν εὐχῆς σημαντικὸν καὶ ῥῆμα.

Ὄφελος ἄκλιτόν ἐστι. τὰ γὰρ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς οὐκ εἰσὶν οὐδέτερα, οἷον ἔγκελος 121b ἄμπελος. τὰ δὲ διὰ τοῦ ελος οὐδέτερα δισύλλαβά εἰσιν, οἷον μέλος τέλος ἔλος βέλος. ἐπεὶ οὖν ὑπὲρ δύο συλλαβάς ἐστι καὶ οὐδέτερον, ὡς μὴ ἔχον τι μιμήσασθαι, ἔμεινεν ἄκλιτον.

Ὀφέλλω σημαίνει τὸ αὔξω καὶ διαβάλλω, ἐξ οὗ πλεονασμῷ τοῦ ι γίνεται ὀφείλω, ὅθεν καὶ τὸ ὀφείλημα τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον.

Ὄφλω τὸ χρεωστῶ, καὶ γίνεται κατὰ συγκοπὴν ἀπὸ τοῦ ὀφείλω. ὅθεν καὶ βαρύνεται.

Ὄχα σημαίνει τὸ ἐξέχως. γίνεται ἀπὸ τοῦ ἐξέχω ἐξοχος. τὸ οὐδέτερον ἔξοχον, ἡ εὐθεῖα τῶν πληθυντικῶν ἔξοχα καὶ ἀφαιρέσει τῆς ἐξ προθέσεως ὄχα, ἐπίῤῥημα ὀνομαστικόν.

Ὀχέων. ὀχεὺς ἐστὶν ὁ συνέχων καὶ σφίγγων τὴν περικεφαλίαν ἱμὰς, ἀπὸ τοῦ συνέχειν, παρὰ τὸ ἔχειν ὀχεὺς, ἢ παρὰ τὸ ὀχεύω ὀχεύσω ὀχεὺς, ἀποβολῇ τοῦ ω, ὡς ἱππεύω ἱππεύς. σημαίνει καὶ τὸν τῆς θύρας μοχλὸν ἀπὸ τῆς αὐτῆς ἐννοίας. λέγεται δὲ καὶ ζωστῆρος ὀχῆας, τὴν τοῦ θώρακος ζώνην.

Ὄχεσφι. ἰστέον ὅτι ὁ μὲν Δίδυμος τὸ ὄχεσφι καὶ ὄρεσφι. λέγει δὲ γεγονέναι ἀπὸ τῆς ὄχεσι καὶ ὄρεσι δοτικῆς τῶν πληθυντικῶν κατ' ἐπένθεσιν τοῦ φ. ὁ δὲ Τρύφων ἐναντιοῦται αὐτῷ λέγων ὅτι οὐ δύναται ἀπὸ δοτικῆς γενέσθαι, ἐπειδὴ γενικῆς σημασίαν ἐπέχουσιν. τὸ γὰρ κατ' ὄρεσφιν ἀντὶ τοῦ ἐκ τοῦ ὄρους καὶ τὸ ὄχεσφιν ἀντὶ τοῦ ἐκ τοῦ ἅρματος. σχηματίζει δὲ αὐτὰ οὕτως ὥσπερ ἀπὸ τοῦ θεόφατον γίνεται θέσφατον τὸ ἐκ θεοῦ λεχθὲν, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ὄρεος καὶ ὄχεος γενικῆς γίνεται ὀχέοσφι καὶ ὀρέοσφι πλεονασμῷ τῆς φι καὶ κατὰ συγκοπὴν τοῦ ο ὄχεσφι καὶ ὄρεσφι. οὕτως Ἡρωδιανός.

Ὄχεῖον. ὄχημα, ἢ τόπος εἰς ὀχεῖαν ἐπιτήδειος. ὀχεῖα δὲ παρὰ τὸ ὀχεύω.

Ὄχθαι, τὰ χείλη τοῦ ποταμοῦ τὰ ἐξέχοντα, παρὰ τὸ ἔχω ὄχος, τὸ θηλυκὸν ὄχη, καὶ πλεονασμῷ τοῦ θ ὄχθη. σημαίνει καὶ τὸ ἀνάστημα τῆς γῆς ὡς τὸ αὐτὸ ὁδιόγενες δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ εἴρηται ἀπὸ τοῦ ἐξέχειν. 122 a

Ὀχθήσας, δεινὰ παθήσας, στενάξας, παρὰ τὸ ἄχθω βαρύτονον, ἀφ' οὗ περισπώμενον ἄχθῶ ἀχθήσω ἀχθήσας, καὶ τροπῇ τοῦ ᾱ εἰς ο ὀχθήσας. σημαίνει καὶ τὸν μετεωρισθέντα τὴν ψυχὴν ἀπὸ τῶν ὀχθῶν ἤτοι τῶν ἀναστημάτων τῶν ποταμῶν.

Ὄχλος παρὰ τὸ κλῶ ῥηματικὸν ὄνομα χλός, καὶ πλεονασμῷ τοῦ ο ὄχλος καὶ ὀχλῶ. ἔνθεν καὶ τὸ παρὰ Πινδάρῳ ἐν Ὀλυμπιονίκῃ τριπλόος ὁ κεχλαδώς ἀντὶ τοῦ ὁ πληθύων. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ἕλω τὸ συστρέφω πλεονασμῷ τοῦ χ ἕχλω, ἀφ' οὗ ὄχλος ὁ συνεστραμμένος λαός.

Ὀχοῦμαι μὲν ἐγὼ, ὀχῶ δὲ ἄλλον, ἀντὶ τοῦ ἀναβιβάζω εἰς ὑποζύγιον κατὰ τὸν κωμικόν. οὕτω καὶ ἐπιβαίνω μὲν ἐγὼ, ἐπιβάσκω δὲ ἄλλους ἤγουν ἐπιβαίνειν ποιῶ.

Ὀχλεῦνται ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω, ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω, καὶ τοῦ ὀφρέω τὸ ὀφρίζω, καθὰ προέγνωται. ὀνοματοπεποίηται δὲ τὸ ὀχλεῖν καὶ μιμεῖται ἡ λέξις καχλασμὸν ἠρεμαιότερον τοῦ κελαρύζειν. καὶ τοῦτο μὲν σωφρόνως πέφρασται τῷ ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως ἔφη τὸ πᾶσα λίθος ἀείδει. δῆλον δ' ὅτι ἐκ τοῦ ὀχλεῖν καὶ τοῦ ὄχλου πλεονασμῷ τοῦ μ γίνεται ὁ μοχλὸς, ὡς ἐκ τοῦ ὄχθου καὶ ὀχλικὸν τὸ κοινὸν καὶ πολυτελὲς, οἷον ὑποδοχὰς ἐποιοῦντο καθ' ἡμέραν ὀχλικάς.

Ὀψείοντες, τὸ ὀπτικῶς ἔχοντες, ὥσπερ καὶ κακκείοντες τὸ κοιμητικῶς ἔχοντες, καὶ πολεμησείου-

τες τὸ πολεμικῶς ἔχοντες, οἷον τῷ ῥ' σῖγ' ὀψείοντες. οὕτως Ὅμηρος ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες ἰδεῖν θέλοντες βλέποντες. ἔστι δὲ ἐνεστὼς καὶ παρατατικὸς ἔχων ἔμφασιν μέλλοντος. κλίνεται δὲ μέχρι τοῦ παρατατικοῦ.

Ὄψεσθε Τρῶες Ἕκτορα, ἐνεστῶτά φασιν εἶναι. Ἡρωδιανὸς ἀπὸ τοῦ ὄψομαι γινόμενον μέλλοντος. οὐ γὰρ μαντεύεται αὐτός φησι, ἀλλ' ἀντὶ τοῦ ἴδετε. καὶ πάλιν ἀλλ' ὄψεσθ' ἵνα. οὐκ ἔστι δὲ οὕ-
122b τως, ἀλλὰ μᾶλλον μέλλοντός ἐστιν ἡ σημασία. οὐ γὰρ παροῦσα καὶ ὁρῶσα τὸν Ἕκτορα λέγει ἡ Κασάνδρα. ὄψεσθε γὰρ προσιόντα, ὥστε εἰς θέαν αὐτοὺς προσκαλεῖται. καὶ

ἀλλ' ὄψεσθ' ἵνα τώγε καθεύδετον ἐν φιλότητι.

προσκαλεῖται γὰρ θεοὺς εἰς θέαν, ὡς εἴ τις λέγοι, δεῦτε καὶ ἀκούσασθε, δεῦτε καὶ ὄψεσθε. ἢ ὅτι οὐδὲ τὸ ψ ἐστὶ χαρακτηριστικὸν τοῦ ἐνεστῶτος. οὐκ ἄρα ἐστὶν ἐνεστὼς, ἀλλὰ προστακτικὸς μέσος ἀόριστος, ὄψαι ὀψάσθω ὄψεσθε ὀψέσθωσαν. οὕτως Ζηνόβιος.

Οὐδενόσωρα, τὰ οὐδεμιᾶς φροντίδος ἄξια, ὡς κυνόσωρα τὰ κυνὸς φροντίδος ἄξια. ὑφὲν δὲ καὶ κατὰ σύνθεσιν. ἡ καὶ σπανία ἡ τοιαύτη σύνθεσις ἐκ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς. αἱ ξέναι δὲ αὗται συνθέσεις ποιητῶν τολμήματα. καὶ γὰρ οὐκ
25 ἔχει τι ἕτερον μιμήσασθαι. τὸ γὰρ ἑκκαιδεκάδωρα πρῶτόν ἐστιν ἑκκαίδεκα, καὶ οὕτω τὰ δῶρα προσελθὼν ἐγένετο ἑκκαιδεκάδωρα. λέγει δὲ Ἡρωδιανὸς ἐκ τῆς οὐ ἀποφάσεως καὶ τῆς δενὸς γενικῆς καὶ τοῦ ὥρα ἡ φροντίς.

Π.

30 Παγιωθεὶς, ἑδραιωθεὶς, ἀπὸ τοῦ παγιῶ. τοῦτο παρὰ τὸ πήσσω τὸ πηγνύω πήξω, ὁ δεύτερος ἀόριστος ἔπαγον, ἐξ οὗ πάγιος ὁ πεπιγμένος καὶ ἑδραῖος.

ἐκ δὲ τοῦ ἔπαγον ὁ παθητικὸς δεύτερος ἀόριστος ἐπάγην καὶ μετοχὴ ὁ παγείς.

Παγκρατιαστής. παγκράτιον τὸ πένταθλον, ἡ πυγμὴ, δρόμος, δίαλμα, δίσκος καὶ πάλη. παγκρατιαστὴς δὲ ἀθλητὴς πύκτης. πάγκρατον δὲ ἀγὼν ἄθλησις πυγμή.

Παιπαλόεντος. τοῦ τραχέος, κατὰ πλεονασμὸν τοῦ π, παρὰ τὴν ἄλλην διὰ τὸ σκολιότατον ἔχειν. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἐπαλήματα τὰ μεγάλα ἀλήματα, ἢ παρὰ τὸ αἶπος, ὃ σημαίνει τὸ μέγα καὶ τραχύ, αἰπαλόεν, καὶ κατὰ ἀναδιπλασιασμὸν παιπαλόεν.

Παιφάσσουσα, ἐνθουσιωδῶς ὁρμῶσα ἐπὶ τῆς Ἀθηνᾶς. ἐπὶ δὲ τούτῳ ὅτε λέγει πολεμίζειν οὐκ εἴασκον οὐδ' ἐκπαιφάσσειν ἀντὶ τοῦ οὐκ εἴων αὐτόν φησιν ἐκφανῆ ἑαυτὸν καὶ περιφανῆ ποιεῖν τοῖς Θηβαίοις, ἀλλ' ἐν τῷ τοῦ ἀγγέλου σχήματι μένοντα συνευωχεῖσθαι. αὐτὸς δὲ τῇ ἐμφύτῳ αὐτοῦ ἀνδρείᾳ ἐκφερόμενος προσεκαλεῖτο τοὺς Θηβαίους. ἔστι ῥῆμα φῶ τὸ φαίνω παράγωγον φάσσω, κατὰ ἀναδιπλασιασμὸν παφάσσω καὶ προσθέσει τοῦ ι παιφάσσω. οὐ γὰρ ἁρμόζει τὸ ἐνθουσιᾶν. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ἄλλη καὶ ἄλλη περιάγειν τὰς ὄψεις. 123 a

Παλιμπετὲς τὸ ἀπισθόρμητον, παρὰ τὸ ἔμπαλιν εἰς τὸ ἐναντίον πεσεῖν, ἐκ τοῦ πάλιν καὶ τοῦ πέτω τοῦ σημαίνοντος τὸ πίπτω.

Παλάσσετο, ἐμολύνετο, ἐβρέχετο, ὡς καὶ παλάσσετο δ' αἵματι θώρηξ. ἀπὸ τοῦ πάλλω τὸ βρέχω γίνεται παλάσσω τὸ μολύνω. τὸ δὲ πάλλω παρὰ τὸ ἅλλω τὸ πηδῶ. ἐν γὰρ τῇ βροχῇ ἅλλονται τὰ ὕδατα ἐκ τῆς γῆς.

Παλίνορσος. παρὰ τὸ ὄρω τὸ διεγείρω, ὅθεν τὸ ἐξῶρτο θεῖος ἀσιδός, γίνεται ὄνομα ῥηματικὸν ὀρτὸς καὶ παλίνορτος, τροπῇ παλίνορσος. ἔδει διὰ τοῦ τ οὐ διὰ τοῦ σ γράφεσθαι, ἵν' ᾖ ὁ πάλιν ἀνωρμημένος. σημαίνει δὲ τὸ ὀπισθόρμητος ἐκ τοῦ

πάλιν τοῦ σημαίνοντος τὸ εἰς τοὐπίσω καὶ τοῦ ὄρσου αἰολικοῦ μέλλοντος.

Παλιμπλαχθέντα. ἰστέον ὡς ἐὰν ἐν συνθέσει ἓν μέρος λόγου ἐστὶ διὰ τοῦ μ γράφεται· εἰ δὲ ἐν παραθέσει, διὰ τοῦ ν. λέγουσί τινες ὅτι ἐν παραθέσει ἐστὶ τὰ σημαντικὰ ἐπιῤῥήματα μετὰ τῶν ῥημάτων καὶ τῶν μετοχῶν ἐν παραθέσει παραλαμβάνεται. οἷον ἔστι χῶ, ἐξ οὗ καὶ τὸ ἀχῶμαι μετὰ τοῦ στερητικοῦ α. ὁ γὰρ λυπούμενος οὐκ ἔστι χωρητικὸς τῆς λύπης. εἰ ἄρα οὖν τὸ πάλιν σημαντικόν ἐστι δηλονότι μετὰ τῆς πλαχθέντος γενικῆς ἐν παραθέσει ἐστί. τινὲς δὲ λέγουσιν ὅτι ἐν συνθέσει ἐστὶν, λέγοντες ὅτι τὸ πάλιν ἐν παραθέσει μὲν ὂν σημαίνει τὸ ἐκ δευτέρου, οἷον πάλιν ἔγραψα, πάλιν ἦλθον, ἀντὶ τοῦ ἐκ δευτέρου. ἐν συνθέσει δὲ ὂν σημαίνει τὸ εἰς τοὐπίσω, οἷον
123b παλίσσυντος ὀπισθόρμητος. ἐὰν οὖν τὸ παλίμπλακτος λαμβάνεται ἐν παραθέσει εὑρίσκεται σημαῖνον τὸν ἐκ δευτέρου πλανηθέντα, ὅπερ ἐστιν ἄτοπον. ὁ γὰρ ποιητὴς οὐκ οἶδεν οὐδὲ ἅπαξ τοὺς Ἕλληνας πλανηθέντας. τὴν γὰρ πλάνην τῆς Μυσίας ἀγνοεῖ. ἔστι δὲ εἰπεῖν ὅτι κακῶς λέγεται. οὐδέποτε γὰρ λέξις ἄλλο σημαινόμενον ἔχει ἐν παραθέσει οὖσα καὶ ἄλλο ἐν συνθέσει, ἀλλὰ πάντως τὸ αὐτό. αἱ γὰρ συνθέσεις φυλάττουσι λείψανόν τι τῆς σημασίας τοῦ ἁπλοῦ, οἷον καλῶς γράφω καλλιγράφω. πῶς οὖν δύναται τὸ πάλιν ἄλλο καὶ ἄλλο σημαίνειν; ἄλλως ἐστὶ τὸ πάλιν καὶ ἐν ταῖς παραθέσεσι καὶ ἐν ταῖς συνθέσεσι δύο σημασίας ἔχειν. σημαίνει γὰρ ἐν ταῖς παραθέσεσι καὶ τὸ ἐκ δευτέρου καὶ τὸ εἰς τὸ ὀπίσω, καὶ ἐν ταῖς συνθέσεσιν ὡσαύτως. σημαίνει καὶ τὸ ἐκ δευτέρου καὶ τὸ εἰς τὰ ὀπίσω. λέγουσιν οὖν ὅτι τὸ παλιμπλαχθέντας ἐν συνθέσει ἐστί. καὶ γὰρ ὁ ποιητὴς ἔθος ἔχει τὰς συνθέτους λέξεις διαλύειν, οἷον κηρεσσιφορήτους οὓς κῆρες φορέουσι γρηὸς πυκιμήδεος. εἶτα διαλύων τὴν σύνθεσιν ἐπιφέρει πυκινὰ φρεσὶ μηδ' ἐχούσης. εἰ ἄρα οὖν τὸ παλιμπλαχθέντας διέλυσεν

εἰπὼν ἄψ ἀπονοστήσας, δηλονότι ἐν συνθέσει ἐστίν.

Παμφαίνῃσιν, ἔχῃσι καὶ τὰ τοιαῦτα ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. ἔστι γὰρ ἐὰν παμφαίνω, τὸ τρίτον ἐὰν παμφαίνῃ, καὶ λοιπὸν κατ' ἔκτασιν τῆς σι συλλαβῆς παμφαίνῃσι καὶ ἔχῃσι. ἤ ἐστι φαίνω φαίνεις φαίνει, διαλέκτῳ δὲ Ῥηγίνων γράφεται τὸ τρίτον πρόσωπον διὰ τοῦ ῃ μετὰ τοῦ ῑ καὶ πλεονασμῷ τῆς σι συλλαβῆς. τὸ γὰρ νοεῖ καὶ φιλεῖ νοῇσι καὶ φιλῆσι ἐκεῖνοι λέγουσιν. οὕτως καὶ τὸ παμφαίνῃσιν ἐν Ἰλιάδος ε.

Παμφαλᾶν σημαίνει τὸ ἐπιφέρεσθαι καὶ ἐπιβλέπεσθαι πάντη, οἷον πόλλ' ἐπιπαμφαλόωντες ὁμοῦ εἴρηται παρὰ τὸ τὰ φάη ὧδε κἀκεῖσε ἄλλεσθαι, φαῶ παμφαῶ, καὶ πλεονασμῷ τοῦ λ παμφαλῶ.

Πάμπαν ἀντὶ παντελῶς, ἀπὸ τοῦ πᾶν κατὰ ἀναδιπλασιασμὸν πάμπαν.

Πὰν φάν τις ὧν διὰ τὸ ἐπιφαίνεσθαι ἀκαί- 124 a
ρως τοῖς ἐνθουσιῶσι, καθ' ὃν λόγον καὶ τὸν φανὸν πανὸν λέγουσι διὰ τὸ ἐπιφαίνειν.

Πανέφθου κασσιτέρου φησὶν Ἡσίοδος ἐν ἀσπίδι ἀντὶ τοῦ ἐψητοῦ καὶ διαλυμένου καὶ ὕγρου τὴν φύσιν, παρὰ τὸ ἐψῶ ἐψήσω ἐψητὸς, ὡς ἀγαπῶ ἀγαπήσω ἀγαπητὸς, καὶ τροπῇ τοῦ π εἰς φ καὶ τοῦ τ εἰς θ καὶ συγκοπῇ ἐφθὸς, καὶ ἐν συνθέσει πάνεφθος. καὶ ποῖον π τρέπεται εἰς τὸ φ; ἐπειδὴ τὸ ψ ἐκ τοῦ π καὶ σ σύγκειται, διαλύεται πάλιν εἰς αὐτὰ καὶ γίνεται ἑπσητὸς καὶ τρέπεται τὸ π εἰς φ καὶ τὸ τ εἰς θ καὶ συγκοπῇ. ὁ δὲ Ἡρωδιανὸς ἀπέφθου φησὶν ἀπὸ τοῦ ἐφθός.

Πανήγυρις ἑορτὴ, συνάθροισις. ἐκ τοῦ ἀγείρω ἀγορὰ ἄγορις αἰολικῶς ἄγυρις, καὶ ἐν συνθέσει καὶ τροπῇ τοῦ α εἰς η πανήγυρις, εἰς ἣν πάντες ἀγείρονται.

Πανόψιον ἔγχος, Ἰλιάδος φ. Ἀρίσταρχος τὸ οἱονεὶ πανόρατον καὶ ἐπιφανὲς καὶ λαμπρόν. δύναται

δὲ καὶ τὸ πάντων τελευταῖον ἀκούεσθαι, ἵνα ὀψὲ ἔγκειται καὶ μὴ ἐπὶ τοῦ ἔγχους τοιούτως δεχώμεθα, ἀλλὰ τοιούτως νοῶμεν. τὸ δὲ πάντων ἔσχατον αὐτὴ τὸ ἔγχος λαβοῦσα ἐπ' ἐμὲ ὦσας.

Πανομφαίῳ Ζηνὶ Ἰλιάδος Θ̄, πάσης φήμης καὶ κληδόνος ἀκούοντι. οὐκ ἔστι δὲ καθόλου ἐπίθετον ὁ πανομφαῖος ὁ κληδόνιος καὶ πᾶσης κληδόνος παραίτιος, ἀλλ' ἅπαξ ἐνταῦθα ἀπὸ τοῦ ὁμφὴ ὁμφαῖος.

Παννύχιον ἐπιῤῥήμα μεσότητος ἀντὶ τοῦ παννυχίου. ὄνομα γὰρ ὂν μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν, ὡς τὸ ἥδιστα, ἥκιστα, ἐκ τοῦ νὺξ νυχὸς νύχιος καὶ παννύχιος.

Πανσαγία. ἡ πανοπλία καὶ ἴσως ἀπὸ τοῦ σάκους εἴρηται, ὡς φησὶ Σέλευκος.

Παρσυδίη ἐπιῤῥήμά ἐστιν ἀθροίσεως παμπληθεί. ἔστι καὶ πανσυδίη μετὰ τοῦ ν̄, παντὶ τῷ πλήθει, πανστρατιᾷ, παρὰ τὸ ὁμοῦ σεύεσθαι καὶ εὔεσθαι 124b *ἤγουν ὁρμᾶν καὶ ἔπεσθαι, σὺν τῷ ῑ̄. τὰ δὲ εἰς η̄ καθαρὰ ἐπιῤῥήματα ὁμοίως ταῖς δοτικαῖς προσγεγραμμένον ἔχουσι τὸ ῑ̄, πάντῃ ἄλλῃ ταύτῃ πανσυδίῃ, πλὴν τοῦ νὴ δὴ μὴ καὶ δηλαδὴ τὸ ᾗ ἀντὶ τοῦ ὄντως, κομιδῇ ἀντὶ λίαν, ἡσυχῇ ἀντὶ ἡσύχως, καὶ τὰ ὅμοια, καὶ ἁπλῶς τὰ εἰς η̄ καταλήγοντα ἐπιῤῥήματα προσγεγραμμένον ἔχει τὸ ῑ̄ πλὴν τοῦ νὴ μὴ δὴ, ὡς εἴρηται. ἀλλὰ τὸ μὲν μὴ ἀρνήσεως μόριον, τὸ δὲ νὴ καταμόσεως, τὸ δὲ δὴ σύνδεσμος, τὸ δὲ δηλαδὴ ἐπιῤῥήμα μὲν, ἄλλως ἐκ τοῦ δῆλα καὶ τοῦ δὴ γεγονὸς κἂν τῇ συνθέσει τὸν ἁπλοῦν τόνον φυλάττει καὶ ὡς τοῦ συνδέσμου φυλάττον γνώρισμα οὐδὲ προσγράφεται.*

Παπταίνω σημαίνει τὸ περιβλέπω καὶ περισκοπῶ τῇδε κἀκεῖσε. παρὰ τὸ τὰ φάη πετανύειν γίνεται φαπταίνω καὶ τροπῇ παπταίνω. ἢ ἐστι ῥῆμα πέτω πετῶ καὶ συγκοπῇ πτῶ καὶ παράγωγον πταίνω, ὡς φῶ φαίνω, βῶ βαίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνω τὸ τὰς ὄψεις πάντῃ περιάγω καὶ περιπετᾶσθαι ποιῶ καὶ οἷον πεπταμέναις ἐοικέναι.

Παρὰ πρόθεσις σημαίνει τρία, τὴν ἐντὸς σχέσιν, ὡς ἄνομος παράνομος, λαλῶ παραλαλῶ, εἶπω παρείπω, τὴν πλησιότητα, ὡς τρέχω παρατρέχω, ἔξετο παρέξετο, καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ ὁρμῶ παρορμῶ.

Παρὰ θινὸς ἁλός. ἡ παρὰ τὸ ἔξω θηλονότι, ὡς καὶ παραπλεῖν τὸ ἔξω πλεῖν. αἰγιαλὸς μέντοι κοινῷ εἴρηται ὀνόματι, καὶ ἔστι παρὰ τὸ αἶαν ἔχειν ἐγγὺς ἁλός. ἔχει δὲ διαφορὰς τρεῖς ἀκτὴν ῥηγμῖνα καὶ θῖνα. καὶ ἀκτὴ μὲν ἐστιν πετρώδης αἰγιαλὸς, ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμος αἰγιαλὸς, θὶν δὲ ὁ ἥσυχος καὶ εὐδιὸς αἰγιαλὸς παρὰ τὸ μετὰ γαλήνης καὶ νηνεμίας ἐκεῖσε τὰ κύματα ἀποτίθεσθαι.

Παραβλῶπές τ' ὀφθαλμῷ Ἰλιάδος ῑ ἀντὶ στραβαὶ, παρὰ τὸ βλέψω μέλλοντα ἀποβολῇ τοῦ ω καὶ τροπῇ τοῦ ε εἰς ο καὶ ἐκτάσει βλῶψ καὶ παραβλῶψ, ἐπεὶ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινοὶ φαίνεσθαι προσιᾶσι οἰκτρὰ τὰ σχήματα αὐτῶν καὶ τὰς θέας ἔχοντες.

Παράβυστον, παρακεκρυμμένον, λάθρα γινόμενον, παρὰ τὸ βύω, ὃ σημαίνει τὸ κλείω. σημαίνει δὲ καὶ τὸ πληρῶ Ὀδυσσείας νήματος ἀσκητοῖο βεβυσμένον ἀντὶ τοῦ πεπληρωμένον. ἦν δὲ καὶ παράβυστον δικαιότερον, ὃ λάθρα ἔκρινεν. 125 a

Παραπλῆγες οἱ πεπληγμένοι τύποι καὶ μὴ προσάντεις.

Παραπλὴξ μαινόμενος, παράφρων, τὰς φρένας βεβλαμμένος.

Παραίσια, ἐναντία, ἀτρεπῆ, χαλεπὰ, ἐκτὸς τοῦ αἰδοίου. ἡ γὰρ παρά καὶ τὸ ἔξω σημαίνει.

Παράσημα, τὰ κίβδηλα τῶν νομισμάτων λέγεται τὰ φαῦλα καὶ ἀδόκιμα, παρὰ τὸ κακῶς σεσημάνθαι, ὅ ἐστιν ἐσφραγίσθαι. καὶ παράσημος ῥήτωρ μεταφορικῶς ὁ φαῦλος.

Παραιφάμενος. παραινούμενος, πλεονασμῷ τοῦ ι, ποιητικῶς, παραὶ ποσὶ κάππεσε θυμός. ἔστι καὶ καται πρόθεσις, ὡς παραι κατὰ πλεονασμὸν τοῦ ι.

Παραιτεῖσθαι οὐχ εὕρηται ἐν χρήσει ἐπὶ τοῦ ἀρνεῖσθαι καὶ ἀποβάλλεσθαι καὶ μὴ δέχεσθαι, ἀλλ' ἐπὶ τοῦ αἰτεῖν, ὡς παρὰ Μενάνδρῳ, παραιτοῦμαί σε συγγνώμην, ὡς περιττὴν εἶναι τὴν πρόθεσιν, ὡς ἐπὶ τοῦ καθεύδω. τὸ γὰρ εὕδω δηλοῖ. σπανίως δὲ εὕρηται καὶ ἐπὶ σημαινόμενον τοῦ λεγομένου ἐν τῇ συνθέσει παραιτεῖσθαι παρακαλεῖν συγγνώμην αἰτεῖν.

Παρατρωπῶσι. παρατρέπουσι, παραπείθουσι. τρέπω τρωπῶ, ὡς νέμω νωμῶ, στρέφω στρωφῶ.

Πάρεξ. τὸ παρὲξ παρὰ τὴν παρα πρόθεσιν καὶ τὴν ἐξ, ἥτις δηλοῖ τὸ ἐκτός. βαρύνεται δὲ καὶ ὀξύνεται πρὸς διάφορον σημαινόμενον. τὸ μὲν οὖν βαρυνόμενον σημαίνει τὸ χωρὶς καὶ συντάσσεται γενικῇ, οἷον πάρεξ Ἀπολλωνίου· τὸ δὲ ὀξυνόμενον ἰσοδυναμεῖ τῇ παρά ἢ τῇ ἐξ προθέσει, ἥτις σημαίνει τὴν ἔξω σχέσιν, ὡς παρ' Ὁμήρῳ, παρὲξ ὁδοῦ ἐν νεκύεσσιν. ἀντὶ ἐκτὸς τῆς ὁδοῦ καὶ παρὲξ τὴν νῆσον ἐλαύνεται, ἀντὶ ἐκτός.

Παρακρούεται. ἀπατᾷ, ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, οὐ καταβαλλόντων, ἀλλ' ἐν ὥρᾳ παρακρουόντων ἢ ποδὶ ἢ χειρὶ, καὶ οὐ ῥιπτώντων. ἢ ἀπὸ τῶν ἐν τοῖς ζυγοῖς ἱστώντων, οἳ τοῖς σταθμοῖς παρακρούουσιν, ἵνα ὃ βούλονται μέρος καθέλκῃ βαρυνόμενον τῇ κρούσει. 125b

Παραστησάμενος. ἑλὼν, παραλαβὼν, καταστρεψάμενος. παρεστήσαντό με, ἐνίκησαν, ἐπεὶ οἱ ἡττώμενοι παρίστανται τοῖς νενικόσιν ὡς δοῦλοι δεσπόταις.

Παραφυλακτωρευόμενοι. οἰκοροῦντες παρὰ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐπὶ τῷ συμφέροντι τῶν πολεμίων.

Παρέκνοον ἤγαγεν Ἕκτωρ. Ἰλιάδος κ̄. *ἀντὶ παρηπάτησε τὸν νοῦν, ἐξηπάτησε.*

Παρεβάθην. βίβημι βήσω βέβηκα, ὁ παθητικὸς παρακείμενος βέβαμαι, ὁ παθητικὸς ἀόριστος ἐβάθην καὶ παρεβάθην.

Παρέθρισαν σημαίνει τὸ ἔκοψαν. οἷον

ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα.

ἐκ τοῦ ἀκροστολίου εὐθράστου ὄντος παρέκοψαν, οἱονεὶ παρεκούρευσαν, ἔνθεν τὸ ἀποθρίξασθαι.

Παρέσομαι οὐκ ἀπὸ τοῦ εἶμι γίνεται, ἀλλ' ἀπὸ τοῦ ἔω. εἰ γὰρ ἦν ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι, εἴσομαι ἂν ἦν καὶ παρείσομαι, ἵνα τὴν αὐτὴν ἔχῃ τῷ ἐνεστῶτι παραλήγουσαν.

Παρείατο δακρυχέουσα ἀντὶ τοῦ παρῆν ἡ κόρη δακρύουσα. ἕω τὸ καθέζομαι, τὸ παράγωγον εἶμι, ὁ μέσος ἀόριστος ἕμην ἕσο ἕτο εἵτο, πλεονασμῷ τοῦ ᾱ εἵατο καὶ παρείατο. τὸ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ. τὰ γὰρ εἰς τὸ λήγοντα πληθυντικά εἰσιν, εἰ ἔχει πρὸ τῆς το, ᾱ, πυθοίατο, δευοίατο.

Παρέθειν. παρίημι παρήσω, ὁ παρακείμενος παρεῖκα, ὁ παθητικὸς παρεῖμαι, ὁ ἀόριστος παρείθην καὶ ἀποπτύσει τοῦ ῑ παρέθην. οὕτως ἀφέθην καὶ τὰ παραπλήσια. ἧ ἕω εἴω τὸ ἀπολύω, εἴσω εἶκα εἶμαι εἴθην καὶ ἕθην. ἐκ τοῦ εἶμαι δὲ ὁ ὑπερσυντέλικος εἷ-μην εἶσο, τὸ προστακτικὸν εἶσο εἴσθω καὶ παρείσθω.

Παρήορος ἔνθεν καὶ ἔνθεν, Ἰλιάδος ν̄, *ἀντὶ τοῦ κατὰ πλάτος καὶ κατὰ μῆκος παρηωμένος τῷ σώματι, τουτέστιν ἐκλελυμένος ἐν ἄλλῳ. νῦν δὲ ἀντὶ τοῦ μέγας καὶ παραιωρούμενος, καὶ εἰς μῆκος ἐκτετα-* 126 a *μένος.* ἔστι δὲ ἀμφότερα ἀπὸ τοῦ ἀείρω ῥηματικοῦ ὀνόματος κατὰ ἀποβολὴν τοῦ ῑ ἄορος καὶ μετὰ τῆς παρά καὶ ἐκτάσει τοῦ α εἰς η̄ παρήορος. καὶ Ὅμηρος παρηορίας λέγει τὰς τοῦ παρηόρου ἵππου ἡνίας, ὑφ' ἃς καὶ ὁ τρίτος ἵππος τῇ ξυνωρίᾳ δέδεται. *παρήορος*

λέγεται καὶ ὁ μὴ κατὰ χῶραν ἔχων ἀραρυίας τὰς φρένας, ἀλλὰ ἀμειρουμένας, οἱονεὶ ὁ ἄφρων, παρὰ τὸ ἄρω τὸ ἁρμόζω, καὶ ὁ πεπτωκὼς τῷ σώματι, οἷον τῷ σώματι παραιωρούμενος ἐκ τοῦ ἐκτάσθαι καὶ οἱ ἐκτὸς τοῦ ζυγοῦ παρεζευγμένοι ἵπποι.

Παρηέρθη, παρηνέχθη, παρεκρεμάσθη. ἀείρω ἀερῶ ἦερκα ὁ παθητικὸς παρακείμενος ἦερμαι ἠέρθην, ὡς ἀγείρω καὶ ἀγερῶ ἤγερκα ἤγερμαι ἠγέρθην.

Παρῳρημένην. ἐκβεβλημένην, ἀποκεχωρισμένην καὶ οἱονεὶ καθῳρημένην, ἀπὸ τοῦ αἴρω τὸ καταβάλλω, ὁ παρακείμενος ἦρκα ἦρμαι ἦρμένος ἠρμένη καὶ παρῳρημένην.

Παρέμενος, Πλάτων ἐν ταῖς ἀπολογίαις ἀντὶ τοῦ παραστησάμενος. ἐν δὲ ταῖς πολιτείαις τὸ ἵκταρ ἀντὶ τοῦ ἐγγύς. τὸ ἐπιώψατο ἀντὶ τοῦ ἐξελέξατο. καὶ ἔκρουσε τὴν χεῖρα ἀντὶ τοῦ ἔκοψεν.

Παρίεσθαι. τοῦτο δοκεῖ τὴν τοῦ παραιτεῖσθαι δύναμιν ἔχειν. τοῦτο ὑμῖν δέομαι καὶ παρίεμαι.

Παρομαρτοῦντες. παρακολουθοῦντες ἢ συντυχόντες, ἀπὸ τοῦ ὁρματῶ, οἷον ὁμοῦ ἁρμοσάμενοι.

Πάσασθαι γεύσασθαι. παρὰ τὸ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, ἐξ οὗ πάτνη καὶ φάτνη, ἐν ᾗ ἐσθίουσι τὰ ἄλογα. ὁ μέλλων πατήσω καὶ συγκοπῇ πάσω, καὶ τὰ λοιπὰ δῆλα. ἢ παρὰ τὸ μασσῶ μασσήσω ἐμάσησα καὶ συγκοπῇ ἔμασα καὶ ἔπασα κατὰ τροπὴν καὶ καθεξῆς. ἢ παρὰ τὸ μασάσθαι τροπῇ τοῦ μ εἰς π καὶ ἐναλλαγῇ τοῦ τόνου πάσασθαι.

Πάσσων ὄνομα συγκριτικὸν γίνεται ἀπὸ τοῦ παχὺς, ὡς βραδὺς βραδίων βράσσων, παχὺς παχίων πάσσων πάσσονος.

126b Πάσσονα τὴν εὐπαγεστέραν ἀπὸ τοῦ πήσσω.

Πάσσω σημαίνει δύο, τὸ ἐπιβάλλω καὶ τὸ ἐπιτάττω, καὶ τὸ ποικίλλω. πόθεν δῆλον; ἐπειδὴ τὰ ποικίλα παραπετασμένα καλοῦνται.

Πάσσειν ἐπὶ τοῦ ἡμῖν μὲν νοουμένου, πάσσε δ' ἄλὸς θειοῖο. ἐπὶ δὲ τοῦ ἐποίκιλλε, πολέας ἐνέπασεν ἀέθλους.

Παστὸς ἡ ἐκ παραπετασμένων ποικίλων κατασκευαζομένη ἐσθῆς, ἥτις ἐστὶ πεποικιλμένη καὶ οὐ νυμφικὸς οἶκος παρὰ τὸ πάσσειν τὸ ποικίλλειν: ἐξ οὗ ἐν Ἰλιάδος γ̄, ὅτι πολέας ἐνέπασσεν ἀέθλους ἀντὶ ἐποίκιλλεν.

Πάτος. Ὅμηρος, πάτον ἀνθρώπων ἀλεείνων. σημαίνει τὴν πεπατημένην γῆν, τὴν λεωφόρον. τὰ δὲ εἰς τος λήγοντα δισύλλαβα μονογενῆ βραχεῖα παραληγόμενα βαρύνεται, κρότος, κότος, νότος, πότος, μότος, βάτος. οὕτως καὶ πάτος δοκεῖ. ἀντικεῖται τὸ στρατός. τὸ γὰρ βροτὸς κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν.

Πατρόκλειος. ὁ Πατροκλέης τοῦ Πατροκλέος καὶ Πατροκλῆος, ἡ κλητικὴ ὦ Πάτροκλες καὶ ὁ Πατρόκλειος, ὡς Ἡρακλῆς καὶ Ἡράκλειος.

Παφλάζειν τὸ ἐκ βρασμοῦ ἀναδόσεις γίνεσθαι. πεποίηται δὲ ἡ λέξις παρ' Ὁμήρῳ ὡς ἦχου μιμητικὴ, ὅνπερ ῥ̔ τῶν κυμάτων εἴωθεν ἀναπέμπειν βρασμός ἐστι φλέω ὃ καὶ φλύω λέγεται, οἷον, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα, σημαῖνον τὸ ἀναπέμπω καὶ ἀναδίδωμι, κατὰ συγκοπὴν φλῶ, ἀφ' οὗ παράγωγον φλάζω, ὡς ῥιπτάζω καὶ ἐνθουσιάζω, καὶ κατὰ ἀναδιπλασιασμὸν παφλάζω.

Πάσχετον παχύτερον κατὰ συγκοπὴν τοῦ ῡ καὶ τοῦ ῥ̄ καὶ ὑπερθέσει πάσχετον.

Παχνοῦται Ὅμηρος ἐν Ἰλιάδος ῥ̄ ἀντὶ τοῦ φθείρεται, λυπεῖται. ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης τῆς φθειρούσης καὶ φρίκην ἐμποιούσης καὶ λυούσης τὰ φυτά. Ἡσίοδος, ἐπάχνωσε φίλους, ἤτοι ἐλύπησεν, ἔφθειρεν.

Παραυδᾶν δὲ τὸ παραμυθεῖσθαι. ὡς γὰρ ἐκ 127 a
τοῦ μυθεῖσθαι καὶ φάσκειν καὶ ἀγορεύειν καὶ αἰνεῖν

γίνεται τὸ παραμυθεῖσθαι καὶ τὸ παραφάσκειν καὶ τὸ παρηγορεῖσθαι καὶ τὸ παραινεῖν. οὕτω δὲ καὶ ἐκ τοῦ αὐδᾶν ἰσοδυνάμου ἐκείνοις ῥήματος τὸ παυδᾶν, οὐ μὴν οὕτως καὶ ἐκ τοῦ λέγειν καὶ τοῦ ἐκεῖθεν λόγου παραμυθίαν δηλοῖ καὶ τὸ παραλογίζεσθαι, ἀλλ' αὐτὸ ἐπὶ κατασοφισμοῦ ἀπάτης τινὸς τίθεται.

Παρμέμβλωκε τρία σημαίνει, ἓν μὲν τὸ μεμέληκε καὶ φροντίδα ἔχει, καὶ γίνεται ἐκ τοῦ μέλω μελήσω μεμέληκα καὶ συγκοπῇ μέμληκα καὶ πλεονασμῷ τοῦ β̄ διὰ καλλιφωνίαν καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ μέμβλωκα, ἕτερον δὲ τὸ παραμεμόληκεν, ἤγουν παρῆλθεν, ὡς εἴτις εἴποι ὅτι παρμέμβλωκεν ἡ ἡμέρα ἤγουν παρῴχετο. ἡ δὲ χρῆσις ἐν Ὀδυσσείᾳ καὶ γίνεται ἐκ τοῦ μολῶ μολήσω κατὰ τὸ αὐτὸ κανόνισμα. τρίτον δὲ τὸ παραμεμόληκε τουτέστιν ἐγγύς ἐστι, πάρεστιν.

Παραβλήδην. ὅτι ὥσπερ ἀπὸ τοῦ παραβάλλειν, ὅ ἐστι συγκρίνειν, γίνεται παραβλήδην τὸ συγκριτικῶς, οὕτω καὶ ἀπὸ τοῦ ὑποβάλλειν τὸ ὑποβλήδην, ὅ ἐστιν ὑποβλητικῶς καὶ ὡς ἐν περικοπῇ διεξοδικοῦ λόγου. ὑποβάλλειν δέ ἐστι τὸ ἄλλου λέγοντος μὴ ἀνασχέσθαι ἀπαρτισθῆναι τοὺς λόγους, ἀλλ' ὑποβάλλειν τοὺς ἑαυτοῦ.

Παιήων ὕμνος τίς φασι εἰς Ἀπόλλωνα, οὐ μόνον ἐπὶ παύσει λοιμοῦ ὡς ἄρτι ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου. καὶ ὁ μὲν ποιητὴς παιήονα τοῦτο καλεῖ, οἱ δὲ μετ' αὐτὸν καὶ παιῶνα, ἐξ οὗ καὶ ῥῆμα παιονίζειν. ἔτι δὲ καὶ παιᾶνα, ἐξ οὗ καὶ οἱ παιᾶνες καὶ τὸ τούτου ῥῆμα παιανίζειν. γίνονται δὲ αἱ τοιαῦται λέξεις ἐκ τοῦ παίω τὸ θεραπεύω. αὐτὸ δὲ ἐκ τοῦ παύω τροπῇ τοῦ διχρόνου εἰς δίχρονον, ἐπεὶ ἐπὶ καταπαύσει κακοῦ τινος ὁ τοιοῦτος ὕμνος ἐξεύρηται. ἔστι δὲ καὶ παιήων ὄνομα ἰατροῦ παρὰ θεοῖς. τοῦτον 127b δὲ τὸν ἰατρὸν παιήονά τινες τὸν αὐτὸν εἶναι νομίζουσι τῷ Ἀπόλλωνι.

35 Παυσυδίη καὶ διὰ τῶν δύο σσ̄ γράφουσιν οἱ παλαιοὶ, ὡς τὸ σύσσιτος σύσσωμος καὶ τὰ ὅμοια. δη-

λοῖ δὲ κατά τινας τὸ παμπληθεί. ἕτεροι δέ φασι πασσυδίη ἀντὶ τοῦ πανστρατιᾷ μηδενὸς ἀπομαχουμένοντος. ἄλλοι δὲ πασσυδίη ἀντὶ τοῦ πανορμεί. Ἄϊλιος δὲ Διονύσιος ἀντὶ τοῦ παντελῶς, ὅθεν παρὰ Θουκυδίδῃ τὸ πανσυδεὶ διεφθάραι.

Παιφάσσειν δὲ τὸ ἐνθουσιωδῶς καὶ ἐπιφανῶς ὁρμᾶν, ὅθεν καὶ ἐκπαιφάσσειν τὸ ἐμφανῆ ὁρμὴν ἔχειν. γίνεται δὲ ἐκ τοῦ φῶ φαίνω φάσσω καὶ ἀναδιπλασιασμῷ φαφάσσω καὶ τροπῇ τοῦ δασέως καὶ ἐπενθέσει τοῦ ῑ παιφάσσω. οὕτω σκευωρεῖται καὶ τὸ ποιφύσσειν ἀντὶ τοῦ φρισσᾶν, καὶ τὸ παίπαλον καὶ τὸ μαιμᾶν, ὅ ἐστι προθυμεῖσθαι, καὶ τὸ δαίδαλος δὲ, εἰ μὴ ἴσως πλεονασμὸν ἔχει τοῦ δευτέρου δ̄, ὁμοίως παράγεται. οἱ δὲ παλαιοὶ παιφάσσειν λέγουσι καὶ τὸ ἄλλη καὶ ἄλλη περιάγειν τὴν ὄψιν, ὃ εἰς ταυτὸν ἄγεται τῷ πάντη τὰ φάη ἀΐσσειν, ὅθεν καὶ συντέθειται.

Παρθενοπίπης ὁ τὰς παρθένους ὀπιπτεύων, ὅ ἐστιν ἐπιτηρῶν, οἷα γυναιμανὴς, ὡς προέσκοπται, ὡς καὶ γυναικοπίπης ὁ τὰς γυναῖκας, πρὸς ὃ παίζων ὁ κωμικὸς πυῤῥοπίπην σκώπτει τινὰ ὡς ὀπιπτεύοντα τοὺς πυῤῥούς. τινὲς δέ φασι καὶ ὅτι παρθενοπίπην τὸν Πάριν εἰπὼν πικρῶς κατηγόρησεν, εἴπερ μὴ μόνον γυναιμανής ἐστι, ἀλλὰ καὶ μέχρι τῶν κατακλείστων παρθένων τῇ ἀπάτῃ φθάνει. ἕτεροι δὲ παρθενοπιᾶ γράφουσιν, ὅ ἐστιν παρθένοις ἐοικὼς τὴν ὄψιν. ἐπαφρόδιτος γὰρ ὁ Πάρις καὶ, ὡς ὁ ποιητὴς, θεοειδής.

Παρὲξ ἀγορεύειν δηλοῖ τὸ παρὰ τὸ δέον ἢ τὸ παρὰ τὸ κελευόμενον, ἵνα καὶ ἡ παρά καὶ ἡ ἐξ, ἡ μὲν τὸ παρατετράφθαι τῆς ὀρθῆς, ἡ δὲ τὸ ἔξω αὐτῆς εἶναι δηλοῖ. δύναται δὲ καὶ τὸ ἐσχηματισμένως ἢ λέξις σημαίνειν, ἵνα συνήθως ἡ μὲν παρά ἐγγύτητα ἑρμηνεύῃ, ἡ δὲ ἐξ διάστασιν, ὅπερ ἴδιόν ἐστι τῶν 128a ἐσχηματισμένων, ἐν οἷς καὶ ἐγγίζει ὁ λόγος φαινομένως τῇ ἀληθείᾳ, καὶ αὖ πάλιν ἔξω που αὐτῆς ἔστηκε, τῇ διπλόῃ τῶν νοημάτων. καὶ ἔστι καὶ οὕτω δεξιὰ ἡ

λέξις ἐπιτηδευμένης κἀνταῦθα τῷ ῥήτορι τῆς ἀμφιβολίας. κεῖται δὲ διὰ τοῦτο καὶ δίχα τινὸς συντάξεως.

Πάσσασθαι τοῦ πάσσειν. τοῦτο μὲν ἀντὶ τοῦ γεύσασθαι, ὅθεν καὶ ἄπαστος ὁ ἄγευστος. πάσσειν δὲ ὅτό τε ποικίλλειν, ὅθεν καὶ ἡ παστὰς, καὶ τὸ τιθέναι ἅλας πρὸς ταριχείαν. ἀφ' οὗ καὶ τὰ παστὰ καὶ ἐπίπαστα.

Παρενήνεον λέξις ποιητική. δηλοῖ δὲ τὸ σωρεύειν καὶ ἐμφαίνει τὸν πληθυσμὸν τοῦ σίτου ἀπὸ τοῦ νῶ τὸ σωρεύω, ἵνα κατ' ἀναδιπλασιασμὸν νανῶ καὶ ἐκτάσει νηνῶ. ὅμοιον καὶ τὸ τητῶ ἤτοι στερίσκω. τοιοῦτον καὶ τὸ ἀνακηκίειν. ὅμοιον δὲ καὶ τὸ κηκάζειν. ὅθεν καὶ ἐπικήκαστον τὸ ἐπονείδιστον καὶ καταγέλαστον.

Παλάσσετο ἤγουν ἐπαλάσσοντο τουτέστιν ἐριολύνον. τὸ σχῆμα τοιοῦτον δωρικῶς παρεμφαίνεται.

Πάσσων, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἔστιν ὁ παχύτερος καὶ γίνεται ἀπὸ τοῦ παχὺς παχίων πάσσων, ὁποίῳ τρόπῳ καὶ ὁ μάσσων γίνεται ἐκ τοῦ μακρὸς καὶ ὁ βράσσων ἐκ τοῦ βραχὺς καὶ ὁ ἐλάσσων ἐκ τοῦ ἐλαχὺς, ὃ παρὰ Καλλιμάχῳ κεῖται. τοῦ δὲ μάσσων τὸ οὐδέτερον κεῖται μετ' ὀλίγα ἐν τῷ τοσοῦτον ἢ ἔτι μάσσων. ἐκ τοῦ μακρότερον καὶ πάσσονα ἰδέσθαι.

Πέδιλα. τὰ ὑποδήματα, παρὰ τὸ περιειλεῖσθαι αὐτὰ τοῖς ποσὶν, ἢ παρὰ τὸ ἐν τῷ πέδῳ εἰλεῖσθαι. γράφεται διὰ τοῦ ῑ. οὐ πάντως γὰρ τὰ ῥηματικὰ ὀνόματα φυλάττουσιν τὴν γραφὴν τοῦ ῥήματος, ὥσπερ εἴρω ἶρος, νείφων νιφάς. ἢ ὅτι πέδιλλα λέγουσιν οἱ Αἰολες, ὥσπερ ὅμιλος ὅμιλλος. εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου πέδελλα ἂν ἐλέγετο (sic), ὥσπερ κείρω κέῤῥω, φθείρω φθέῤῥω.

Πείθω σημαίνει τρία, τὸ ἐλπίζω, ἐξ οὗ καὶ πίστις, τὸ φιλονεικῶ, ἐξ οὗ καὶ πεῖσμα. σημαίνει καὶ διὰ τοῦ η τὸ πάσχω, ἐξ οὗ καὶ τὸ ἔπαθον. ἐκ δὲ τοῦ πείθω τὸ ἐλπίζω ὁ μέσος παρακείμενος πέποιθα.

Πείρησαι παροξύτονον. προστακτικὸν γάρ 128b
ἐστι καὶ οὐκ ἀπαρέμφατον. σημαίνει τὸ ἀπόπειραν
ποίησαι. παρὰ τὸ πειρῶ πειράσω ἐπείρασα, καὶ ὁ μέ-
σος προστακτικὸς πείρασαι, καὶ τροπῇ πείρησαι. ἢ
παρὰ τὸ πειράζω. 5

Πείσεται πάθη ἀπὸ τοῦ πείθω, ἢ ἀπὸ τοῦ
πήθω τὸ πανθάνω πείσω, κατὰ τροπὴν τοῦ η̄ εἰς τὴν
εῑ δίφθογγον.

Πειώλης σημαίνει τὸν πόρνον καὶ τὸν διὰ τὸ
πέος ἀπολλυόμενον. παρὰ τὸ πέος καὶ τὸ ὀλῶ γίνε- 10
ται πεώλης καὶ πλεονασμῷ τοῦ ῑ̄ πειώλης, ὁ διὰ τὸ
πέος ἀπολλύμενος.

Πέλω βαρύτονον μὲν τὸ ὑπάρχω, περισπώμενον
δὲ προσεγγίζω.

Πέλωρα ὄνομα οὐδέτερον. τὸ ἀρσενικὸν ὁ πέ- 15
λωρ σημαίνει τὸ ἐξαίσιον καὶ φοβερὸν, παρὰ τὸ πέλω
καὶ τὸ ὥρα ἡ φροντὶς, οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ
τὸ μέγεθος, οὕτως ἐτυμολογεῖται. περισπώμενον δὲ
παρὰ τὸ προσπελάζειν καὶ προσεγγίζειν τῷ Ὠρίωνι,
ὡς λέγει ὁ ποιητὴς ἐν τῷ χ̄ διὰ τὸ μέγεθος αὐτοῦ, 20
ὡς τ' ἀστέρ' ἐπεσσύμενον πέδον, ὥς ῥα τ'
ὀπῶρ' εἶσι, καὶ ἑξῆς. πέλωρ πέλωρος οὖν καὶ τὸ
οὐδέτερον πέλωρον καὶ πελώριος. τὸ ρ̄ι ῑ̄, ὡς ἔλωρ
ἔλωρος ἐλώριος. τὰ γὰρ ἀπὸ τῶν εἰς ωρ εἰ μὲν τρέ-
πουσι τὸ ω̄, διὰ τῆς εῑ διφθόγγου γίνεται τὰ κτη- 25
τικὰ, νεστόρειος, στεντόρειος. εἰ δὲ φυλάττουσι, διὰ
τοῦ ῑ̄, πελώριος καὶ πελώριον τὸ μέγιστον.

Πεμπάσεται. διέλθῃ, ἐρευνήσει. τὸ θέμα πεμ-
πάζω, ἀπὸ τοῦ πέμπω, ὡς κύπτω κυπτάζω αἰολικῶς,
καὶ τὸ κατὰ πέντε ἀριθμήσει πέμπελος ἡ γραῦς, παρὰ 30
τὸ εἶναι πλησίον τοῦ πέμπεσθαι εἰς ᾅδην.

Πεντηκόντορος ναῦς ἡ πεντήκοντα ἔχουσα
ἐρέτας.

Πέος τὸ αἰδοῖον οἶμαι ὅτι κατ' ἔλλειψιν τοῦ λ̄
πλέος παρὰ τὸ πλησιάζειν. ἢ παρὰ τὸ πῶ τὸ κτῶμαι, 35

δι' οὗ κτώμεθα τέκνα. ἢ φέος οἱονεὶ φύος δι' οὗ φύομεν τέκνα.

Πεπαλών. Ὅμηρος,

ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.

ἀντὶ τοῦ ἀνατείνας, σείσας. πάλλω παλῶ ἔπηλα, ὁ β' ἀόριστος ἔπαλον, ἡ μετοχὴ ὁ παλὼν καὶ ἀναδιπλώσει
129 a ἰωνικῇ πεπαλὼν, ὡς καμὼν κεκαμὼν καὶ ἀμπεπαλών.

Πεπάλασθε. κληρώσασθε, λάχετε. πάλος γὰρ ὁ κλῆρος. ἢ παρὰ τὸ πάλλω τὸ κινῶ καὶ σείω παλῶ, ἐπειδὴ ἡνίκα ἂν κληθῶσιν οἱ κλῆροι πάλλονται, οἷον πάλλε δὲ Γερήνιος ἱππότα Νέστωρ, ἐκ δ' ἔκθορε κλῆρος κυνείης.

Παιδοπίπης σημαίνει τὸν περιβλεπόμενον τοὺς παῖδας. παρὰ τὸ ὄπτω ὀπτεύω ὀπιπτεύω γίνεται ὀπίπης καὶ ἐν συνθέσει παιδοπίπης διὰ τοῦ ῑ. τὰ γὰρ παρὰ τὸ ὀπιπτεύω διὰ τοῦ ῑ γράφεται, οἷον παρθενοπίπης, γυναικοπίπης.

Πεπαλαγμένον. μεμολυσμένον καὶ κατεστυμμένον ἀπὸ τοῦ πλάσσω, ὅπερ ἀπὸ τοῦ πάλη τὸ ἄλευρον εἴρηται.

Πεπάλη τὸ λεπτὸν τοῦ ἀλεύρου, ὅπερ δύναται ἐπιπάσσεσθαι διὰ τὴν λεπτότητα. παρὰ τὸ πάσω μέλλοντα πάλη, ὡς δαμάσω δαμάλη, ἀνθήσω ἀνθήλη. καὶ γὰρ ω̄ εἰς ω μέλλων τὴν σω̄ συλλαβὴν τρέπει εἰς τὴν λη̄. εἰ δὲ ἔχει διπλοῦν, προσέρχεται καὶ τὸ γ̄, οἷον ζεύξω ζεύγλη, τρώξω τρώγλη. οὕτως οὖν πάσω πάλη καὶ κατὰ ἀναδιπλασιασμὸν παπάλη καὶ τροπῇ πεπάλη. οἱ δὲ Ἀττικοὶ πασπάλη λέγουσι κατὰ πλεονασμὸν τοῦ σ̄.

Πεπαρμένη. πεπαρονημένη. πείρω τὸ κεντῶ, περῶ, πέπαρκα πεπαρμένος πεπαρμένη, καὶ πεπαρμένων ἥλοισιν ἀντὶ τοῦ διαπεπερονημένων.

Πέπειρος βότρυς ὁ ἀλκμαῖος, οἷον ὅμφαξ ὁ βότρυς, οὐ πίπειρος. ἀπὸ τοῦ πέττω ῥήματος.

Πεπείθαται. πείθω πείσω πέπεικα πέπεισμαι πέπεισται καὶ ἰωνικῶς πεπείθαται.

Πεπιθεῖν. πείθω πείσω, ὁ ἀόριστος δεύτερος ἔπιθον καὶ ἀναδιπλώσει ἀττικῇ ἐπέπιθον, ἐξ οὗ καὶ τὸ σπουδῇ παρπεπιθόντες. ὁ μέλλων δεύτερος πεπιθῶ καὶ τὸ ἀπαρέμφατον πεπιθεῖν. καὶ τὸ πεπίθοιμεν ἀντὶ τοῦ πείσοιμεν καὶ πεπιθοῦσα μετοχή. ἀόριστος δεύτερος καὶ μέλλων. εἴωθε τοὺς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν ὁ ποιητής. 129b

Πεπιθήσω. πείθω, καὶ ἐξ αὐτοῦ περισπώμενον πιθῶ, ὡς φείδω φιδῶ, πιθήσω καὶ κατὰ ἀναδιπλασιασμὸν πεπιθήσω. ἐκ τούτου καὶ πεπίθοιμεν ἐυκτικὸν καὶ παραπεπίθοντο.

Πεπνυμένος. σώφρων. παρὰ τὸ πνόω πνύω, ὡς φλόω φλύω τὸ ἀναδίδωμι, πνύσω πέπνυκα πέπνυμαι πεπνυμένος. ἢ πνῦμι πνύσω. ἐστὶ δὲ ἀπὸ τοῦ πονύω.

Πεπτηώς. πτήσσω πτήξω πέπτηχα πεπτηχὼς, ἀποβολῇ τοῦ χ̄ κατὰ Ἴωνας πεπτηὼς, ὡς τετιηώς.

Πέπονθα. ἀπὸ τοῦ πονῶ πονήσω πεπόνηκα, πέπονα ὁ μέσος παρακείμενος καὶ πλεονασμῷ τοῦ θ̄ πέπονθα. ἢ ἀπὸ τοῦ πένω πενῶ πέπεγκα, ὁ μέσος παρακείμενος πέπονα καὶ πλεονασμῷ τοῦ θ̄ πέπονθα. ἢ ἀπὸ τοῦ πήθω τὸ πάσχω πήσω, ὁ παρακείμενος πέποικα, ὁ μέσος πέποιθα, καὶ τροπῇ τοῦ ῑ̄ εἰς ν πέπονθα.

Πεπτήαται. ἔστι πέτω καὶ πετῶ περισπώμενον καὶ ποτῶ ποτήσω πεπότηκα πεπότημαι πεπότηται, καὶ τὸ τρίτον τῶν πληθυντικῶν πεπότηνται καὶ ἰακῶς πεποτήαται, ὡς πεποίηνται πεποίαται, καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ πεποτήαται. τὰ γὰρ εἰς ται καθαρὸν τρίτα ἑνικὰ οὐ κατὰ τὴν κοινὴν προσῳδίαν τρίτα πληθυντικὰ γίνεται παρ' Ἴωσιν, ἀλλὰ προσόδῳ τοῦ ᾱ̄ καὶ συστολῇ τῆς παραληγούσης, οἷον πεποίηται πεποιέαται, ἧται ἀντὶ τοῦ κάθηται ἕαται, καὶ κατὰ πάθος παρεν-

πεθέντος τοῦ ῑ εἶαται. οὕτως πεπότηται πεποτέαται καὶ πεποτήαται κατὰ ἔκτασιν. κρεῖττον δὲ γίνεσθαι οὐ κατὰ συστολὴν τοῦ η̄ καὶ προσόδῳ τοῦ ᾱ, ἀλλὰ κατὰ διάλυσιν τοῦ παραλήγοντος η̄ εἰς ε̄ καὶ ᾱ, ὡς ὅῆλων ἑάλων, ἤγη ἐάγη.

Πέπρακα. ἀπὸ τοῦ περῶ περάσω πεπέρακα καὶ κατὰ συγκοπὴν πέπρακα.

Πέπρωται. εἵμαρται. περατόω περατῶ περατώσω πεπεράτωκα πεπεράτωμαι πεπεράτωται καὶ συγκοπῇ πέπρωται. ἐκ δὲ τοῦ πεπεράτωμαι συγκοπῇ πέπρωμαι καὶ πεπρωμένη ἡ τύχη, ἡ τὸ πέρας τοῦ βίου ὁρίζουσα καὶ περατοῦσα.

Πέπταμαι. πέτω καὶ πετῶ περισπώμενον καὶ συγκοπῇ πτῶ καὶ ἵπτῶ ἵπτημι, ὡς στῶ ἵστημι, ὁ παρακείμενος ἔπτακα, ὁ παθητικὸς ἔπταμαι καὶ πλεονασμῷ τοῦ π πέπταμαι. ἢ πέτημι καὶ τὸ παθητικὸν πέταμαι καὶ παρεμπτώσει τοῦ π πέπταμαι.

Πέπτωκα. πέτω τὸ πίπτω καὶ συγκοπῇ πτῶ πτώσω, ὁ παρακείμενος ἔπτωκα καὶ πέπτωκα. ἢ ἐστι πετῶ περισπώμενον πετήσω πεπέτηκα καὶ συγκοπῇ καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ πέπτωκα, ὡς οἰχῶ οἰχήσω ᾤχηκα ᾤχωκα. ἐκ δὲ τοῦ πετῶ παράγωγον πετέω, ὡς καλῶ καλέω.

Πεπτηῶτα. πτήσσω πτήξω ἔπτηχα ἐπτηχὼς καὶ ἰωνικῶς πεπτηχὼς καὶ ἀποβολῇ τὸ χ πεπτηὼς, καὶ σημαίνει τὸ καταπεπτηχὼς, ἢ αἰτιατικὴ πεπτηῶτα.

Πέπυσμαι ἀπὸ τοῦ πεύθω πεύσω πέπευκα πέπευσμαι, ἀποβολῇ τοῦ ε̄ πέπυσμαι. εἰ δέ τις εἴποι ὅτι ἀπὸ τοῦ πυνθάνω δύναται εἶναι, μανθανέτω ὅτι τὰ διὰ τοῦ ανω ἄκλιτά εἰσιν, ὥστε ἔνδεια γέγονε τοῦ ε̄, ὡς καὶ τὸ τέτυγμαι καὶ τετυγμένα ἀπὸ τοῦ τεύχω γίνεται.

Πέρθαι. πέρθω πέρσω πέπερκα πέπερμαι πέπερται πεπέρθαι καὶ ἀφαιρέσει ἰωνικῇ τῆς αὐξήσεως πέρθαι, ὡς κεκαθάρθαι καθάρθαι. πέρθειν δὲ κυρίως

τὸ διὰ πυρὸς περιγίνεσθαι τῶν ἐχθρῶν. ἀπὸ γὰρ τοῦ πρῶ τὸ καίω πρήθω, ὡς ἀπὸ τοῦ δρῶ κοιμῶμαι δρήθω καὶ ὑπερθέσει πήρθω καὶ συστολῇ πέρθω. καὶ ἀπὸ τοῦ περιθέω κύκλῳ τρέχω πέρθω. οἱ γὰρ πέρθοντες περιτρέχουσι τὰς τοίχους.

Περιδώσομαι ἐμέθεν ἀντὶ κατ' ἐμαυτὸν συνθήκην ποιήσομαι καὶ δεῦρο νῦν ἢ τρίποδος περιδώμεθα, ἀντὶ συνθήκην ποιήσωμεν. καὶ Ἀριστοφάνης ἐν Νεφέλαις περιδοῦ νῦν ἐμοί ἀντὶ σύνθου. γίνεται ἀπὸ τοῦ δῶ τοῦ σημαίνοντος τὸ δεσμεύω.

Περικτίται, οἱ κτίσται. ἔλλειψις τοῦ σ. οἷον τὸν δ' ἀμφιπερικτίται ἠγερέθοντο.

Περιπατοίην. ἰστέον ὡς ὅσα τῶν εὐκτικῶν ἔχει τὴν μετοχὴν εἰς σ ὀξύτονον καὶ διὰ τοῦ ν κλινομένην εἰς ην γίνεται. 130b

Περιπλόμενος ἀπὸ τοῦ πέλεσθαι, ὅ ἐστι γίνεσθαι, οἷον περιπλομένου ἐνιαυτοῦ, περιπελομένου, διαγινομένου, καὶ συγκοπῇ περιπλομένου. ἔστι δὲ καὶ περιπεπλόμενος κατὰ παρέμπτωσιν τοῦ π.

Περιπλέες. πλέονες καὶ ἄρσει τῆς ον πλέες καὶ περιπλέες.

Περισθενέα. περισσῶς τῷ σθένει χρώμενον καὶ μὴ δυνάμενον ἑαυτὸν κατέχειν. τοῦτον τὸν τρόπον λέγεται καὶ τὸ περιώδυνος καὶ περιαλγής.

Περισκέπω ἐνὶ χώρῳ. τῷ ὑψηλῷ, ὅθεν ἐστὶ διὰ τὸ ὕψος περισκέψασθαι καὶ κατιδεῖν. ἢ ὅθεν ἐστὶ τὰ πέριξ ἰδεῖν.

Περιστελλομένους. περιεχομένους, πεπληρωμένους ἢ τελειουμένους.

Περιφραδέως. παρὰ τὸ φράζω φραδῶ φραδὴς καὶ περιφραδέως ἐπίρρημα τὸ μετὰ λόγου καὶ ἐπιστήμης τὶ ποιεῖν οἱονεὶ πάνυ ἐπιστημόνως καὶ ἐντέχνως.

Περιωπὴ ὁ κάτοπτος τόπος, παρὰ τὸ περιόπτω περιωπὴ, ὡς κλέπτω κλοπὴ, ἐπαυξήσει τοῦ ω εἰς ω.

Πέσκος τὸ δέρμα τοῦ προβάτου. παρὰ τὸ πείκω πέκος καὶ πέσκος πλεονασμῷ τοῦ σ. ἢ παρὰ τὸ σκέπω οὐδέτερον καὶ μεταθέσει πέσκος.

Πεσεῖν ἀπὸ τοῦ πέδον, ὃ σημαίνει τὴν γῆν, ὃκαὶ πεσέμεν κατὰ Δωριεῖς ἀντὶ τοῦ πεσεῖν.

Περιστοιχίζεται. αἱρεῖ, λαμβάνει, ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν, οἵτινες στοίχους περιβάλλουσιν τοῖς ὄρεσι. στοῖχοι δὲ εἰσὶν αἱ λεγόμεναι στάλικες, ἀφ' ὧν τὰ δίκτυα καθίεται. ταύτας οὖν περιβάλλοντες αἱροῦσι τὰ θηρία.

Περίδειπνον. ἡ ἐπὶ τοῖς ἀποθανοῦσι γινομένη ἑστίασις.

Περιγράψαι. τὸ ἀποκτεῖναι, ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται.

Πέτασαν. ἀπὸ τοῦ πετάζω πετάσω ἐπέτασα, καὶ τὰ λοιπὰ δῆλα. *ἱστία λευκὰ πετάσας*. τοῦτο ἀπὸ τοῦ πέτω βαρυτόνου. πετῶ γὰρ οὐκ εἴρηται.

131a *Πέτεσθαι* ἐπὶ τῆς πτώσεως, παρὰ τὸ πίπτω. παντὶ γὰρ τῷ τοῦ σώματος μέρει δοκοῦσι πίπτειν τὰ πετόμενα ἐπὶ τοῦ ἀέρος. ὁ παθητικὸς ἐνεστὼς πέτομαι, ὅθεν καὶ πέτονται. ἐκ τούτου γίνεται πετὸς καὶ σημαίνει τὸ ὕψος, ἐξ οὗ γίνεται πετῶ πετᾷς καὶ τροπῇ ποτῶ. ἐκ μὲν τοῦ πετῶ γίνεται προπετὴς καὶ χαμαιπετὴς, ἀπὸ δὲ τοῦ πέτω ὁ δεύτερος ἀόριστος ἔπετον, οἷον ἔπετον κυπρογενήτῃ.

Πετεώσ. ἡ εὐθεῖα πετεὼς πετεῶ καὶ πλεονασμῷ τοῦ ō ἀττικῶς πετεώσ.

Πευκαλίμας φρένας οἱονεὶ δριμείας καὶ σώφρονας. ἀπὸ δὲ τῆς πεύκης τοῦ δένδρου ἡ μεταφορά.

Πευκεδανὸς, καυστικὸς, θερμός. λέγει δὲ τοιοῦτον τὸν πόλεμον παρὰ τὴν πεύκην τὴν πρὸς καῦσιν ἐπιτηδείαν. σύνηθες δὲ τῷ Ὁμήρῳ τὸν πόλεμον πυρὶ παραβάλλειν διὰ τὸ τῶν μαχόντων πυροῦσθαι τὸ περικάρδιον αἷμα. ἢ ὁ πικρὸς διὰ τὸ καὶ τὴν πεύκην εἶναι πικράν, ὡς ὁ ὀπὸς δηλοῖ.

Πέφηνε. φαίνω φανῶ πέφαγκα, ὁ μέσος παρακείμενος πέφηνα. ἰστέον δὲ ὅτι ἐὰν ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγεται, τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ καὶ ἐν τῷ ἐνεργητικῷ ἀορίστῳ, οἷον φαίνω πέφηνα ἔφηνα, χαίνω κέχηνα ἔχηνα, μαίνω μέμηνα ἔμηνα, δαίω τὸ καίω δέδηα καὶ ἔδηα κέκηα καὶ ἔκηα.

Πέφαμαι σημαίνει δύο, τὸ λέλεγμαι καὶ τὸ πεφόνευμαι, ἐκ τοῦ φῶ, ὃ σημαίνει τὸ λέγω καὶ τὸ φονεύω, παράγωγον φημὶ φήσω, ὁ παθητικὸς παρακείμενος πέφαμαι πέφασαι πέφαται, τὸ τρίτον τῶν πληθυντικῶν πέφανται καὶ πεφονευμένοι εἰσὶν, ἀνήρηνται. ἔστι καὶ ἀπὸ τοῦ πέφαγκα πέφαμαι. ἔστι καὶ πέφημαι πέφησαι, ὅθεν καὶ ὁ μετ' ὀλίγον μέλλων πεφήσομαι πεφήσῃ πεφήσεται καὶ πεφήσεαι ἰωνικῶς τὸ δεύτερον.

Πεφρίωσθαι τὸν ὀφθαλμὸν πεπαχύνθαι.

Πέφνεν. ἐκ τοῦ φῶ τὸ φονεύω παράγωγον φένω καὶ ἐξῆς. ζήτει εἰς τὸ ἔπεφνον. ἔστι καὶ ἕτερον παράγωγον τοῦ φῶ τὸ φονεύω φίζω φίσω πέφικα πέφισμαι πεφισμένος, ὡς καὶ ἀπὸ τοῦ στῶ στίζω. 131b

Πεφοβήατο. φοβῶ φοβήσω πεφόβηκα πεφόβημαι ἐπεφοβήμην ἐπεφόβητο καὶ ἀκῶς πεφοβέατο, ὡς πεποιέατο, καὶ ἐκτάσει πεφοβήατο.

Πεφιδήσεται. φείσεται, φείδω φιδῶ, ὡς πείθω πιθῶ, φιδήσω πεφίδηκα πεφίδημαι πεφίδησαι πεφιδήσεται.

Πεφαργμένος ἀντὶ τοῦ πεφραγμένος ὑπερθέσει τοῦ ᾱ, καὶ ἐφάρξαντο ἀντὶ τοῦ ἐφράξαντο, καὶ τὸ φρακτὸν φαρκτὸν, ὥστε ὑπέρθεσιν πέπονθε, τὸ θέμα φράττω.

Πέφρικα. φρίσσω πέφρικα καὶ διὰ τὴν ἐπαλληλίαν πέφρικα.

Πεφυζότες. ὥσπερ ἀπὸ τοῦ κίσσα γίνεται ῥῆμα κοκισσῶ, οὕτως ἀπὸ τοῦ φύζα φυζῶ φυζήσω πεφύζηκα, ἡ μετοχὴ πεφυζηκὼς πεφυζηκότος καὶ συγκοπῇ

πεφυζώς πεφυζότος. οὐ δύναται δὲ εἶναι μέσος παρακείμενος πέφυζα ὡς δέδουπα. οὐδέποτε γὰρ μέσος παρακείμενος διὰ δύο συμφώνων κατὰ σύλληψιν ἐκφέρεται, οὐδὲ διπλῷ χαρακτηρίζεται. ἕτεροι δὲ ἀπὸ τοῦ φεύγω φύζω καὶ φυγῶ περισπώμενον.

Πεφωσμένος. κεκαυμένος, ἀπὸ τοῦ φῴζω, ὡς χρῴζω, ἅπερ ἔχει τὸ ῑ.

Πένθος. ἐκ τοῦ πάθος μετηλλάγη, καθὰ καὶ τὸ βάθος ἐκ τοῦ βένθος, οἷον ἡμένη ἐν βέντεσιν ἁλός.

Πειρίθοος. ἡμάρτηται ἡ περὶ πρόθεσις προσλαβοῦσα τὸ ῑ ποιήσασα τὸ Πειρίθοος ἐκ πλεονασμοῦ ἀσυνήθους. καὶ ὡς οἱ Δωριεῖς τρέποντες τὴν ει δίφθογγον εἰς τὸ η̄, καὶ ὥσπερ πλείων πλήων καὶ μείων μήων, οὕτω καὶ διὰ διφθόγγου Πειρίθοος διὰ τοῦ η̄ γράφοντες πταίουσι. δηλοῦσιν οἱ παλαιοὶ λέγοντες ὡς οὐδέποτε τὴν ει δίφθογγον τὴν ἔχουσαν ἐκ πλεονασμοῦ τὸ ῑ εἰς η̄ τρέπουσιν. τὸ γάρ τοι ξένος ξεῖνος διὰ τοῦ η̄ ξῆνος.

Πεφήσεαι, ὃ χρόνου μετ' ὀλίγον μέλλοντος, δηλοῖ δὲ τὸ φονευθήσῃ, ἀπὸ τοῦ φῶ φήσω γίνεται, ἀφ' οὗ καὶ τὸ φάξειν, ὅθεν καὶ τὸ πεφασμένος καὶ τὸ σφάξειν. φῶ δὲ λέγεται καὶ τὸ φαίνω, ἐξ οὗ καὶ 132a τὸ φῶς. σημείωσαι δὲ καὶ τὸ καίω, ἐξ οὗ φαύζειν τὸ φρύγειν ἀττικῶς κατὰ τοὺς παλαιούς, καὶ φῶδες αἱ ἀπὸ φλογὸς φλυκτέναι, καὶ φλογνῦναι τὸ φρύγειν, ὅθεν ἰσχάδες πεφωγμέναι. τὸ μέντοι ῥηθὲν φαύζειν ἀπὸ φρύγειν τινὲς παράγουσι.

Πεφιδήσεται ἢ μέσος μέλλων ἐστὶ κατὰ ἀναδιπλασιασμὸν ἰωνικόν, ἢ μετ' ὀλίγον μέλλων. ὅρα τὸ πόθεσαν, ἐξ οὗ ἀπόθετος, ὅ ἐστι μὴ ποθούμενος. πολλαχοῦ δὲ φαίνεται ὡς οὐ μόνον ποθῶ ποθήσω, ἀλλὰ καὶ ποθέσω.

Πέπληγα. ἐνεστὼς ὁ πεπλήγω, ὥστε καὶ ἀπαρέμφατον ἐνταῦθα αὐτοῦ κεῖται τὸ πεπληγέμεν, ὡς ἀρηγέμεν. οὐ προϋπάρχει τὸ πεπλήγειν καὶ ἀρήγειν.

Πεφίδοιτο ἰωνικὸς μέσος ἀόριστος δεύτερος τοῦ φείδω ῥήματος.

Πεπτεῶτα. τὸ ἁπλοῦν πεπτωχὼς πεπτωχότος καὶ ἐν συγκοπῇ πεπτῶτος, ὡς βεβρωχὼς βεβρωχότος βεβρῶτος καὶ πλεονασμῷ τοῦ ε̄ πεπτεῶτα.

Πέρνασθαι ἤτοι πωλεῖσθαι εἰς κέρδος.

Περιφθάς. ἄχρηστον θέμα τὸ φθῆμι, ὡς ἵστημι, ἐξ οὗ καὶ φθάμενος, ὡς ἱστάμενος, καὶ φθαίη, ὡς σταίη.

Περιπλομένων ἐνιαυτῶν. ἐκ τοῦ περιπελομένων γίνεται, ὅ ἐστι γινομένων ἢ περιπολούντων κατὰ συγκοπήν. ὅτι δὲ τὸ πέλεσθαι καὶ ἐπὶ τοιούτου λέγεται, δηλοῖ τὸ ἤματα μακρὰ πέλονται.

Πεφυγμένος ἀέθλων. πεφευγμένος γὰρ ὀφείλων εἰπεῖν ἐξώθησε τὸ ε̄ τῆς διφθόγγου διὰ τὸ εὐφωνότερον. οὕτω καὶ ἐκ τοῦ πεύθω πεύσω πύστις ἡ δι' ἀκοῆς μάθησις, καὶ ἐκ τοῦ κεύθω ἡ κύστις, καὶ ἐκ τοῦ ἐρεύθω τὸ ἐρυθρὸν, καὶ τὸ ἐρύθημα καὶ ἰχθὺς ὁ ἐρυθῖνος, καὶ ἐρυθρόδανον. οὕτω καὶ τὸ ἄφευκτον ἄφυκτον. λέγεται καὶ τὸ πέπεισμαι καὶ τὸ ψευδηρὸν ψυδρὸν, καὶ τὸ ἄπευστον ἄπυστον, καὶ ἔλευσις ἦλυσις, καὶ εὔτευκτον εὔτυκτον, καὶ τὸ τετεῦχθαι τετύχθαι, καὶ τὸ νευστάζειν νυστάζειν. οὕτω καὶ ἐκ τοῦ τεύχω τέχνη, καὶ τὸ γλυκὺ ἐκ τοῦ γλεῦκος.

Πέπληγον Ἰώνων καὶ Συρρακουσίων λέξις, οὗ ἐνεστὼς πεπλήγω ἐκ τοῦ πέπληγα, κατὰ ἐν Ἰλιάδι 132b *τὸ ἐκλέλαθον κιθαριστήν, ἐκ τοῦ λέλαθα λελάθω. Σικελοὶ γὰρ καθ' Ἡρακλείδην τὸ ᾱ τῶν παρακειμένων εἰς ω̄ μετατιθέασιν, οἷον πεποίηκα πεποιήκω. οὕτω δὲ καὶ πέφυγα πεφύγω καὶ κατ' Ἀλκαῖον πέφυγγω. Ἀριστόνικος δὲ οὐ σικελικὰ ταῦτα λέγει, ἀλλ' ἀναδιπλώσεις ἀκαὶς βούλεται εἶναι κατὰ τὸ κεκάμω καὶ λελάβω. κατὰ μέντοι τὸν ἀνωτέρω λόγον γίνεται καὶ ἐνεστὼς ὁ πεφύκω ἐκ τοῦ πέφυκα, οὗ παρατατικὸς παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ τὸ ἐπέφυκον.*

Πεποιθότες αἰολικόν ἐστι καθ' Ἡρακλείδην, ὃς λέγει ὅτι τὸ οἶδα πέποιθα λέλοιπα δέδοικα αἰολικοί εἰσι παρακείμενοι. *χαίρουσι γὰρ Αἰολεῖς τοιαύταις παρατελεύτοις. τὰ δὲ κοινὰ αὐτῶν εἶδα πέπειθα λέλειπα δέδεικα.*

Πεφιδολμην ἰωνικός ἐστι μέσος δεύτερος ἀόριστος.

Πεφυρμένον ἀντὶ τοῦ μεμιαμμένον, ἐκ τοῦ φύρω καὶ φυρῶ, ἐξ οὗ καὶ τὸ φύραμα.

Πεποίθομεν. ἀσυνήθης γάρ ἐστιν ἐνεστώς. ὡς γὰρ ἐκ τοῦ πέπληγα γίνεται τὸ πεπλήγω κατὰ Συρακουσίους, καὶ ἐκ τοῦ πέφυκα τὸ πεφύκω, καθὰ καὶ προεδηλώθη, οὕτω καὶ ἐκ τοῦ πέποιθα ἐνεστὼς πεποίθω, ἐξ οὗ τὸ πεποίθομεν.

Πέποσθε οἱ μὲν ἐκ τοῦ πήθω τὸ πανθάνω παράγουσιν ἀκολουθοῦντες τῷ Ἡρωδιανῷ, λέγοντες ὅτι καθὰ λήχω λαγχάνω, οὗ ὁ παρακείμενος τροπῇ τοῦ η εἰς ο λέλοχα καὶ προσλήψει τοῦ ν λέλογχα, οὕτω καὶ πείθω πέποθα, οὗ πληθυντικὸν πρινὴ προσληφθῆναι τὸ ν πεποίθατε καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ πέποσθε. καὶ οὕτω μὲν οἱ τοιοῦτοι. Ἀρίσταρχος δὲ τὸ πολλὰ κακὰ πέποσθε, πέπασθε γράφει, ὅπερ ἐστὶ κέκτησθε. εἰς μέντοι τὸ διὰ τοῦ ο γραφόμενον πέποσθε κρεῖττον ποιοῦσιν οἱ συγκόπτοντες αὐτὸ ἐκ τοῦ πεπόνησθε.

Πεπαλαγμένον δὲ ἀντὶ τοῦ μεμολημένον, ἐκ τοῦ παλάσσω, ἀφ' οὗ καὶ ὁ πηλός.

Πηληϊάδεω λέξις ἐστὶ ἰωνική. τὸ μὲν γὰρ κοινὸν ἔχει οὕτως, Πηλεὺς Πηλέος, ὅθεν Πηλείδης πα-
133a *τρωνυμικῶς, ὁ τοῦ Πηλέος υἱός, καὶ κλίνεται Πηλείδου. τὸ δὲ ἰωνικὸν παράγεται οὕτως, Πηλεὺς Πηλῆος, ὥσπερ Ἀχιλλεὺς Ἀχιλλῆος, Ὀδυσσεὺς Ὀδυσσῆος, βασιλεὺς βασιλῆος καὶ ἄλλα μυρία. ὅτι δὲ καὶ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι δὲ μόνου ταῦτα ἐγράφοντό ποτε, καὶ ἐν τοῖς τοῦ περιηγητοῦ σαφέστερον*

εἴρηται. καὶ οὕτω μὲν τὸ ἰωνικὸν Πηλεὺς Πηλῆος. τούτου δὲ τὸ πατρωνυμικὸν Πηληΐδης καὶ πλεονασμῷ τοῦ α Πηληϊάδης, οὗ ἡ γενικὴ κατ' Ἴωνας Πηληϊάδεω. ἔστι γὰρ παρατήρησις παλαιὰ τοιαύτη. τὰ εἰς ας καὶ εἰς ης ὀνόματα ἰσοσυλλάβως κλινόμενα κοινῶς μὲν καὶ ἀττικῶς εἰς ου ἔχει τὴν γενικὴν, οἷον Αἰνείας Αἰνείου, Πηλείδης Πηλείδου, Ἀτρείδης Ἀτρείδου, δωρακῶς δὲ εἰς α μακρὸν περαίνει τὴν γενικὴν, οἷον τοῦ Αἰνεία τοῦ Πηλείδα τοῦ Ἀτρείδα, ἰωνικῶς δὲ διὰ τοῦ εω Αἰνείεω Πηλείδεω Ἀτρείδεω, βοιωτικῶς δὲ διὰ τοῦ αο, οἷον Αἰνείαο Πηλείδαο Ἀτρείδαο, μακρᾶς ἐξ ἅπαντος οὔσης τῆς παραληγούσης. ἰστέον δὲ ὅτι αἱ οὕτω χασμώμεναι ὡς ἐν διαλύσει γενικαὶ οὐδέποτε τὴν παραλήγουσαν ἰσόχρονον ἔχουσι τῇ ληγούσῃ, ἀλλὰ ἀνόμαιαν ἀεὶ, καὶ ἐὰν μὲν ἡ λήγουσα μακρὰ εἴη, βραχεῖά ἐστι ἡ παραλήγουσα, ὡς ἐπὶ τοῦ Αἰνείεω Πηλείδεω Ἑρμείεω. ἐὰν δὲ τὸ λῆγον βραχύνεται, μακρὸν ἔσται τὸ παραλῆγον, ὡς ἐν τῷ Αἰνείαο Ἑρμείαο Πηλείδαο. οὕτω καὶ τὸ Πριάμοιο δένδροιο καὶ τὰ τοιαῦτα θετταλικὰ ὄντα κατά τινας, ἀνομοιόχρονον ἔχουσι τῇ παραληγούσῃ τὴν λήγουσαν. διὸ καὶ τὸ ἐμέο καὶ σέο καὶ ἕο ἀναλογώτερον ἔχει προσλαβόντα τὸ ι ἐν τῇ παραληγούσῃ καὶ γενόμενα ἐμεῖο καὶ σεῖο καὶ εἷο, καὶ ἀνομοίαν ποιήσαντα τῇ ληγούσῃ τὴν παραλήγουσαν. ἰστέον δὲ καὶ ὅτι οὐκ ἀεὶ τὸ α πλεονάζει ἐν ταῖς διὰ τοῦ ης πατρωνυμικοῖς, ἀλλὰ μόνον ἐξ ἀνάγκης, ὅτε πρὸ τοῦ ι μακρά ἐστι συλλαβὴ, οἷον Τελαμωνίδης Τελαμωνιάδης, Νηληΐδης Νηληϊάδης. οὕτως οὖν καὶ Πηληΐδης Πηληϊάδης. εἰ γὰρ μὴ πλεονάζει ἐν τούτοις τὸ α καὶ οὕτως ἀπαρτισθῇ δάκτυλος, οὐ συντελοῦσιν εἰς μέτρον ἡρωϊκὸν, διὰ τὸ καταπεραιοῦν εἰς πόδα ἀμφίμακρον. ἀμέλει ἐν τῷ Ἀτρείδης καὶ Πηλείδης οὐ πλεονέζει τὸ ᾰ. οὐ χρεία γάρ. καὶ οὕτω μὲν ἐν τούτοις φαιερῶς πλεονάζει τὸ ᾰ. δῆλος δέ ἐστι κατὰ τοὺς παλαιοὺς ὁ πλεονασμὸς ἀπὸ τοῦ μέτρου τῶν συλλαβῶν. τὰ γὰρ εἰς δης ἀπαθῆ πατρωνυμικὰ μήτε

συγκοπὴν παθόντα ἢ συναίρεσιν μήτε πλεονασμὸν μιᾷ συλλαβῇ πλεονάζει τῆς γεννήτορος πρωτοτύπου γενικῆς, ἀφ' ἧς πατρωνυμικὰ γίνεται, οἷον ἡ Πριάμου γενικὴ ἐν τρισὶ συλλαβαῖς ἐστι, Πριαμίδης δὲ ἐν τέτρασιν. ὁμοίως καὶ Νέστορος Νεστορίδης, Ληΐτου Ληϊτιάδης, Ἕκτορος Ἑκτορίδης, Ἀτρέος Ἀτρεΐδης παρὰ Πινδάρῳ. τὸ δ' αὐτὸ καὶ ἐπὶ πάντων τῶν ἀπαθῶν πατρωνυμικῶν. οὕτως οὖν καὶ Πηλεὺς Πηλῆος Πηληΐδης, Μηκιστεὺς Μηκιστῆος Μηκιστίδης. εἴπομεν μὴ συγκοπὴν παθόντα ἢ συναίρεσιν διά τε τὸ Ἀνθεμίωνος Ἀνθεμίδης, Λευκαλίωνος Λευκαλίδης· ταῦτα γὰρ ἐπειδὴ συνεκόπη ἐκ τοῦ Ἀνθεμιωνίδης Λευκαλιωνίδης, οὐ πλεονάζει, ἀλλὰ ἐλλείπει μιᾷ συλλαβῇ τῆς τοῦ πρωτοτύπου γενικῆς· καὶ διὰ τὸ Ἀτρείδης Πηλείδης καὶ τὰ τοιαῦτα. ταῦτα στενοχωρηθέντα τῇ συναιρέσει τοῦ Ἀτρεΐδης Πηλεΐδης ἰσοσυλλαβῇ τῇ πρωτοτύπῳ τισυλλάβῳ γενικῇ. εἴπομεν μήτε παθόντα πλεονασμὸν διὰ τὸ Τελαμωνιάδης καὶ τὰ κατ' αὐτό, ἐν οἷς καὶ ὁ Χαλκωδοντιάδης καὶ ὁ Λαομεδοντιάδης καὶ ὁ Φηρητιάδης. ταῦτα γὰρ ἐξ ἐμπτώσεως πλεονάσαντος τοῦ α δυσὶ συλλαβαῖς ὑπερέχει τῆς τοῦ Τελαμῶνος γενικῆς. οὐκ οὖν οὕτω καὶ τὸ Πηληϊάδης καὶ Μηκιστιάδης οὐκ ἀναγκαίως ἔχει τὸ α, ἀλλ' ἐκ πλεονασμοῦ αὐτὸ προσεφύη εἰς δακτύλου ἀναπλήρωσιν. εἰσὶ δέ τινα εἰς δης πατρωνυμικὰ φύσει τὸ α ἔχοντα ἐν τῇ παρληγούσῃ, οἷον τὰ ἐκ τῶν διὰ τοῦ ιος κυρίων ὀνομάτων, Ταλθύβιος Ταλθυβιάδης, οὗ παρώνυμοι οἱ παρ' Ἡροδότῳ Ταλθυβιάδαι. Ἀτύμνιος Ἀτυμνιάδης, ὁ ἐν τῇ ε ῥαψῳδίᾳ, Ἥλιος Ἡλιάδης, Κλυτίος Κλυτιάδης, Μενοίτιος Μενοιτιάδης, Λαέρτιος Λαερτίου Λαερτιάδης. διφορεῖται γὰρ τοῦτο καὶ οὐ μόνον Λερτης λέγεται, ἀλλὰ καὶ Λαέρτιος, ὡς δηλοῖ Σοφοκλῆς· Θέστιος Θεστίου Θεστιάδης, Ἀλέξιος Ἀλεξίου Ἀλεξάδης, Φήμιος Φημιάδης, Ὀΐλιος κατὰ τὸν τεχνικὸν γεωργεῖον, Ὀϊλιάδης. οὐ γάρ ἐστι φησὶ ἀπὸ τοῦ Ὀϊλεύς, ἦν γὰρ ἂν Ὀϊλείδης διὰ διφθόγγου. Ἀσκληπιὰς Ἀσκληπιοῦ

Ἀσκληπιάδης. ἐν τούτοις γὰρ ἡ καθαρὰ λήγουσα 134 a
τῆς γενικῆς οὐ τρέπεται εἰς ι, ὡς ἐν τῷ Ὁμήρου
Ὁμηρίδης, Πριάμου Πριαμίδης, ἀλλὰ εἰς α καθαρόν.
ὁμοίως διὰ τοῦ αδης πατρωνυμοῦνται καὶ τὰ εἰς ης
κύρια εἰς ου ἔχοντα τὴν γενικὴν, οἷον ἱππότης ἱππό-5
του ἱπποτάδης, Βούτης Βούτου Βουτάδης, ἐξ οὗ γέ-
νος οὐκ ἀνώνυμον οἱ Ἑτεροβουτάδαι, ὧν ἡ σύνθεσις
κατὰ τοὺς ἑτεόκρητας. ἦν δέ φησι Βούτης υἱὸς Πο-
σειδῶνος, ὡς Ἡσίοδος ἐν καταλόγῳ. ὡσαύτως καὶ τὰ
εἰς ας ἰσοσυλλάβως κλινόμενα, οἷον Ὑρας κυρίως αἰο-10
λικὸν, διὸ καὶ ψιλοῦται. ἀφ' οὗ πατρωνυμικὸν Ὑράδης, ὅπερ οἱ Αἰολεῖς Ὑράδιος λέγουσι. Πελίας Πελιάδης, Ἀλεύας Ἀλευάδης, ὑφ' οὗ εὐγενὲς φῦλον οἱ Ἀλευάδαι. Κέας Κεάδης, ὃ ἐν τῇ Ὁμηρικῇ Βοιωτίᾳ, Αἰνείας Αἰνειάδης, ὃ καὶ Αἰνέας Αἰνεάδης, Βορέας15 Βορεάδης, γραῦς γράδης, Χαιρέας Χαιρεάδης, Δημέας Δημεάδης καὶ ἐν συναιρέσει Δημάδης. θετέον γὰρ ἐν τοῖς τοιούτοις καὶ τοῦτο, εἰ καὶ μὴ πατρωνυμικόν ἐστιν, ἀλλὰ ὡς πατρωνυμικὸν, καθάπερ καὶ τὸ Καρνεάδης, Σωτάδης καὶ ἕτερα. ἰστέον δὲ καὶ ὅτι20 οὐ μόνον πλεονάζει τὸ ᾰ ἐν τοῖς εἰς δης, ὡς ἀνωτέρω κεῖται, ἀλλὰ καὶ ἀποβάλλεται. ὁ γοῦν Ἐριχθονιάδης ὡς ἀπὸ τοῦ Ἐριχθόνιος εὕρηται καὶ δίχα τοῦ ᾰ Ἐριχθονίδας, ὥς φασιν οἱ τεχνικοί.

Πημνήϊον. πλεονασμὸν ἔχει τοῦ η, καθάπερ25 καὶ τὸ πολεμήϊον καὶ τὸ οἰήϊον, ὃ δηλοῖ πλοίου οἴακα, καὶ οὐκ ἂν ἔχῃ ἀμφιβολίαν ὡς τὸ ξυνήϊον.

Πηνελόπη λέγεται ἢ παρὰ τὸ πένεσθαι περὶ τὸ λόπος. λόπος δέ ἐστιν ὕφασμα λεπτὸν κατὰ κρομύου λοπὸν, ἐξ οὗ κατ' ἔκτασιν λώπιον, καὶ ὁ ἐπιβουλεύων30 αὐτῷ λωποδύτης. ἢ παρὰ τὸ πηνίον ἑλεῖν. πηνίον δέ ἐστιν ὁ μίτος, ἐξ οὗ καὶ χρυσεοπήνιτον ἄμφιον καὶ ἐκπηνίζω ῥῆμα παρὰ τῷ κωμικῷ, καὶ ἐκπηνιεῖται, ὅ ἐστι μυρήσεται, καὶ κατὰ Παυσανίαν ἐξειλήσει εἰς πηνίον. καὶ ἔστι κατὰ τὴν ἐτοιμολογίαν ταύτην τῇ Πη-35 νελόπῃ.

134b *Πῇ ἐπίῤῥημα ἐρωτηματικὸν ἀντὶ τοῦ ποῦ. ἔστι καὶ ἀόριστον. ὅτε δὲ ἐρωτηματικόν, περισπᾶται. διαφέρει δὲ τὸ ποῦ, ὅτι τὸ μὲν πῇ τὴν εἰς τόπον σχέσιν σημαίνει, ὡς Ὅμηρος, πῇ ἔβη Ἀνδρομάχη, ὅτὸ δὲ ποῦ τὴν ἐν τόπῳ, τοῦ δεῦρο κιών. ὅθεν οὐ δεῖ λέγειν πῇ ἀπέρχῃ; ἀλλὰ ποῦ;*

Πηγὸς ὁ εὐπεπηγμένος καὶ εὐτραφὴς, ὡς τὸ πηγοὺς ἀθλοφόρους. σημαίνει δὲ καὶ τὸν μέλανα κατὰ διάλεκτον ὡς τὸ κύμα, ὡς τὸ κύματι πηγῷ, ἢ τῷ 10*ὑγρῷ.*

Πηγεσίμαλλος ὁ εὐτραφὴς καὶ εὐπαγὴς καὶ δασεῖς ἔχων τοὺς μαλλοὺς, παρὰ τὸ πήσσω μᾶλλον πηγὸς, καὶ κατὰ μαλλὸς γίνεται πηγεσίμαλλος πλεονασμῷ τῆς σι συλλαβῆς, καὶ σημαίνει τὸν μέλανας 15*μαλλοὺς ἔχοντα. καὶ δῆλον ἐκ τοῦ εἰπεῖν τὸν ποιητὴν ὅστ' οἷῶν μέγα πώη διέρχεται· ὁ γὰρ τοιοῦτος φοβερὸς φαίνεται ἐν πλήθει προβάτων.*

Πηδῶ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι. οἱ γὰρ πηδῶντες εὐφραίνονται.

20 *Πηλεὺς παρὰ τὸ πάλλω τὸ κινῶ παλεὺς, καὶ τροπῇ τοῦ ᾰ εἰς ῆ Πηλεύς. ἱστέον ὅτι τὰ εἰς ευς, εἰ μὲν καθαρὸν ἔχει τὸ ε ἐπὶ τῆς γενικῆς συναιρεῖται παρὰ τοῖς Ἀθηναίοις Στειρεὺς Στειρέως Στειρῶς, Ἐρετρεὺς Ἐρετρέως Ἐρετρῶς, Πειραεὺς Πειραέως* 25*Πειραῶς τοῦ εω εἰς ῶ κιρνομένου. ἐὰν δὲ μὴ ἔχει καθαρὸν τὸ ε, οὐ κιρνᾶται, Ἀχιλλέως Πηλέως. ἐπὶ δὲ τῶν γινομένων ἀττικῶς κατὰ συναλοιφὴν τοῦ εω εἰς ῶ τὰς αἰτιατικὰς εἰς ᾰ μόνον ποιοῦσιν, οἷον τὸν Ἐρετριέα τὸν Ἐρετριᾶ, τὸν Πειραιέα τὸν Πειραιᾶ. τὸ* 30*γὰρ ᾰ καὶ πρὸ τῆς συναλοιφῆς μακρὸν ἦν. πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα θέλει ἔχειν τὴν αἰτιατικὴν τῶν ἑνικῶν εἰς ᾰ ὁμότονον καὶ ὁμόχρονον, οἷον Αἴαντος Αἴαντα, ὁμοίως Πηλέως Πηλέα. οἱ μέντοι Ἀθηναῖοι ἐπειδὴ Πηλέως καὶ Ἀχιλλέως διὰ τοῦ ῶ μεγάλου λέ-* 35*γουσι. τούτου γὰρ καὶ τὴν αἰτιατικὴν ποιοῦσιν εἰς ᾰ*

μακρὸν, ὡς ἰσόχρονος γένηται τῇ γενικῇ ἰδίᾳ. ὅθεν Εὐριπίδης,

καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας.

ἐπὶ τούτων οὖν, ὡς εἴρηται, εἰς ᾱ μόνον κιρνᾶται 135 a
ἡ αἰτιατικὴ, καὶ οὐκ εἰς η̄. τῆς γὰρ κλητικῆς εἰς φω-5
νῆεν ληγούσης οὐ θέλει ἡ αἰτιατικὴ εἰς η̄ καταλήγειν
οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις. παρὰ δὲ
τοῖς Δωριεῦσιν εὑρίσκεται ἡ αἰτιατικὴ εἰς η̄, ὡς παρὰ
τῷ ποιητῇ, ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί,
ἀντὶ τοῦ ἐπὶ τὸν Τυδέα. διὰ τὴν τοιαύτην τοίνυν αἰ-10
τίαν οὔτε ἐπὶ τῶν ἐχόντων σύμφωνον γίνεται κρᾶσις
κατὰ τὴν αἰτιατικὴν, οὔτε μὴν ἐπὶ τῶν ἐχόντων καὶ
σύμφωνον γίνεται κρᾶσις κατὰ τὴν κοινὴν γενικὴν,
οὔτε ἐπὶ τῶν καθαρῶν, ἀλλ' ἐπὶ τούτων μόνων κατὰ
τὴν αἰτιατικὴν καὶ γενικὴν, ὡς δέδεικται, Πειραιέως15
Πειραιῶς, Ἐρετριέως Ἐρετριῶς, οὔτε ἐπὶ τῶν εἰς υς
ἡδὺς, οὔτε ἐπὶ τῶν εἰς ις ὄφις ὄφεως, ἐπειδὴ ἔμελλεν
ἡ τοιαύτη αἰτιατικὴ εἰς η̄ καταλήγειν τῆς κλητικῆς εἰς
φωνῆεν ληγούσης. δεῖ δὲ γινώσκειν ὅτι τοῦ Πέρσης
ἡ κλητικὴ τοῦ κυρίου ὀνόματος εἰς η̄ ἐστὶ πρὸς ἀντι-20
διαστολὴν τοῦ ἐθνικοῦ. τὰ γὰρ εἰς ης ἰσοσύλλαβα εἰς
η̄ κοινῶς ποιοῦσι τὴν κλητικὴν καὶ εἰς ης ἀττικῶς,
οἷον ὁ Χρύσης ὦ Χρύση καὶ ὦ Χρύσης. σεσημείωται
ὁ λάγνης τοῦ λάγνου ὦ λάγνα, καὶ ὁ πυραίχμης τοῦ
πυραίχμου ὦ πυραίχμα, καὶ μεναίχμης μεναίχμου ὦ25
μεναίχμα. τὸ δὲ μάκαρ ὦ Στρεψιάδες παρ' Ἀρι-
στοφάνει πέπαικται καὶ Ἡράκλειδες. τὰ δὲ εἰς της λή-
γοντα ἰσοσύλλαβα εἰς ᾰ βραχὺ ποιοῦσι τὴν κλητικὴν,
οἷον ὁ ποιητὴς τοῦ ποιητοῦ ὦ ποιητὰ, ὁ τοξότης τοῦ
τοξότου ὦ τοξότα, ὁ ληστὴς τοῦ ληστοῦ ὦ ληστά. σε-30
σημείωται ὁ Αἰήτης τοῦ Αἰήτου ὦ Αἰήτη, καὶ Καλ-
λιπέτης Καλλιπέτου ὦ Καλλιπέτη, καὶ Ἀιναρέτης Αἰ-
ναρέτου ὦ Αἰναρέτη, καὶ φιλοθερσίτης ὦ φιλοθερ-
σίτη, ὡς παρὰ τῷ ποιητῇ φιλοθερσίτη φιλοκέρ-
τομε, οὗ τὸ ἁπλοῦν παρ' αὐτῷ τὸ ᾰ φυλάσσει, οἷον35

Θερσίτ' ἀκριτόμυθε. ὁμοίως καὶ τὰ εἰς ης ἐθνικὰ εἰς ᾱ ποιοῦσι τὴν κλητικήν, οἷον ὁ Σκύθης τοῦ Σκύθου ὦ Σκύθα, ὁ Καππαδόκης τοῦ Καππαδόκου ὦ Καππαδόκα, ὁ Πέρσης τοῦ Πέρσου ὦ Πέρσα καὶ ὦ Πέρση σπανίως. ὅτε δὲ κύριόν ἐστιν, ὡς εἴρηται, εἰς
135b ῃ ποιεῖ τὴν κλητικήν, ὡς παρ' Ἡσιόδῳ,

καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ,

ὦ Πέρση.

ὁμοίως καὶ τὰ σύνθετα ἀπὸ τοῦ μετρῶ καὶ πωλῶ καὶ τρίβω εἰς α ποιοῦσι τὴν κλητικήν, οἷον μετρῶ γεωμέτρης ὦ γεωμέτρα, πωλῶ, οἷον βιβλιοπώλης ὦ βιβλιοπώλα, ἀρτοπώλης ὦ ἀρτοπώλα, τρίβω, οἷον παιδοτρίβης ὦ παιδοτρίβα. ὁμοίως καὶ τὰ εἰς πης ποιητικῶς, ὦ κυνώπης ὦ κυνώπα, ὡς παρὰ τῷ ποιητῇ,

τιμὴν ἀρνύμενοι μεμελάω σοί τε κυνώπα.

ἐχθοδόπης ὦ ἐχθοδόπα, ὡς παρὰ Σοφοκλεῖ, ἐχθοδόπ' Ἀτρείδαις.

Πίειρα ἡ λιπαρὰ παρὰ τὸ πῖον.

Πίθι Πακτωλοῦ ῥοὰς, ἀντὶ τοῦ πίε. ἀπὸ τοῦ πίω πίε καὶ ἐκτάσει τῆς θι συλλαβῆς πίεθι, καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρὸν πίθι. ἢ ἐκ τοῦ πίε πίθι κατὰ μεταπλασμὸν, ὡς ἐκ τοῦ ἴε ἴθι.

Πιθοίατο ἐπὶ τῶν τρίτων προσώπων τῶν πληθυντικῶν εὐκτικῶν εἰώθασιν οἱ Αἰολεῖς τὰ ἀμετάβολα τρέπειν εἰς α, πίθοιντο πιθοίατο, δεύοιντο δευοίατο.

Πίμπλαμαι. ἀπὸ τοῦ πέλω συγκοπῇ πλῶ καὶ πιμπλῶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ μ παράγωγον πίμπλημι τὸ πληρῶ. ἀπὸ δὲ τοῦ πιμπλῶ πιμπλάνω, ὡς ἥδω ἀνδάνω, καὶ πιμπλάνεται τὸ πληροῦται ἐν Ἰλιάδι ι.

Πιμπρᾶσαι. φυσῶσαι. πιμπρῶ τὸ καίω πρῶ καὶ ἀναδιπλασιασμῷ καὶ πλεονασμῷ τοῦ μ πιμπρῶ καὶ πίμπρημι.

Πινύσκω. παρὰ τὸ πνέω πνύω, ὁ μέλλων πνύσω πλεοναsμῷ τοῦ κ πνύσκω, ὡς μεθύσω μεθύσκω, ἐπενθέσει τοῦ ι πινύσκω. ἢ παρὰ τὸ πνύω πνύσω πνύσκω ἀναδιπλασιασμῷ πιπνύσκω καὶ ἀποβολῇ τοῦ π καὶ ἐκτάσει τοῦ ι πινύσκω, ὡς γιγνώσκω γινώσκω. ἄμεινον δὲ πλεοναsμὸν ἤπερ διπλασιασμὸν πεπονθέναι.

Πινυτὸς, ὁ σώφρων καὶ συνετὸς, παρὰ τὸ πνέω, ἀφ' οὗ πνύω πνυτὸς καὶ πινυτός. ἢ παρὰ τὸ πονῶ πονύω πονυτὸς καὶ τροπῇ τοῦ ο εἰς ι πινυτός. ἢ πονυτὸς καὶ πνυτὸς κατὰ συγκοπὴν, καὶ πλεοναsμῷ τοῦ ι πινυτὸς ὁ διεγηγερμένος, καὶ πινυτὴ ἡ σωφροσύνη καὶ ἡ διέγερsις.

Πίπτω. ἀπὸ τοῦ πέτω πίπτω. τὸ γὰρ ε πλεονάζον σύμφωνον τρέπεται εἰς ι. ἢ πετῶ πτῶ διπλασιασμῷ πίπτω. τὰ γὰρ πετόμενα τοῖς πίπτουσιν ἔοικε. τὰ δὲ εἰς πτω λήγοντα ῥήματα διχρόνῳ παραληγόμενα συστέλλει αὐτὸ, βάπτω σκάπτω τύπτω ἵπτω λίπτω. σεσημείωται τὸ πίπτω καὶ ῥίπτω φύσει μακρᾷ παραληγόμενα. ἔνιοι δέ φασιν ὅτι τὸ μὲν ῥίπτω καὶ πίπτω μακρὸν ἔχουσι φύσει τὸ ι, τὸ δὲ ἵπτω καὶ λίπτω τὸ ἐπιθυμῷ θέσει. ὥσπερ δὲ ἀπὸ τοῦ ὄπτω αἰολικῶς ὄσσω, οὕτως πίπτω πίσσω.

Πῖον τὸ λιπαρὸν, παρὰ τὸ πιεῖν, ὅ ἐστιν ὑγραίνεσθαι ἐξ ἀναδόσεως τῶν σιτίων.

Πίσα ὄνομα πόλεως, οἱ μὲν ἀπὸ Πίσου τινὸς, οἱ δὲ ὅτι κάθυγρός ἐστιν ὁ τόπος καὶ πολὺ ὕδωρ ἔχων. πίση γὰρ λέγεται παρὰ τοῖς παλαιοῖς οἱ κάθυγροι τόποι, ὡς Ὅμηρος πίσεα ποιήεντα, καὶ παρ' ἑτέρῳ, πίσεά τε προλιπὼν καὶ ἐλεσπίδας. γράφεται δὲ διὰ τοῦ ι. παράγεται γὰρ παρὰ τὸ πίσω μέλλοντα ῥηματικὸν ὄνομα οὐθέτερον πῖσος καὶ κλίνεται πίσεος πίσους πίσεα. ἐκ δὲ τοῦ πίσω μέλλοντος καὶ Πίσα ἡ χώρα, ὡς λύσω λύσσα. τὸν δὲ πίσω μέλλοντα λέγει ὁ τεχνικὸς μὴ εὑρῆσθαι, καὶ ταῦτα εἰρομένου αὐτοῦ καὶ παρὰ Πινδάρῳ, οἷον πήσω γε δή-

ρῆς ὕδωρ, καὶ παρὰ Εὐπόλιδι, οἷον πολὺν πίσειεν. ἀλλὰ μήποτέ ἐστιν εἰπεῖν μὴ εἰρῆσθαι ἐν πάτει.

Πίσσυρες οἱ τέσσαρες κατὰ κοινωνίαν τοῦ τ εἰς τὸ π καὶ τοῦ ε πρὸς τὸ ι καὶ τοῦ α εἰς τὸ υ, οἷον τέσσαρες πίσσυρες.

Πιτνῶ σημαίνει τὸ διαῤῥήσσω, ἀπὸ τοῦ πέτω πιτνῶ, ὀρέγω ὀριγνῶ. ὡς γὰρ λέγει Ἡρωδιανὸς περὶ παθῶν, οὐ δύναται εἶναι ἀπὸ τοῦ πίπτω κατὰ πλεονασμὸν τοῦ ν, ἐπειδὴ μετὰ δύο ἀντιστοιχείων μόνον τὸ ρ τίθεται, οἷον ἐχθρός.

Πιφαύσκω, ἐμφανίζω, φανεροποιῶ. ἐκ τοῦ φῶ τὸ λέγω παράγωγον φάζω φάσω καὶ φάσκω ἀναδιπλασιασμῷ καὶ πλεονασμῷ τοῦ υ πιφαύσκω. ὁ δὲ Φι- 136b λόξενος λέγει, ὡς ἀπὸ τοῦ χρῶ χραύω, οὕτως ἀπὸ τοῦ φῶ φαύω φαύσω καὶ πλεονασμῷ τοῦ κ φαύσκω καὶ κατὰ ἀναδιπλασιασμὸν πιφαύσκω. ἔτι πλεονασμῷ τοῦ ρ ἐστὶ καὶ πιφραύσκω. ἔστι δὲ καὶ πιφάσκω.

Πίων ὁ λιπαρὸς, ἀπὸ τοῦ πίω, ἐξ οὗ καὶ πιῶ, ὁ β' ἀόριστος ἔπιον. ἐκ τοῦ οὖν πίω πιῶν ὄνομα γί- νεται. ὁ γὰρ λιπαρὸς πιότητα ἔχει, καὶ ἐξ αὐτοῦ πιό- της διὰ τὸ ὑγραίνεσθαι ἐξ ἀναδόσεως τῶν σιτίων. οἱ δὲ παρὰ τὸ τὴν πόαν. τὸ πι μακρόν. κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα μὴ ὄντα κυρίως ἐκτείνει αὐτό, οἷον κίονος, πρίονος. οὕτως οὖν καὶ πίονος.

Πίλναται, ἤτοι πλησιάζουσι, γίνεται ἀπὸ τοῦ πελῶ τὸ πελάζω καὶ ἐγγίζω. ὡς γὰρ ἔχω ἴσχω, ὀρέγω ὀριγνῶ, μένω μίμνω, γένω γίγνω, πέτω πίτνω καὶ πίπτω, ῥέπω ῥίπτω, οὕτω καὶ πελῶ πιλνῶ καὶ πίλ- νημι. ἐξ αὐτοῦ παθητικὸν πίλναται.

Πιέξειν λέγεται καὶ πιεξεῖν, ὡς δηλοῖ τὸ χερσὶ στιβαρῇσι πιέξευν, ἀντὶ τοῦ ἐπιέξουν, ὃ πρώ- της συζυγίας τῶν περισπωμένων ῥῆμά ἐστιν ὅμοιον τὸ ἐπίευν καὶ τοῖς τοιούτοις. διφορεῖται οὖν παρὰ τῷ ποιητῇ τὸ πιέζω οὐ μόνον βαρυτονούμενον, ἀλλὰ

καὶ περισπώμενον. καὶ ἔστιν ἡ τοῦ περισπωμένου χρῆσις καὶ παρὰ Πλουτάρχῳ καὶ ἑτέροις.

Πλαγγὼν οὐκ ἀπὸ τοῦ πλάσσω, ἐγένετο γὰρ ἂν πλαδὼν, ὡς σπάσσω σπαδὼν, ἀλλὰ παρὰ τὸ πλάζω πλαγὼν καὶ πλεονασμῷ τοῦ γ πλαγγών. τοῦτο γὰρ εἰς πλάνην καὶ ἀπάτην γίνεται τῶν κοράκων.

Πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. ἀπεκρούσθη δὲ ἀπὸ τοῦ σιδήρου ὁ σίδηρος. οἱ μὲν ἀπὸ τοῦ πλάζομαι πλάχθη καὶ πλεονασμῷ τοῦ γ πλάγχθη. οἱ δὲ ἀπὸ τοῦ πλᾶζω πλᾶξω καὶ πλάγχθη πλεονασμῷ τοῦ γ. τὸ δὲ πλάζω ἐκ τοῦ πλανῶ πλανάζω καὶ συγκοπῇ πλάζω, καὶ πλάζουσι τὸ πλανῶσιν.

Πλακοῦς. πλάκας ἑκάλουν πάντα τὰ εἰς 137 a
πλάτος ἐκτεταμένα, ὅθεν πλακόεις καὶ συναιρέσει ἀττικῇ πλακοῦς, ὡς Σιμόεις Σιμοῦς. κλίνεται πλακοῦντος. τὰ δὲ εἰς ους συνῃρημένα τὴν κλίσιν ἔχει τῶν ἐντελῶν. καλῶς δὲ εἴρηται τὰ συνῃρημένα καὶ οὐχὶ τὰ πεπονθότα τῶν ἀπαθῶν. ἰδοὺ γὰρ ἡ εἰκὼν ἀποβολῇ τοῦ ν γίνεται εἰκᾷ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου καὶ οὐ φυλάττει τὴν αὐτὴν κλίσιν. ἡ μὲν γὰρ κλίνεται εἰκόνος, ἡ δὲ εἰκοῦς, ὡς Σαπφοῦς.

Πλατάνιστος ὄνομα παρώνυμον. τὸ γὰρ πλατάνιστος καὶ πρώτιστος τῇ μὲν φωνῇ εἰσιν ὑπερθετικὰ, τῷ δὲ σημαινομένῳ καὶ τῷ χαρακτῆρι ἀντὶ τῶν ἁπλῶν εἰσι, καὶ εἰσὶ παρώνυμα. γίνεται δὲ ἐκ τοῦ πλάτους. λέγουσι γὰρ εἶναι αὐτὴν πλατύφυλλον.

Πλειότερος. ἰστέον ὅτι οὐ πάντα τὰ εἰς ων ὀνόματα ποιοῦσι συγκριτικὰ, ἀλλὰ μόνα τὰ παρασχηματιζόμενα θηλυκῶς καὶ οὐδετέρως. τῶν μέντοι ὀξυτόνων οὐδὲν εἰς σύγκρισιν κλίνεται, οὐδὲ γὰρ τοῖς γένεσι παρασχηματίζεται, οἷον σωφρονέστατος τλημονέστατος ἀπὸ τοῦ σώφρων καὶ τλήμων, οἷον ἀλλ' εἶμι γὰρ ἤδη τλημονεστάτην ὁδόν. τὸ οὖν παρὰ Καλλιμάχῳ ὄφρα σε πλειοτέρη οὐ παρὰ τὸ πλεῖον πεποίηται, πλειονέστερον γὰρ ἂν ἐλέγετο, ἀλλὰ

παρὰ τὸ πλεῖος, ἀφ' οὗ μὲν Ὅμηρος πλεῖοι μέλανος θανάτοιο, καὶ πλεῖαι τοι οἴνου κλισίαι. πλεῖος οὖν καὶ πλειότερος. ἡμάρτηται δὲ ὁμολογουμένως τὸ πολὺ χρειότερον παρὰ τῷ Ἡσιόδῳ. καὶ γὰρ συγκριτικὸν ὂν τὸ χεῖρον συγκριτικὸν ἐποίησεν, ὅπερ ἀδύνατον. καὶ εἰ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ὤφειλεν. ἴσως οὖν Ἡσίοδος ἀπὸ τοῦ πλεῖος τὸ πλειότερος.

Πλεῖον ἐκ τοῦ πλεῖος, ὡς τὸ πλεῖος μέλανος θανάτοιο. ἐκ δὲ τοῦ πολὺς πολέος συγκοπῇ πλέος καὶ πλεονασμῷ τοῦ ι πλεῖος, καὶ τὸ συγκριτικὸν πλειὼν καὶ τὸ οὐδέτερον πλεῖον. σημαίνει δὲ τὸ πλεῖστον. ἢ παρὰ τὸ πολὺς πολεῖον καὶ συγκοπῇ πλεῖον.

Πλεῖαί τοι χαλκοῦ κλισίαι, ἀντὶ τοῦ πλήρεις, γέμουσαι. ἀπὸ τοῦ πλεῖον μεταπλασμὸς γίνεται πλεῖος καὶ πλεῖα, καὶ τὸ πληθυντικὸν πλεῖαι.

Πλειάρειν. τὸν γὰρ πλήρα οὕτως ἔφη πλειάρειν. οἱ γὰρ Αἰολεῖς τὸ ῆ εἰς ει μεταβάλλουσι. τὸ γὰρ πένης πένεις λέγουσι. 187 b

Πλεῖστος. δεῖ γινώσκειν ὅτι τὰ εἰς τος ὑπερθετικὰ δισύλλαβα ὄντα φυλάττουσι τὴν δίφθογγον, λῷον λῶστος, ῥᾴων ῥᾷστος, μειὼν μεῖστος, πλειὼν πλεῖστος. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς εἴη, ἀποβάλλουσι τὸ ε, ἀρείων ἄριστος, χερείων χέριστος.

Πλειστηριάσαντες. τὸ πλείονος πωλῆσαι τιμῆς ὃ οὕτις ὠνήσατο.

Πλημμυρὶς, πλημμύρα. ὀξύνεται δέ. τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων ὀξυτονεῖται, βασιλεύω βασιλὶς, πλημμύρω πλημμυρὶς, γράφω γραφὶς, βέλω βολίς. τὸ δὲ πλημμύρω ἀπὸ τοῦ πλήθω πλήμη καὶ πλημμύρω. ἔνιοι δὲ ἐπίῤῥημα, ὡς τὸ λικριφὶς καὶ ἀμοιβηδίς. εἰ μέντοι ὄνομα, ἔστιν εὔλογον βαρύνεσθαι αὐτὸ διὰ τὴν παρὰ Βακχυλίδῃ αἰτιατικὴν, οἷον πλήμμυριν πόντου φυγών. τὰ μὲν γὰρ ὀξυνόμενα τῶν

εἰς ῑς θηλυκῶν μόνως περιττοσυλλάβως κλίνεται κατὰ τὰς πλαγίους πτώσεις, ἀσπὶς ἀσπίδος, καρὶς καρίδος. τὰ δὲ βαρυνόμενα ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ τὴν αἰτιατικὴν, Θέτις Θέτιν, χάρις χάριτος χάριν. παρὰ τῷ ποιητῇ ἑκατέρως, Κύπριδα μὲν πρῶτον, καὶ ὁ δὲ Κύπριν ἐπῴχετο.

Πλῆμναι αἱ χοινικίδες, δι' ὧν ὁ ἄξων στρέφεται, παρὰ τὸ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. ἢ παρὰ τὸ πλήθω πλήμνας τοὺς τροχοὺς τὰς σύριγγας, ἃς χοινίδας ἔνιοι καλοῦσιν.

Πλῆντο. προσεπέλασαν, ἀπὸ τοῦ πέλω, ὡς τὸ, καὶ ῥῖνες οὔδεϊ πλῆντο. σημαίνει καὶ τὸ ἐπληροῦντο, ὡς τὸ, πλῆντο δ' ἄρα αἴθουσαί τε καὶ ἔρκεα ἀνδρῶν.

Πληθύνω. ἐκ τοῦ πληθύς. τοῦτο παρὰ τὸ πληθύω, τοῦτο παρὰ τὸ πλήθω, καὶ πλῆθος, τοῦτο ἀπὸ τοῦ πλῶ πλήθω, ὡς νῶ νήθω, δρῶ δρήθω, πρῶ πρήθω.

Πλησίον ὄνομα καὶ μετήχθη εἰς ἐπίῤῥημα, καὶ ἔστι μονόπτωτον παρὰ τὸ πέλω πελάζω ῥηματικὸν ὄνομα πλατὸς καὶ πλητὸς, καὶ τροπῇ τοῦ τ εἰς σ καὶ κατὰ παραγωγὴν πλησίος, ὡς ἄμβροτος ἀμβρόσιος.

Πλόος πλοῦς, ἀπὸ καὶ πλέω γίνεται πλόος καὶ πλοῦς. καὶ τί δήποτε τὸ γόος καὶ χλόος μὴ ἐποίησαν γοῦς καὶ χλοῦς, εἴπερ τὸ πλόος γίνεται πλοῦς καὶ τὸ νόος νοῦς. ὡς τὸ ἀπαθῆ οὐκ εἰσὶν διηνεκῆ, ὅθεν οὐδεὶς ἐγκαλεῖ τοῖς ἀπαθέσιν, ἀλλὰ τοὐναντίον ὑπὲρ πεπονθότων ἀπολογεῖται. 138 a

Πλύτης. διὰ τί ἀπὸ τοῦ πλύνω οὐ φασὶν πλύντης καὶ κρίνω κρίντης, ὡς ὑφάντης ἀπὸ τοῦ ὑφαίνω καὶ ξαίνω ξάντης καὶ μιαίνω μιάντης; λύσις· ὅτι τὰ μὲν ἐν τῷ παρακειμένῳ ἐφύλαξε τὸ ν ὕφαγκα ἔξαγκα μεμίαγκα. τὸ δὲ πλύνω καὶ κρίνω ἀπέβαλον αὐτό. πέ-

πλυκα γὰρ καὶ κέκρικα φαμὲν, ὅθεν καὶ τὰ ὀνόματα χωρὶς τοῦ ν̄ γέγονεν.

Πλοῦτος παρὰ τὸ πολὺς καὶ τὸ τῶ τὸ λαμβάνω καὶ δέχομαι πολύσυτος καὶ συγκοπῇ πλοῦτος. καὶ Πλούτων λέγεται ὁ ᾅδης ἀπὸ τοῦ τοὺς ἀποθανόντας μηδενὸς δεῖσθαι ὡς οἱ πλούσιοι. ἢ ὅτι ἐκ τῆς γῆς ὁ πλοῦτος εὑρίσκεται τῶν ἀνθρώπων. ὅθεν καὶ Ἡσίοδος· Δημήτηρ μὲν πλοῦτον ἐγείνατο.

Πλυνοί. ἐν οἷς τόποις πλύνουσί τι πλυνοὶ ὀνομάζονται. πλύνος δὲ καὶ πλυνὸς διαφέρει. πλύνος γάρ ἐστι τὸ πλυνόμενον, πλυνὸς δὲ ὁ τόπος καὶ τὸ ἀγγεῖον, ἐν ᾧ τὸ πλῦνος πλύνεται. καὶ πλυνέας τοὺς πλύτας.

Πλώξω ἔχει τὸ ῑ. σημαίνει δὲ τὸ πλωΐζω. ὥσπερ ἀπὸ τοῦ λέπω λεπίζω γίνεται, οὕτως ἀπὸ τοῦ πλώω πλωΐζω καὶ συναιρέσει πλώξω. ἢ ὥσπερ ἀπὸ τοῦ λέγω γίνεται λόγος καὶ ἐξ αὐτοῦ λογίζω, οὕτως ἀπὸ τοῦ πλέω πλόος, ἐξ οὗ πλοΐζω, ὡς ἀνθρωπίζω, καὶ ἐκτάσει τοῦ ο πλωΐζω, καὶ συναιρέσει πλώξω, χρωΐζω χρώξω.

Πλέας ἀπὸ τοῦ πλέονας, καί ἐστι ὁμοία τῷ χέρηϊ καὶ τοῖς τοιούτοις. συγκέκοπται δὲ ὁμοίως καὶ τὸ κοσμηθείμεν, οὗ τὸ δεύτερον εἴη ἂν ἀκολούθως κοσμηθεῖτε, τὸ δὲ τρίτον κοσμηθεῖεν.

Πλῆτο σύστοιχόν ἐστι τῷ πέλασαν. ἀπὸ γὰρ τοῦ πέλω γίνεται πλῶ καὶ ἀπ' αὐτοῦ τὸ πλῆτο, οὗ τρίτον πληθυντικὸν, οὔδεϊ πλῆντο.

Πλέες. ἰωνικὴ συγκοπὴ τοῦ ο̄ καὶ τοῦ ν̄ ἐκ τοῦ 138b πλέονες. τὸ μέντοι κοινὸν τὸ πλείους τὸ ν̄ μόνον ἐξέθλιψεν, εἶτα συνεῖλε τὸ λειφθὲν, ὡς καὶ τὸ μείζους καὶ κρείττους καὶ τὰ λοιπά. τὸ δὲ περιπλέες λείπεται ἀντωνυμίας, δηλοῦν τὸ περὶ αὐτὸν πλέονες ἰωνοί.

Πλάγχθη ἀναύξητον ὃν ἰαστὶ προήνεκται, ὡς φίλον Ὁμήρῳ, ἀπὸ τοῦ πλάζω γενόμενον πλεονασ-

μὸν ἔπαθε τοῦ ν̄ διὰ καλλιφωνίαν καὶ ὄγκον ἤχου, ὡς καὶ ἐπὶ τοῦ ἀμφασία ἐγένετο καὶ ἐπὶ τοῦ ἄμβροτος ἄβροτος καὶ τερψίμβροτος, καὶ τύμπανον, καὶ πίμπλημι, καὶ χρίμπτω, καὶ φαεσίμβροτος, καὶ λίγξε βιὸς, καὶ ἐπὶ τοῦ λαγχάνω καὶ λέλογχε, καὶ φυγγάνω θιγγάνω ἐρυγγάνω τυγχάνω καὶ ἐπὶ τῶν ἄλλων πολλῶν.

Πνὺξ παρ' Ἀθηναίοις ἡ ἐκκλησία, παρὰ τὸ πεπυκνῶσθαι τῷ πλήθει τῶν ἐκκλινόντων ἐκεῖσε ἀνθρώπων. κλίνεται πυκνὸς πνὺξ ὅτι πυκνά ἐστι παρὰ αὐτὴν οἰκήματα. ἡ γενικὴ πυκνὸς, διὰ δὲ τὸ εὔφωνον πνυκός.

Ποδάρκης, ὁ ταχὺς περὶ τὸν δρόμον, ὁ τοῖς ποσὶν ἑαυτῷ ἐπαρκεῖν ἤτοι βοηθεῖν δυνάμενος πρὸς τὸ ὑπεκφεύγειν ἢ διώκειν τοὺς πολεμίους, ὡς Ὅμηρος ποδάρκης δῖος Ἀχιλλεύς. ἔστι δὲ καὶ ὄνομα κύριον ὁ τοῦ Πρωτεσιλάου ἀδελφὸς, καὶ ὤφειλεν εἶναι ποδαρκὴς ὀξυτόνως ὡς ἐπίθετον. ἀλλὰ σημείωσαι τὰ παρὰ τὸ ἀντῶ καὶ ἀρκῶ καὶ αὐθάδης. ἡ κλητικὴ πόδαρκες, ὡς αὔταρκες, καὶ τὸ οὐδέτερον ποδαρκὲς ὀξύτονον, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ.

Ποδοῖϊν. τοῦτο ποιητικὸν παρὰ τὸ ποὺς ποδὸς ποδοῖν καὶ πλεονασμῷ τοῦ ῑ ποδοῖϊν.

Ποθέεσκε. ποθέω ποθῶ ἐπόθεον ἐπόθουν ἐπόθεε καὶ πλεονασμῷ τῆς σκε συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης ποθέεσκε.

Ποῖ παρὰ Ἀργείοις ἀντὶ τοῦ ποτὶ ἀποβολῇ τοῦ τ̄ καὶ συναιρέσει τοῦ ο̄ καὶ ῑ̄.

Ποιήη. ποιέω ποιῶ ποιέων ποιῶν ποιέοντος ποιοῦντος ποιέομι ποιοῖμι ποιέοι ποιοῖ καὶ πλεονασμῷ τοῦ η̄ ποιοίη καὶ πλεονασμῷ τοῦ σ̄ γίνεται ποιοίης δεύτερον πρόσωπον, τροπῇ τοῦ σ̄ εἰς ν̄ ποιοίην πρῶτον πρόσωπον. κρεῖττον δὲ κατὰ μεταπλασμὸν τῆς μι εἰς ην γενέσθαι ποιοῖμι ποιοίην, τελοῖμι τελοίην. 139 a

Ποιπνύειν, ἐνεργεῖν, διακονεῖν, οἱονεὶ τὸ μετὰ σπουδῆς καὶ πνεύματος ποιεῖν τι. τῷ γὰρ μετὰ σπουδῆς ἐνεργοῦντι ἕπεται τὸ πνευστιᾶν. πνέειν οὖν καὶ πνύειν καὶ ἐν συνθέσει μετὰ τοῦ ποῖ ποιπνύειν. ἢ παρὰ τὸ πονῶ πονύειν καὶ πλεονασμῷ τοῦ π καὶ ῑ ποιπνύω. ἰστέον δὲ ὅτι πνεῦμα σημαίνει δ', πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι ἀληθείας δεῖ προσκυνεῖν. πνεῦμα ὁ ἄγγελος ὡς τὸ ὁποιῶν τοὺς ἀγγέλους πνεύματα. πνεῦμα καὶ ὁ ἄνεμος, ὡς τὸ πνεῦμα βίαιον παρὰ τὸ παρέχειν ἡμῖν πνεῖν.

Ποιῶ παρὰ τὸ ποιόν. ἢ παρὰ τὸ πονῶ ἀποβολῇ τοῦ ν̄ καὶ πλεονασμῷ τοῦ ῑ ποιῶ. ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι πῶ λέγουσιν ἀποβάλλοντες καὶ τὸ ῑ, καὶ ἀποροῦσί τινες λέγοντες ὅτι εἰ ἄρα οἱ Ἀθηναῖοι ἐν τῷ κλαίω καὶ καίω ἀποβάλλοντες τὸ ῑ ἐκτείνουσι τὸ δίχρονον, διὰ τί καὶ ἐνταῦθα ἀποβάλλοντες τὸ ῑ οὐκ ἐκτείνουσι τὸ ο̄ εἰς ω̄; καὶ ἔστιν εἰπεῖν ὅτι οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ῑ τὸν αὐτὸν τόνον φυλάττουσιν ἐν τῷ κλάω κάω, τὸ δὲ ποιῶ καὶ μετὰ τὴν ἀποβολὴν τοῦ ῑ ἀναγκάζεται περισπᾶσθαι. εἰ δὲ ἐξετάθη τὸ ο εἰς ω̄, οὐκ ἠδύνατο περισπᾶσθαι. τὰ γὰρ διὰ τοῦ ω̄ μὴ ἔχοντα ὀνόματα προϋποκείμενα βαρύνεται. μὴ ἔχοντα ὀνόματα εἶπε διὰ τὸ ἐρωῶ. λέγουσι δέ τινες ὅτι οὐ πάντες οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ῑ τὸν αὐτὸν τόνον φυλάττουσιν. ἰδοὺ γὰρ τὸ χροιὰ γίνεται παρ' αὐτοῖς μετὰ ἀποβολὴν τοῦ ῑ χρόα βαρύνεται. ἔστι δὲ εἰπεῖν ὅτι οὐκ ἐγένετο ἀπὸ τοῦ χροία ὀξυτόνου, ἀλλὰ ἀπὸ τοῦ χροία βαρυτόνου. καὶ γὰρ τὸ χροιὰ λέγεται χροία βαρύτονον. ἢ ἀπὸ τοῦ χροῦς χροὸς γέγονεν ἀττικῶς ἡ χρόα, καὶ ἐκεῖθεν ἡ χροιὰ ἐν ὀξείᾳ τάσει.

Πόλεμος παρὰ τὸ τὰς πόλεις μειοῦν, ἢ παρὰ τὸ πολλοὺς ἀμᾶν, ὅ ἐστι θερίζειν καὶ κόπτειν. ἢ παρὰ τὸ πόλεις ὀλλύειν. ἢ παρὰ τὸ ὁλῶ ὅλεμος καὶ πολέ-

μιος. καὶ οὐδέτερον τὸ πολέμιον καὶ πλεονασμῷ τοῦ ῑ πολεμήϊον.

Πολέας πολλοὺς, ἀπὸ τοῦ πολὺς πολέος, ὡς ἡδὺς ἡδέος. ἡ εὐθεῖα τῶν πληθυντικῶν πολέες πο- 139b
λεῖς, ὡς ἡδέες ἡδεῖς καὶ ἡ αἰτιατικὴ πολέας πολεῖς. 5

Πόλις ἐκ τοῦ πέλω τὸ ἀναστρέφομαι. ἢ παρὰ τὸ πολεῖν ἐν αὐτῇ, ἐν ᾗ ἀναστρέφονται οἱ ἄνθρωποι κατὰ τὸ αὐτό. ἢ παρὰ τὸ πολίζω τὸ οἰκῶ. ἢ παρὰ τὸ ἐκ πολλῶν συνίστασθαι. σημαίνει δὲ δύο, τὰ κτίσματα, ὡς τὸ, ἀλλά γε τὸν δύστηνον ἄγ' ἐς πό- 10
λιν· καὶ τὸ πλῆθος, ὡς τὸ, Τρώων δὲ πόλις ἐπι-
πᾶσα βέβηκε θάρσυνος.

Πολιήτης ἐκ τοῦ πόλις πολίτης· καὶ πλεονασμῷ τοῦ ῑ πολιήτης.

Πολίσσαμεν. πόλιν ἐτειχίσαμεν, περιεβάλλομεν, 15
ᾠκοδομήσαμεν, ἀπὸ τοῦ πολίζω.

Πόλιοὶ λύκοι γράφεται καὶ πελιοὶ πυροὶ ἢ μέλανες, ὡς παρὰ τῷ ποιητῇ ἔκτοθε ῥινὸν πο-
λιοῖο λύκοιο. ἢ ὑπότρεφοι, ἢ τίμιοι. τίμιον γὰρ τὸ ζῷον καὶ παρὰ Ἀθηναίοις ὁ ἀποκτείνας λύκον ἐγεί- 20
ρει αὐτῷ τὰ πρὸς ταφὴν, καὶ ἴσως ἐπειδὴ ἡ Λητὼ ἔγκυος διὰ ιβ' ἡμερῶν εἰσῆλθε μεταβαλοῦσα εἰς λύ-
κον, διόπερ τινὰ καὶ τὸν ὡρισμένον παῖδα τίκτει λύκαινα. ἢ πολιοὺς τοὺς λευκούς. αἱ γὰρ τρίχες αὐτῶν 25
τὸ μὲν ἔχουσι πυῤῥὸν, τὸ δὲ λευκὸν, τὸ δὲ μέλαν ἐν αὐταῖς, οἷον τὸ μὲν κάτω πρὸς τὸ δέρμα λευκὸν, τὸ δὲ μέσον μέλαν, τὸ δὲ ἄνω πυρόν. καὶ τὸ ἀνάπαλιν εὑρίσκεται. οὖν ἡ θρὶξ τρεῖς ἔχουσα χρωιάς. πολιοὺς 30
οὖν ἀπὸ τοῦ λευκοῦ μέρους τῶν τριχῶν τοὺς λευ-
κοὺς εἶπεν.

Πολιόν τε σίδηρον. λαμπρόν. ἔνιοί φασιν ὅτι ὁ σίδηρος πυρωθεὶς λαμπρότερος γίνεται, φύσει μέ- 35
λας ὤν. καὶ ἄλλα δὲ πολλὰ ταυτὸ πάσχει. πολιὸν οὖν ἀντὶ ἔντιμον διὰ τὰς χρείας. ἢ ὅτι ὀξυνθεὶς ἤγουν ἀκο-
νηθεὶς καὶ λαμπρυνθεὶς λευκὸς φαίνεται.

Πόλυβος συγκοπῇ πέπονθε καὶ οὐχ ὑφαίρεσιν. εἰ γὰρ κατ' ἔλλειψιν γέγονε τοῦ ῡ, ὤφειλεν εἶναι πολύβος ἀπὸ τοῦ πολύβους, ὡς ὠκύπους ὠκύπος, ἀρτίπους ἀρτίπος, ἀελλόπους ἀελλόπος. ἀλλ' οὐ παροξύνεται, ἀλλὰ προπαροξύνεται, ὥστε ἀπὸ τοῦ πολύβιος συγκοπῇ πόλυβος.

Πολυδεύκης. τὰ εἰς ης ὀνόματα κύρια σύνθετα ἀπὸ ῥημάτων παραγόμενα εἰς ους ἔχει τὴν γενικὴν, ὡς ἀρπεφάνης ἀρπεφάνους.

Πολύκεστος ἱμὰς, πολυκέντιτος, πολύῤῥαφος, ποικίλος. κένσω τὸ κενῶ κενστὸς, ἢ ἀπὸ τοῦ κάζω τὸ καλλωπίζω, κέκασμαι κέκασται, καστὸς καὶ κεστὸς καὶ πολύκεστος.

Πολυλήϊος. πλούσιος, πολλὰ λήϊα ἔχων, ἢ πολλὰ θρέμματα. λήϊα γὰρ τὰ ἐκ πολέμου κτήματα, λάφυρα. ἢ πολλὰ σιτοφόρα χωρία ἔχων.

Πολύλλιστος. πολυλιτάνευστος οἶμαι πολύτασος. ἀπὸ τοῦ λιτάζω παρακαλῶ καὶ συγκοπῇ πολύλλιστος. τὸ δὲ πολύλλιτος ἐλλείψει τοῦ σ.

Πολυπάμμονος ἀνδρὸς, πολυθρέμμονος, πλουσίου. πάω πῶ τὸ κτῶμαι καὶ πάσασθαι τὸ κτήσασθαι κυρίως θρέμματα, καταχρηστικῶς δὲ πᾶν ὁτιοῦν, καὶ πολυπάμμων ὁ πολυθρέμμων καὶ πασάμενος ἀντὶ κτησάμενος, ὡς καὶ Θεόκριτος

πασάμενος ποτίτασσε Συρακουσίοις ἐπιτάσσειν.

πῶ πάσω ῥηματικὸν ὄνομα πάμμων καὶ πολυπάμμων.

Πολυτέλεια. τέλος ἡ δαπάνη ἐκ τοῦ πολυτέλεια καὶ πολυτελὴς καὶ εὐτελὴς δὲ λέγουσι, τοὺς μὴ ἐπιπολὺ χωροῦντας ταῖς δαπάναις.

Πολύτροπον Ὀδυσσείας ἀ, οὐδαμοῦ τῆς Ἰλιάδος, παλίμβολόν τινα τῶν ἡρώων ὠνόμασε. τάχα οὖν πολύτροπόν φησι τὸν λόγιον, ἱκανῷ καὶ πηδαλίῳ τῇ γλώττῃ χρώμενον, ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν, συνετὸν ἢ πολλῶν ἔμπειρον τόπων.

Πολυφόρβην τὴν πολλοὺς τρέφουσαν γῆν. ὅθεν καὶ ἱπποφόρβια καλεῖ τὰ τοὺς ἵππους τρέφοντα χωρία.

Πολυωπὸν τὸ δίκτυον ἀπὸ τοῦ πολλὰς ὀπὰς ἔχειν, ἐκτάσει τοῦ ō εἰς ω̄. τοιοῦτον καὶ τὸ περιωπή.

Πολυωρήσεις. μέλλων. ἔστι δὲ παρὰ τὸ ὠρῶ τὸ φυλάσσω καὶ μετὰ τοῦ πολὺ ἐπιῤῥήματος πολυωρῶ.

Πόνος σημαίνει τρία, τὸ γυμνάσιον, ὡς παρὰ τῷ Ἱπποκράτῃ, ἄσκησις ὑγείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων. τὴν ὀδύνην, ὡς παρὰ τῷ αὐτῷ, δύο πόνων προκειμένων μὴ κατὰ τὸν 140b *αὐτὸν τόπον. καὶ τὴν βλάβην, ὡς αὐτὸς πάλιν φησὶν, ὡς ἐν ᾧ νοσήματι ὕπνος ὕπνον ποιέει θανάσιμον. παρὰ τὸ πένω τὸ ἐνεργῶ καὶ κάμνω πόνος.*

Πονεύμενον. ἐπιπνοῦντα, μαχόμενον. ἐκ τοῦ πνέω πνέομαι πνεόμενον καὶ κράσει δωρικῇ πονεύμενον.

Ποπτύσματα κολακεῖαι ἵπποις ἀδαμάστοις.

Πόπανον, πλακούντιον, ἀπὸ τοῦ ἄρτου. ἢ παρὰ τὸ πέπτω τὸ χωνεύω. ἢ παρὰ τὸ κόπτω κόπανον καὶ τροπῇ πόπανον.

Πορσύνω σημαίνει τὸ εὐτρεπίζω καὶ ἑτοιμάζω καὶ κοσμῶ ἀπὸ τοῦ πόρος πορύνω καὶ πλεονασμῷ τοῦ σ̄ πορσύνω. ὅθεν καὶ τὸ κείνου πορσανέουσα λέχος ἀντὶ τοῦ ἑτοιμάζουσα, δωρουμένη. ἢ παρὰ τὸ πόρος καὶ τὸ σαίνω τὸ καλλωπίζω. καὶ γίνεται πορσαίνω, ὁ μέλλων πορσανῶ, ἡ μετοχὴ πορσανῶν, καὶ τὸ θηλυκὸν πορσανοῦσα καὶ πορσανέουσα διαλύσει ἰωνικῇ ἢ πλεονασμῷ τοῦ ε̄. ἢ ἐκ τοῦ ὄρω τὸ διεγείρω αἰολικῶς ὄρσω ὀρσαίνω παράγωγον καὶ πλεονασμῷ 30 *τοῦ π̄. ἢ ἐκ τοῦ πόρω τὸ παρέχω πορῶ πόρσω αἰολικῶς ἐξ αὐτοῦ πορσαίνω, θυγατέρ' ἰφθίμην ἀδμῆτα πορσαίνεσκον.*

Πορφύρα. ἀπὸ τοῦ πορφύρω ῥήματος τοῦ σημαίνοντος τὸ βουλεύομαι γίνεται πορφύρα. τοῦτο δὲ 35

παρὰ τὸ παραφέρειν τὸν νοῦν ὧδε κἀκεῖσε. Ὀδυσσείας δ̄, πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι. καὶ ἐν Ἰλιάδος ξ̄, ὡς δ' ὅταν πορφύρῃ πέλαγος, ἀντὶ τοῦ μελανίξῃ, μέλανον ποιήσῃ. καὶ γὰρ πορφύρεον λέγει τὸν θάνατον καὶ κῦμα πορφύρεον τὸ μέλαν καὶ ἅρμα πορφύρεον. ἔνιοι δὲ τὸ πορφύρει ἀντὶ τοῦ κατὰ βάθος κινεῖται ἐδέξαντο καὶ πορφύρειν τὸ ἐν βάθει διανοεῖσθαι, ὡς ἀπὸ τοῦ βάθους ἁλός.

Πόρεν.

ἦν διὰ μαντοσύνην τὴν οἱ πόρε Φοῖβος Ἀπόλλων,

ἀντὶ τοῦ παρέσχεν. ἔστι πόρω τὸ παρέχω καὶ πορῶ περισπώμενον πορήσω ἐπόρησα, ὁ δεύτερος ἀόριστος ἔπορον καὶ πόρον ἰωνικῶς, τὸ τρίτον πόρε.

141a Ποσειδῶν παρά τισι γράφεται διὰ διφθόγγου, παρὰ τὸ πέδον καὶ τὸ σείω πεδοσείων, καὶ ἐν ὑπερβιβασμῷ τῶν γραμμάτων ποσειδέων καὶ κράσει ποσειδῶν. ὁ γὰρ αὐτὸς καὶ ἐνοσίχθων λέγεται ἀπὸ τοῦ τὴν γῆν κινεῖν. παρά τισι δὲ διὰ τοῦ ῑ, παρὰ τὸ τὴν πόσιν δεσμεῖν, ἢ παρὰ τὸ τὴν πόσιν τὰ πάντα ἀπὸ τῆς θαλάσσης ἔχειν, κατὰ ἀντίφρασιν. οὐδεὶς γὰρ αὐθαιρέτως ἐκ τῶν αὐτῶν πίνει ὑδάτων. ἢ παρὰ τὸ τὴν πόσιν τῷ δάει ἤγουν τῷ ἡλίῳ ἀναπέμπειν. ἐκ γὰρ τῆς θαλάττης ὁ ἥλιος ἀνιμᾶται τὴν ὑγρότητα. ἢ παρὰ τὸ τῇ πόσει ἐνδεῖν γίνεται ποσειδέης καὶ ἐξ αὐτοῦ ποσειδέων, ὅθεν καὶ ποσειδάων τροπῇ δωρικῇ τοῦ ε̄ εἰς ᾱ, ὡς καὶ ἐπὶ ἄλλων πολλῶν δωρικῶς τὸ ε̄ εἰς ᾱ τρέπεται, καὶ κράσει ποσειδῶν καὶ κλίνεται ποσειδάωνος. καὶ ὡς παρώνυμον φυλάττει τὸ ω̄ ἐπὶ τῆς γενικῆς. οὐ κλίνεται δὲ διὰ τοῦ ντ, ἐπειδὴ τὰ εἰς ων περισπώμενα οὐ παραλήγεται φύσει μακρά, οἷον κτησιφῶν, δεξιχρῶν. τὸ δὲ ποσειδῶν φύσει μακρὰ παραλήγεται. εἰκότως οὖν σεσημείωται ὦ πόσειδον. ὁ κανὼν, τὰ εἰς ἀμετάβολα λήγοντα μακροκαταληκτὰ βα-

ρύτονα, καὶ ὡς οὐκ ἔστι βαρύτονον, ἀλλὰ πάντα τὰ περισπώμενα δυνάμει βαρύτονά εἰσι, οἷον ποσειδέων ποσειδῶν, ξενοφάων ξενοφῶν.

Πόσις σημαίνει δύο, τό τε πόμα, καὶ τὸν ἄνδρα μεταφορικῶς ἀπὸ τοῦ ὕδατος φύσεως. ὡς γὰρ τὸ ὕδωρ μιγνύμενον τῇ γῇ γεννητικὸν γίνεται τῶν φυτῶν καὶ τῶν σπερμάτων, οὕτως ὁ ἀνὴρ μιγνύμενος τῇ γυναικὶ αἴτιος γίνεται τῆς τεκνοποιίας. παρὰ τὸ ποτίζω οὖν ποτίσω μέλλοντα, πότις καὶ πόσις, ὁ τὴν θηλύαν ποτίζων τῇ γονῇ.

Πόστος. ὡς μυχὸς μύχατος, τρίτος τρίτατος, ἕβδομος ἑβδόματος, οὕτως πόσος πόσατος καὶ συγκοπῇ πόστος.

Ποτινίσσεται. πορεύεται, προσέρχεται, ὅ ἐστιν ἀνάκειται, ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι, ἢ ἀπὸ τοῦ νίω νίσω νίσεται καὶ ποτινίσεται, καὶ πλεονασμῷ τοῦ σ̄. τὸ δὲ ποτὶ τὴν πρός πρόθεσιν σημαίνει δωρικῶς. ἡ γὰρ πρός κατ' ἐπέκτασιν προσὶ, ὡς ἐν ἐνὶ ἀναλόγως, παρέπεται γὰρ ταῖς προθέσεσι τὸ μέχρι τῆς 141b διισυλλαβίας, καὶ ἀποβολῇ τοῦ ρ̄ ποσὶ καὶ τροπῇ τοῦ σ̄ εἰς τ̄ ποτὶ, ὥσπερ σὺ τύ, σὸς τός.

Πότμος. μόρος, θάνατος, παρὰ τὸ πέτω τὸ πίπτω πότος καὶ πλεονασμῷ τοῦ μ̄ πότμος. ἢ παρὰ τὸ πίπτω κατὰ συγκοπὴν πτῶ γίνεται ῥηματικὸν ὄνομα πτὸς καὶ πλεονασμῷ τοῦ μ̄ πτμὸς καὶ διὰ τὴν ἀσυνταξίαν ἐπλεόνασε τὸ ō καὶ γέγονε πότμος ἡ ἐσχάτη σύμπτωσις τοῦ βίου, ἀπὸ τοῦ πεσεῖν ἢ ὁποιῶν πεσεῖν εἰς τὴν γῆν. ἐπὶ δὲ τῆς τύχης ἀπὸ τοῦ μεταπίπτειν. ἢ ὑπὸ τὴν πρώτην γένεσιν τοῦ βρέφους ἐπιμεριζομένη τύχη παρὰ τὴν μετάπτωσιν καὶ μεταβολὴν τῶν πραγμάτων. ὅθεν Μένανδρός φησι,

τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

Ποτνιᾶσθαι τὸ μετὰ λύπης τὸν θεὸν ἐπιβοᾶσθαι.

Πότνια. σεβασμία, ἔντιμος. παρὰ τὸ πέτω ποτῶ καὶ ποτνῶ. οἱ γὰρ σέβοντες προσπίπτουσι. ὅθεν ποτνιᾶσθαι τὸ προσπίπτειν καὶ παρακαλεῖν, παρὰ τὸ τοῖς ποσὶ πίπτειν. κυριώτερον δ' ἄν τις φήσειεν ἐπὶ γυναικὸς, ὅταν κακόν τι πάσχειν καὶ θήλειαν ἱκετεύῃ θεὸν ὦ πότνια λέγεται. ποτνιᾶσθαι δὲ, ὅταν εἴπῃ τις ἄνδρα περιφανῶς ἁμαρτάνει. οὕτως Βησαντῖνος ἐν τῷ περιχρηστομαθίας.

Πότνα ἀπὸ τοῦ πότνια κατὰ συγκοπήν.

Πούς. ἀπὸ τοῦ παύω παύσω παὺς καὶ πούς, εἰς ὃν ἀναπαύεται τὸ ὅλον μέρος τοῦ σώματος. καὶ γὰρ ἐν τοῖς ποσὶν ἀναπαύεται καὶ καταλήγει τὸ σῶμα. ἢ ἰστέον ὅτι εἰσὶ τινὰ ὀνόματα πρὸς διάφορον σημαινόμενον διάφορον ἔχοντα καὶ τὸν τόνον, οἷον φόρος ὁ φέρων, φορὸς δὲ ὁ φερόμενος. τρόχος δὲ ὁ τόπος ἐν ᾧ τρέχουσι, τροχὸς ὁ τρέχων. τὰ γὰρ εἰς ος ὀνόματα δισύλλαβα βαρύτονα ῥηματικὰ ἡνίκα μὲν παθητικά εἰσι τῷ σημαινομένῳ, βαρύνεται, ἡνίκα δὲ ἐνεργητικὰ, ὀξύνεται. ἐκ τοῦ περῶ οὖν γίνεται πόρος βαρύτονον ὁ διαπερώμενος τόπος, πορὸς δὲ ὀξύτονον ὁ διαπερῶν, εἶτα ἀποβολῇ τοῦ ῥ γίνεται ποὸς καὶ κατὰ συναίρεσιν πούς ἐν ὀξείᾳ τάσει. ἡ γὰρ βαρεῖα 142a καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συνέρχεται, οἷον ζωὸς ζώς. ἢ ἐκ τοῦ πόρος γίνεται καὶ κατὰ συγκοπὴν πρὸς καὶ ἀποβολῇ τοῦ ῥ πὸς, ὅθεν καὶ τὸ ἀρτίπος καὶ πλεονασμῷ τοῦ υ πούς. κλίνεται ποδὸς διὰ τοῦ δός. τὰ γὰρ ἀπὸ μελλόντων δισυλλάβων κατὰ ἀποβολήν.

Ποθὴ δ' ἔστιν ὁ πόθος καὶ ἀπ' αὐτοῦ παρήχθη, ὡς χόλος χολή. ὀξύνεται δὲ τὸ ποθὴ κανόνι τοιούτῳ. τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα βαρύτονα ἀπαρασχημάτιστα οὐδετέροις, ἐὰν ποιῶσι θηλυκὸν, ὀξύτονον αὐτὸ ποιοῦσι, στρόφος στροφὴ, νόμος νομὴ, ῥόος ῥοὴ, πλόκος πλοκή. οὕτω καὶ πόθος ποθή. σεσημείωται τὸ κόρη ἐκ τοῦ κόρος ὁ νέος. ἐντάσσεται δὲ τῷ τοιούτῳ κανόνι καὶ ἡ βιοτὴ ἐκ τοῦ βίοτος, εἰ καὶ τρισυλλαβεῖ.

Πολλάκι ἀποβολὴν ἔπαθε τοῦ σ̄, ὡς καὶ τὸ πλειστάκι καὶ τοσαυτάκι καὶ δηθάκι καὶ τὰ ὅμοια. καὶ ἔστι μεταπλασμός τις καὶ τοῦτο ἐπιῤῥηματικός. τελικὸν γὰρ ἐπιῤῥημάτων ὥσπερ τὸ ις βαρύτονον, οἷον πολλάκις δηθάκις, οὕτω καὶ τὸ ῑ, οἷον αὐτόθι κεῖθι ὅθι, πρὸς ἃ μεταπέπλασται τὸ πολλάκι καὶ τὰ κατ' αὐτὸ, καθάπερ καὶ τὸ χῶρι. χωρὶς μὲν γὰρ ὀξύνεται, ὡς τὸ λικριφὶς, ἐκπεσὸν δὲ τοῦ σ εἰς τὴν ἀναλογίαν τῶν ῥηθέντων εἰς ῑ ἐπιῤῥημάτων ἀπηυτομόλησε.

Πολεμήϊα ἔργα πλεονασμὸν ἀναντίῤῥητον ἔχει τὸ η̄ καὶ οὐκ ἔστιν εἰπεῖν ὡς διάλυσις ἐνταῦθα διφθόγγου γέγονε, καθὰ ἐν τῷ ἀρήϊα καὶ τοῖς τοιούτοις.

Ποδοῖιν πλεονασμὸν συνήθη ἔχει τοῦ δευτέρου ῑ, ὡς καὶ τὸ ἵπποιιν καὶ ὁμοίιν.

Πολύποδα πόλυπον μὲν Ἀττικοὶ φασιν, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ καὶ πολύπουν. Ἴωνες δὲ καὶ Δωριεῖς καὶ Αἰολεῖς πούλυπον.

Πομπεὺς ἐκ τοῦ πομπεύω, ὡς ἡγεμονεὺς ἐκ τοῦ ἡγεμονεύω, καὶ ἡνιοχεὺς ἐκ τοῦ ἡνιοχεύω.

Ποθήμεναι δῆλον ὡς ἀπὸ τοῦ ποθαίνω ἀχρήστου παράγεται ῥήματος, ὡς καὶ τὸ φορῆναι ἀπὸ τοῦ φοραίνω. ἴσως δὲ καὶ ἄλλως αὐτὰ, τὸ μὲν ἐκ τοῦ ποθῶ πόθημι, τὸ δὲ ἐκ τοῦ φορῶ φόρημι γίνεται. 142b

Ποιπνύειν, ὃ πολλαχοῦ κεῖται, ἀρχὴ τὸ πονῶ πονύω, τουτέστιν ἐνεργῶ, καὶ ἔπαθε συγκοπὴν καὶ ἀναδιπλασιασμὸν καὶ ἐπένθεσιν τοῦ ῑ, καθά φασιν οἱ παλαιοί. ἰστέον δὲ ὅτι τοῦ ἀναδιπλασιασμοῦ ἀφαιρεθέντος ἤγουν τῆς ποι συλλαβῆς τὸ πνύσαντι σύστοιχόν ἐστιν τῷ πεπνωμένος, ὡς ἀπὸ θέματος τοῦ πνύω.

Πραπίδεσσι, φρεσὶ, διανοίαις. ἔστι ῥῆμα ἰῶ τὸ πέμπω, ὃ γίνεται ἐν συνήθει προϊῶ καὶ συγκοπῇ πρῶ καὶ τροπῇ τοῦ π εἰς φ φρῶ. ἐκ τούτου γίνεται φραπὶς καὶ πραπὶς, ὡς λέπω λεπὶς, ἀφ' ἧς προΐενται τὰ βουλεύματα. ἡ εὐθεῖα τῶν πληθυντικῶν πραπίδες καὶ ἐκτάσει τῆς ῑ συλλαβῆς πραπίδεσσιν.

Πρέσβα θεὰ, πρεσβυτάτη, ἐντιμοτάτη, ἀπο τοῦ πρέσβεια κατὰ συγκοπήν. ὡς γὰρ ἥμισυς ἡμίσεια, θῆλυς θήλεια, οὕτως πρέσβυς πρέσβεια ἡ γεγηρακυῖα καὶ συγκοπῇ πρέσβα, ὡς πότνια πότνα. ἢ ἀπὸ τοῦ πρέσβειρα. Ὅμηρος, πρέσβειρα Θέμις. οἱ δὲ τὸ πρέσβειρα ἀπὸ τοῦ πρέσβεια.

Πρεσβῆες. ὡς ἀπὸ τοῦ ἱππεύω ἱππεύσω, οὕτως ἀπὸ τοῦ πρεσβεύω πρεσβεύσω πρεσβεὺς πρεσβέες καὶ πρεσβῆες, ὡς βασιλῆες. παρὰ τὸ πρεσβεύω δὲ πρεσβεῦσαι, πρεσβύτης.

Πρεσβήϊον, Ἰλιάδος Θ, τὸ ὑπὲρ τιμῆς διδόμενον ῥόδον, ἀπὸ τοῦ πρεσβεύω πρεσβεῖον διαλύσει ἰωνικῇ πρεσβέϊον καὶ πρεσβήϊον.

Πρέσβις ὁ ἐκπεμπόμενος πρὸς βασιλέα ἢ πόλεως ἐντιμότατος ὢν ἀπὸ τῆς τοῦ πρεσβύτου ἡλικίας. καὶ γὰρ πρεσβύτης ὁ γηραιός. ἡ εὐθεῖα τῶν πληθυντικῶν πρέσβιες, ὡς ὄφιες, πρέσβεες πρέσβεις.

Πρεσβὺς, ὁ γηραιὸς, παρὰ τὸ πρεσβηκέναι τὴν ἥβην. ἢ παρὰ τὸ περισσῶς βεβιωκέναι, οἷον πρέσβυς ἄττα γεραιέ. κλίνεται πρέσβυος πρέσβεως ἀτ- 143a τικῶς. σημείωσαι δὲ καὶ τοῦτο ὡς πήχυς πήχυος πήχεως, καὶ πέλεκυς πελέκυος πελέκεως.

Πνευμενὴς ὁ ἄγαν εὐμενὴς, ἀπὸ τοῦ πραῦ μένος ἔχειν. ἢ ἀπὸ τοῦ πρᾶος καὶ εὐμενής.

Πρήθω ἀπὸ τοῦ πρίω γίνεται κατὰ παραγωγὴν πρίθω, ὡς βρίω βρίθω, καὶ καθ' ὑπαλλαγὴν πρέθω, ἐξ οὗ τὸ ἔπρεσεν, οἷον πάσας ἔπρεσε θεσπιδαὲς πυρὶ κεφαλάς. ἐξ οὗ κατὰ ἔκτασιν τοῦ ε εἰς η γίνεται πρήθω καὶ σημαίνει τὸ ἐμπειρίζω, ὡς τὸ πρῆσε δ' ἄνεμος μέσον ἱστίον, καὶ δάκρυον πρήσας, ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ τὴν πεφυσημένην πεπρησμένην λέγομεν. γίνεται δὲ παρὰ τὸ πιμπρῶ τὸ πιπράσκω δευτέρας συζυγίας τῶν περισπωμένων παράγωγον πίμπρημι, ὁ μέλλων πρήσω, ὁ ἀόριστος ἔπρησα. σημαίνει δὲ καὶ τὸ

πνεῦμα τῆς φύσης. ἔστι καὶ πρῶ τὸ πιπράσκω ἀπὸ τοῦ περῶ, ὡς τρῶ ἀπὸ τοῦ τορῶ, ὅθεν ὁ παρακείμενος πεπέρακα καὶ συγκοπῇ πέπρακα. καὶ γὰρ πωλούμενον περᾷ ἀπὸ τοῦ πωλοῦντος ἐπὶ τὸν ἀγοράζοντα. πρῶ οὖν ὁ μέλλων πρήσω, ἐξ οὗ ἐνεστὼς πρήσσω, καὶ ἡ μετοχὴ ὁ πρήσσων, τὸ θηλυκὸν ἡ πρήσσουσα, καὶ σημαίνει τὸ διαπερῶσα, ὡς τὸ διαπρήσσουσα κέλευθα. ἢ ἐκ τοῦ πρῶ τὸ περῶ γίνεται πρήθω, ὡς κνῶ κνήθω, καὶ ἐμπρήθω, ὁ παθητικὸς παρακείμενος ἐμπέπρησμαι, ἐξ οὗ ἐμπρησμός.

Πρήσσουσα, διαπερῶσα, ἀπὸ τοῦ πρήσσω ἐνεστῶτος, οὐκ ἔχοντος δὲ μέλλοντα, ὡς ἀπὸ μέλλοντος παραχθέντος. περῶ γὰρ περάσω καὶ συγκοπῇ τοῦ ε̄ καὶ τροπῇ καὶ πλεονασμῷ ἑτέρου σ̄ πρήσσω, ὁ παρατατικὸς ἔπρησσον, καὶ διέπρησσον πεδίοιο.

Πρηνὴς ἐπὶ πρόσωπον, παρὰ τὸ πρόσω νενευκέναι, πρενὴς καὶ πρηνὴς κατὰ ἔκτασιν ὁ εἰς τοὔμπροσθεν καὶ ἐπὶ στόματος κείμενος. τὸ πρη η̄ διότι ἀνεφάνη τοῦ ᾱ ἐν τῷ πρανὴς, οὗ τὸ οὐδέτερον πρανὲς, καὶ ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν, καὶ ἔστιν ἐπίῤῥημα τὸ πρανές.

Πρηνίξαι γνυὺξ, κυρίως τὸ εἰς τὸ γόνυ πεσεῖν. τινὲς δὲ αὐτὸ φασὶ ταυτὸν τῷ πρηνίξαι καὶ 143b κῶς. διαφέρει γάρ. οὐ δύναται γάρ τις ἅμα πρηνιχθῆναι καὶ ὀκλακέναι ἐπὶ τοῦ γόνατος. διαφέρει γὰρ τὸ ὀκλακέναι τὸ αὐτὸ νοούμενον τῷ γνυὺξ ἐπὶ τοῦ γόνατος, τὸ δὲ πρηνιχθῆναι ἐπὶ τὸ πρόσωπον. ὁ γὰρ Ἡρόδοτος τὸ τοιοῦτον ἐξέφη. μεταφορᾷ γὰρ χρησάμενος εἶπε τὴν πόλιν εἰς γόνυ πεσεῖν, τοῦτο δηλῶν ὡς εἰς δούλην αὐτὴν ἀπήγαγεν. ὁ δὲ Εὐφορίων οὐκ ὀρθῶς λέγει περὶ τοῦ Διονύσου ὅτι ταῖς γυναικείαις τάξεσιν ἐγκελευσάμενος ἐπρήνιξε τὴν τοῦ Εὐρυμέδοντος πόλιν, τουτέστι τὸ Ἄργος. Εὐρυμέδων δὲ ὁ Περσεὺς ἐκαλεῖτο.

Πρίεν ἐνταῦθα ἀντὶ τοῦ ἔλαβεν, οἷον λευγαλέος δ' ἔπριεν χόλος.

Πρίεται. ἰστέον ὅτι οἱ Ἀθηναῖοι οὐ λέγουσι πρίζεται, ἀλλὰ χωρὶς τοῦ ζ πρίεται, καὶ πρίω ἀντὶ τοῦ πρίζω.

Πρίζω οὐ κατὰ πλεονασμὸν τοῦ ζ γίνεται ἀπὸ τοῦ πρίω, ἀλλ' ὥσπερ ἀπὸ τοῦ κτῶ κτίζω γίνεται καὶ ἀπὸ τοῦ στῶ στίζω, οὕτως ἀπὸ τοῦ περῶ περίζω, συγκοπῇ πρίζω καὶ πρίω, ὡς καὶ παρὰ Μενάνδρῳ ἔνοθι δὲ πρίεται. ἢ περῶ πρῶ πρίζω.

Πρὶν ἐπιῤῥῆμα χρόνου δηλωτικὸν, ἐκ τοῦ πάρος πάριν καὶ συγκοπῇ πρίν.

Προβλῆτι τρόπῳ βεβλημένῳ καὶ προνενευκότι εἰς τὴν θάλασσαν, προβλῆς προβλῆτος.

Πρόβολοι αἱ εἰς θάλασσαν ἐγκείμεναι πέτραι ὀξεῖαι, καὶ προβόλιον εἶδος δόρατος.

Προβάλλεσθαι. ἔθος ἦν Ἀθηναίοις τοὺς ἄρχοντας, εἴ τις δοκοίη ἀδικεῖν, καὶ τοὺς συκοφάντας παράγειν εἰς τὴν ἐκκλησίαν τὸν βουλόμενον καὶ ἀποφαίνειν ὡς ἠδίκησε. καὶ τοῦτο καλεῖται προβολὴ καὶ προβάλλεσθαι.

Προγορεὼν τόπος ἐστὶν ἐν ᾧ ἀγείρεται ἡ τροφή.

Πρόδομοι ἡ πρὸ τῆς οἰκίας στοὰ, ἣν Ὅμηρος αἴθουσαν λέγει.

Πρόες. ἶημι ἥσω ἧκα ἦν ὁ β' ἀόριστος ἐξ ἔντος καὶ πρόες.

Πρόου. ὡς τὸ

προοῦ τὰ πάντα καὶ θεὸν κτῆσαι μόνον.

ἰέω ἰῶ τὸ πέμπω καὶ ἀπολύω, ἀφ' οὗ ἶημι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧσα, ὁ β' ἦν, ὁ μέσος ἕμην, ὡς ἔθην ἐθέμην, τὸ δεύτερον ἔσο ἕο καὶ οὗ, ὡς ἔθεσο
144a ἔθεο ἔθου, τὸ προστακτικὸν οὗ ὡς θοῦ καὶ πρόου, ὅ ἐστι πρόπεμψον καὶ ἀπόλυσον, ὡς σύνθου, καὶ περισπᾶται. ἡνίκα γὰρ συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως περισπᾶται, οἷον πρόοῦ, ἡνίκα δὲ μετὰ δισυλλάβου, βαρύνεται, σύνθου παράθου κατάθου ἀπόθου.

Πρόη. ἵημι ἧσω ἧκα ἦν ἕμην, τὸ ὑποτακτικὸν ἐὰν ὦμαι καὶ πρόωμαι ἐν συνθέσει, τὸ δεύτερον πρόη.

Προηροσία ὄνομα θυσίας ὑπὲρ τῶν καρπῶν γινομένης.

Προθέλυμνα πρόῤῥιζα σημαίνει καὶ τὰ ἐπάλληλα καὶ πυκνά, παρὰ τὸ τέλος τέλυμνος καὶ θέλυμνος. θέλυμνα γὰρ λέγεται τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα διὰ τὸ θηλυμανεῖν μεταφορικῶς Ἰλιάδος ν̄.

Προθεσμία ὁ ὡρισμένος καιρὸς, ἀπὸ τοῦ προσθεῖναι τὴν ἡμέραν ἐν ᾗ τόδε γενέσθαι χρή, οὐκ ἀπὸ τοῦ προθεσπίζειν ἢ ἀπὸ τοῦ προθεσμὸς ὁ νόμος.

Προΐει προέπεμπεν. ἰέω ἰῶ ἴεον ἴουν ἴεες ἴεις ἴεε ἴει καὶ προΐει.

Προΐκτης προσαίτης. ἢ πρό ἀντὶ τῆς παρά, παρὰ τὸ ἱκνεῖσθαι, ἢ παρὰ τὸ ἵζεσθαι, ὅ ἐστι δωρεάν τινα λαμβάνειν, ὡς Ἀρχίλοχος,

ἐμεῦ ἐκεῖνος οὐ καταπροΐξεται.

οἱονεὶ ὁ προΐκα καὶ κατὰ δωρεὰν αἰτῶν προΐκτης. τὴν γὰρ προΐκα πρόϊκα διῃρημένως οἱ Ἴωνες λέγουσιν. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ἴσσω, ὡς Ἀρίσταρχος προτείνω χεῖρα καὶ προΐσσομαι.

Προΐηλεν. ἰάλλω τὸ ἐμβάλλω, ἰαλῶ ἴηλα. ἢ ἀπὸ τοῦ εἴλω εἶλε καὶ ἐν ὑπερθέσει ἴελε καὶ ἴηλε. σημαίνει δὲ δύο, τὸ προξέτεινε καὶ προσέφερε καὶ προσέθηκε, ὡς τὸ πρῶτον μὲν ἐπὶ προΐηλε τράπεζαν, Ἰλιάδος λ̄, καὶ τὸ ἐξέπεμψεν, ὡς τὸ Ζεὺς δ' ἔριδα προΐηλε.

Πρόμος ὁ πρόμαχος. τινὲς ἀπὸ τοῦ πρόμαχος λέγουσιν εἶναι κατὰ συγκοπήν. πρόμαχος δὲ ὁ προμαχόμενος καὶ προϊστάμενος τινός. βέλτιον δὲ παρὰ τὸ βῶ τὸ βαίνω πρόβος καὶ πρόμος ὁ προβαίνων ἐν ταῖς μάχαις κατὰ μετάθεσιν τοῦ β̄ εἰς μ̄. οἱ δὲ παρὰ τὸ νῶ νέω τὸ πορεύομαι πρόνος καὶ πρόμος.

144b Προμάχιζε. προεμάχετο, προεπολέμει, ἀπὸ τοῦ προμαχῶ προμαχίζω.

Πρόπαρ ἐκ τῆς προ προθέσεως καὶ τοῦ πάρος τὸ σημαῖνον τὸ ἔμπροσθεν, πάροιθεν προπάροιθεν, κατὰ ἀποκοπὴν πρόπαρ.

Προπάροιθεν ἐπίῤῥημα τοπικὸν ἐκ τῆς πρό προθέσεως καὶ τοῦ πάροιθεν κατὰ ἀποκοπὴν πρόπαρ. τοῦτο ἐκ τοῦ πάρος παρόθεν καὶ πλεονασμῷ τοῦ ι πάροιθεν. τὸ δὲ πάρος ἐκ τοῦ πρός τοῦ σημαίνοντος τὸ ἔμπροσθεν ἐπί τε χρόνου καὶ τόπου, ἐπὶ τόπου μὲν ὡς τὸ πάροιθεν αὐτοῖο κάθητο, ἐπὶ χρόνου δὲ, ὡς τὸ, τὸν δ' Ὀδυσεὺς προπάροιθεν ἰδὼν, Ἰλιάδος κ.

Προπηλακισθέντα, ἀδικηθέντα, ὑβρισθέντα, διασυρέντα. προπηλακισμὸς γὰρ λέγεται ὕβρις κατὰ προσαφῆς τοῦ σώματος ἀπὸ τοῦ πάλλω τὸ κινῶ ἢ ἀπὸ τοῦ παλλακὶς ἢ ἀπὸ τοῦ πηλὸς, ὃ καὶ βέλτιον. οἱ γὰρ Ἀττικοὶ τὸν ἐπί τινι ἁλόντα ἁμαρτήματι πηλῷ χρίοντες ἐδημοσίευον.

Πρόσειλος οἰκία, ἡ πρὸς τὴν ἕλην τετραμμένη. ἕλη γὰρ ἡ τοῦ ἡλίου αὐγὴ, ἐξ ἧς πρόσελος καὶ πλεονασμῷ τοῦ ι πρόσειλος.

Προσέληνοι. προσελεῖν λέγεται τὸ ὑβρίζειν, κατὰ Ἀρκάδας, καὶ προσέληνοι ἴσως οἱ Ἀρκάδες, ἐπειδὴ λοιδορητικοί εἰσιν. οὕτως ἐν ὑποθέσει Προμηθέως δεσμώτου.

Πρὸς τοῦ Διὸς, ὑπὲρ τοῦ Διός. ἡ γὰρ πρός πολλάκις λαμβάνεται ἀντὶ τοῦ ὑπέρ καὶ ἀντὶ τῆς παρά, καὶ τὸ πρὸς ἄλλης Ἰλιάδος ξ ἀντὶ ἐπ' ἄλλης ὑπὸ δεσποίνη.

Προσήλυτος ἀπὸ τοῦ ἐλεύθω ἤλευσμαι ἤλευσται ἤλυτος καὶ προσήλυτος ὁ μέτοικος καὶ φυγάς.

Προσήκατο. προσελάβετο, προσεδέξατο, ἀπὸ τοῦ ἵημι, ὃ μετὰ τῆς πρός προσίημι γίνεται καὶ σημαίνει τὸ προσλαμβάνω. μετὰ δὲ τῆς προ τὸ προδιδῶ,

ὡς τὸ οὐ προῖμη τὴν ψυχὴν μέσος ἀόρισος προσῆκα, καὶ οὐ προσῆσα διὰ τοῦ συμφώνου τοῦ μέλλοντος. σημείωσαι γὰρ ἐν μὲν τοῖς εἰς ω ῥήμασιν ὁ εἶπα καὶ ἤνεγκα ἀόριστος, ἐν δὲ τοῖς εἰς μι ὁ ἔθηκα ἔδωκα ἧκα, ὁ μέσος ἀόριστος προσηκάμην, τὸ τρίτον προσήκατο. 145 a

Προσῆκον τὸ πρέπον ἐκ τοῦ ἥκω τὸ ἔρχομαι μετὰ τῆς πρός. ἡ γὰρ πρός τὸ πλησιάζον καὶ προσεγγίζον σημαίνει.

Προσκυνῶ ἐκ τῆς πρός καὶ τοῦ κυνῶ. τοῦτο παρὰ τὸ κύω τὸ φιλῶ.

Προστέτηκε. προσκεκόλληκε.

Προσφυῶς. οἰκείως, ἀκολούθως.

Προσχών. τοῦτο ποτὲ μὲν δι' ἑνὸς σ̄, ποτὲ δὲ διὰ δύο γράφεται, καὶ διὰ δύο μὲν καὶ ὅτε σημαίνει τὸ προσορμήσας, ὅτε δὲ σημαίνει τὸ ἰδών, δι' ἑνός. τοιοῦτον καὶ τὸ προστῆναι. ἐπὶ γὰρ εἰπεῖν προστῆναί μου τὴν τροφὴν ἐπὶ τοῦ στομάχου διὰ δύο σσ̄, ἐπὶ δὲ τοῦ προϊστασθαι δι' ἑνός.

Πρόσφατον κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου. νῦν μοι ἀρσήεις καὶ πρόσφατος. καὶ πρόσφατον κρέας τὸ νεοσφαγὲς, καταχρηστικῶς δὲ καὶ πᾶν τὸ νεωστὶ ἐληλυθὸς πρᾶγμα, ἐκ τοῦ φῶ τὸ φονεύω, οὗ παράγωγον φημὶ φήσω πέφηκα πέφημαι καὶ πέφαμαι πέφαται.

Πρότερος παρὰ τὴν προ πρόθεσιν.

Προτέρω ποῤῥωτέρω, εἰς τοὔμπροσθεν. ἢ ἐνδοτέρω ἢ ἐσωτέρω. γίνεται κατὰ συγκοπὴν προτέρω ποῤῥωτέρω ἢ προτέρω. ἀπὸ τοῦ προσωτέρω καὶ συγκοπῇ γίνεται ἐκ τοῦ προτέρω προτέρωσε, ὡς ἐκατέρωσε, ὡς ἐνδοτέρωσε.

Προὔπτον. προφανὲς, φανερὸν, οἱονεὶ πρὸ τῶν ὀφθαλμῶν κείμενον πρόοπτον καὶ προὔπτον.

Προὖργου τῶν ἀναγκαίων καὶ τῶν πρὸ τοῦ ἔργου, οἷον τὸ μὲν ἔργον αὐτὸς ὁ γάμος, τὰ δὲ πρὸ τοῦ ἔργου τὰ εἰς τὸν γάμον ἀναγκαῖα. οὕτως Ὅρος.

Πρόφασις ἀπὸ τοῦ φημὶ φήσω πέφαμαι πέφασαι φάσις καὶ πρόφασις. ἡ ἀπολόγου φάσις.

Πρόφρασα ὡς ἐπὶ τὸν βήσω μέλλοντα βήσσα, οὕτως καὶ παρὰ τὸ φρήσσω φρῆσσα. καὶ ἐν συνθέσει προφρασα Ἰλιάδος κ,

σὺν σοὶ δῖα θεὰ ὅτε οἱ πρόφρασα παρέστη.

σημαίνει δὲ προδιανοηθεῖσα ἢ πρὶν ἐκεῖνον προσκαλέσασθαι αὐτεπάγγελτος καὶ πρόθυμος ἐλθοῦσα.

Πρόγνυ καθεζομένη ἐπὶ γόνυ, ὅ ἐστι παντελῶς ὀκλάσαι, οἷον πρὸ γόνυ καὶ συγκοπῇ πρόγνυ καὶ πρόχνυ. ἡ γὰρ πρό ἀντὶ τῆς ἐπί κεῖται.

Πρύλις. πεζὸς ὁπλίτης. ὡς δαμῶ δαμάζω δαμάσωλις, οὕτως περῶ περύσω περύω πέρυλις καὶ συγκοπῇ πρύλις καὶ ἐπὶ πληθυντικοῦ πρυλέες.

Προχέοντο. προῄρχοντο, μεταφορικὸς ὁ τρόπος. κυρίως γὰρ τὸ χέω ἐπὶ τοῦ ὕδατος λέγεται.

Προχοαὶ αἱ τῶν ποταμῶν διεξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν καὶ ἡ παντὸς ὕδατος ἐκροή. προχοαὶ δὲ ἀγγεῖα ἀφ' ὧν προχέονται τὰ ἐν αὐτοῖς ὑγρά.

Πρυμνὸς παρὰ τὸ πέρας καὶ τὸ μένω περυμνὸς καὶ συγκοπῇ πρυμνὸς ὁ ἔσχατος καὶ εἰς πέρας μένων. μεταφορικῶς δὲ ἀπὸ τῆς πρύμνης τοῦ πλοίου. καὶ πρυμνὸν πᾶν τὸ τελευταῖον καὶ ὕστατον καὶ πρυμνὴ ἐπίθετον ἡ ἐσχάτη. ἰδίως δὲ ἐπὶ τοῦ πλοίου πρύμνη βαρύνεται. ὡς γὰρ λεύκη καὶ λευκή, οὕτως πρύμνη καὶ πρυμνή. τὰ δὲ εἰς νος λήγοντα τριγενῆ ὀξύνονται, σεμνὸς σεμνὴ σεμνόν, πρυμνὸς πρυμνὴ πρυμνόν. ἀναλογώτερον δὲ τὸ πρύμνα ὡς μέριμνα. ὅθεν καὶ ὁ θεολόγος Γρηγόριος, πρύμναν τ' ἐκρουσάμην εὐθέως καὶ ἑτεραλκέα τὴν νίκην πεποίηκα.

Πρυμνήσια τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης δεσμεῖται ἡ ναῦς.

Πρυτανεῦσαι, διοικῆσαι, προστατεῦσαι, φυλάξαι, βασιλεῦσαι, ταμιεῦσαι. κυρίως γὰρ ἐπὶ τοῦ σημαινομένου τάσσεται ἡ λέξις. πρύτανις γὰρ ὁ σιτοφύλαξ, οἱονεὶ πυρόταμις καὶ συγκοπῇ καὶ τροπῇ πρύτανις.

Πρυτάνεις τὸ δέκατον μέρος τῆς βουλῆς. τῶν φυλῶν ἄνδρες ἀπὸ μιᾶς φυλῆς οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα πρυτάνεις ἐκαλοῦντο, καὶ πρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κληρολαχοῦσαι κατ' ἐνιαυτὸν, καὶ πρυτανεῖα λέγεται ὅτι τὸ ἱερὸν πῦρ ἐπὶ τούτων ἔγκειται.

Πρῷξον τὸ προχθεσινὸν ἔχει τὸ ῑ, ὡς ἀπὸ χθὲς χθιζὸν, οὕτως καὶ ἀπὸ τοῦ πρωῖ πρωϊζὸν, οἷον χθιζά τε πρωϊζά, κατὰ συναίρεσιν πρῷξον.

Πρωϊζὸς ἐκ τοῦ πρωῖ πρωϊζὸς καὶ πρωϊζὰ 146 a καὶ πρῳϊζὸν τὸ ὑπόγυιον.

Πρωΐ ἐπίῤῥημα καιροῦ στατικὸν, παρὰ τὴν πρὸ πρόθεσιν κατ' ἔκτασιν τοῦ ο εἰς ω καὶ ἐπεκτάσει τοῦ ῑ πρωΐ, ἐξ οὗ κατὰ παραγωγὴν πρῴϊος, τὸ θηλυκὸν πρῴϊα, ὡς ὀψὲ ὄψιος ὀψία.

Πρωΐα παρὰ τὴν πρὸ πρόθεσιν χρόνον δηλοῦσαν. ἢ ἀπὸ τοῦ προϊέναι ἡμᾶς, καθὸ ταύτης ἐπιφανείσης προΐασιν οἱ ἄνθρωποι. ἢ ἀπὸ τοῦ προϊκνεῖσθαι τῆς ἡμέρας τὸν καιρὸν τοῦτον. ἢ ἀπὸ τοῦ πρῴϊος, ἐξ οὗ τὸ οὐδέτερον πρῴϊον, ὡς παρὰ τῷ ποιητῇ ἐν Ἰλιάδος ο, οἷον

νεῦρὴν δ' ἐξέῤῥηξε νεότροφον ἣν ἐνέδησα πρωΐ.

ἀντὶ τοῦ ἕωθεν ὀρθρου ἢ πρόσφατον, νεωστὶ ἐστραμμένην, καινήν.

Πρῴην ἔχει τὸ ῑ ὡς γινόμενον ἀπὸ τοῦ πρωΐ, ἐξ οὗ κατὰ παραγωγὴν πρῴϊος καὶ πρῴϊον τὸ οὐδέτερον. τὸ θηλυκὸν ἡ πρωΐα. ἡ αἰτιατικὴ τὴν πρωΐαν καὶ κατὰ Ἴωνας τροπῇ τοῦ ᾱ εἰς ῆ πρωΐην καὶ συναιρέσει τοῦ ῳ καὶ ῑ εἰς τὴν ῷ δίφθογγον πρῴην. καὶ

χωρεῖ εἰς ἐπιῤῥηματικὴν σύνταξιν αὕτη ἡ αἰτιατικὴ, ὡς καὶ ἡ ἀκῆ τῆς ἀκῆς τῇ ἀκῇ τὴν ἀκῆν, καὶ ἐπίῤῥημα ἀκῆ ἐγένοντο σιωπῇ. σημείωσαι γὰρ καὶ ἀπὸ διαφόρων πτώσεων ἐπιῤῥήματα, ὡς εἴρηται.

Πρῷ ϊ. οἱ μὲν ποιηταὶ βαρύνουσιν αὐτὸ, οἷον πρῷ δ' ὑπ' ἠοῖ. οἱ δὲ κοινοὶ καὶ Ἀττικοὶ καὶ Ἀθηναῖοι ὀξύνουσι. ὀξύνουσι δὲ εἰς τοὺς ἐπιμερισμένους τὰ εἰς ῑ λήγοντα δισύλλαβα ἐπιῤῥήματα, καὶ ἑξῆς ζήτει κανόνα εἰς τὸ οὐχί.

Πρῲ ἀπὸ τοῦ πρωῖ κατὰ συναίρεσιν καὶ ὀξύνεται.

Πρωϊαίτερον ὡς ἀπὸ τοῦ ὀψιαίτερον, οὕτως ἀπὸ τοῦ πρωϊαίτερον, ὡς ἀντὶ τοῦ θᾶττον πρὸ τοῦ ἀντεῖλαι τὸν ἥλιον.

Πρωθῆβαι οἱ πρώτην ἡλικίαν ἔχοντες παρὰ τὸ πρῶτος καὶ τὴν ἥβην.

Πρωκτὸς προακτός τίς ἐστι παρὰ τὸ δι' αὐτοῦ προάγεσθαι τὰ περιττώματα καὶ κατὰ κρᾶσιν πρωκτός.

Πρῶνες καὶ πρώονες οἱ ὑψηλοὶ τόποι παρὰ τὸ πρό πρόθεσιν καὶ τὴν ἰὼν μετοχὴν πρωϊὼν καὶ προὼν συναιρέσει πρών. κλίνεται πρωνὸς πρῶνες καὶ πλεονασμῷ τοῦ ο πρώονες ἄκροι.

Πρῶτος παρὰ τὴν πρό πρόθεσιν γίνεται καθ' ὑπέρθεσιν πρότατος ἀποβολῇ τοῦ τ καὶ κράσει πρῶτος. λαμβάνεται πενταχῶς, κατὰ χρόνον, ὡς τὸ πρῶτοι οἱ προφῆται τῶν ἀποστόλων. κατὰ φύσιν, ὥσπερ πρῶτόν ἐστι ζῶον τοῦ ἀνθρώπου. κατὰ τάξιν, ὥσπερ τὰ στοιχεῖα πρῶτά εἰσι τῶν συλλαβῶν. κατὰ ἀξίαν, ὥσπερ οἱ ἄρχοντες πρῶτοί εἰσιν τῶν ἀρχομένων. κατὰ αἴτιον; ὥσπερ ὁ πατὴρ πρῶτός ἐστι τοῦ υἱοῦ. αἴτιος γὰρ αὐτοῦ ὁ πατὴρ, πρῶτος γάρ ἐστι. σημαίνει δύο, τὸν παρ' ἡμῖν λεγόμενον πρῶτον, ὡς τὸ πρῶτός ἐστιν ὁ Πέτρος τοῦ Παύλου, τὸ ἄκρον τοῦ ῥυμοῦ, ὡς τὸ ἅξαντες ἐν πρώτῳ ῥυμῷ.

Πρωτοπαγεῖς νεοτευχὲς πρώτως πεπηγότες, νεοκατασκεύαστοι.

Πρωτόλεια τὰ πρὸ τῶν ληΐων καὶ τοῦ πολέμου τῶν λαφύρων ἐξαίρετα καὶ πρώτιστα, ἅπερ εἰώθασιν οἱ ἄριστοι λαμβάνειν. ἡ Χρυσηὶς ἐδόθη τῷ Ἀγαμέμνονι, ἡ Βρισηὶς τῷ Ἀχιλλεῖ. σημαίνει δὲ ἀπαρχάς.

Πρῶτα ἀντὶ τοῦ πρώτερον ἢ πρώτως. ἔστι δὲ ἐπίῤῥημα μεταχθέν. ἰστέον δὲ ὅτι τὰ ἐπιῤῥήματα μεταγόμενα ἀπὸ οὐδετέρων τὸν αὐτὸν τόνον φυλάττουσι, τὸ σάφα ἀπὸ τοῦ σαφέα συγκοπῇ τοῦ ε. σημειωσαι κατὰ τὸν τόνον τὸ σφόδρα τοῦ ὀνόματος ὀξυνομένου καὶ τοῦ ἐπιῤῥήματος βαρυνομένου.

Πρωτότοκος. τὰ εἰς ος σύνθετα εἰς ἐνέργειαν καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἐπιδέχεται. καὶ εἰ μὲν εἰς ἐνέργειαν διαλύονται, παροξύνεται οἷον λιθοβόλος, ξιφοκτόνος· εἰ δὲ εἰς πάθος, προπαροξύνεται, οἷον λιθόβολος, ξιφόκτονος. τὸ οὖν πρωτότοκος ἡνίκα μὲν παροξύνεται, εἰς ἐνέργειαν διαλύεται καὶ σημαίνει τὴν πρώτως τεκοῦσαν, καὶ ἔστι μόνον γένους θηλυκοῦ. ἡνίκα προπαροξύνεται, εἰς πάθος ἀναλύεται καὶ σημαίνει τὸν πρώτερον τεχθέντα παῖδα. καὶ ἔστι γένος κοινὸν ἡ πρωτοτόκος καὶ ὁ πρωτότοκος. τίκτεται γὰρ καὶ ἀνὴρ, τίκτεται καὶ γυνή.

Πρῶτιστος. πρῶτος καὶ τὸ συγκριτικὸν οὐκ ἔχει. τὸ δὲ ὑπερθετικὸν πρώτιστος χαρακτῆρι μόνῳ, ἐπειδὴ τὰ ὑπερθετικὰ τρηγενῆ εἰσι, ταῦτα δὲ οὐδέτερα οὐκ ἔχει. τινὰ μὲν γὰρ αὐτῶν εἰσι καὶ χαρακτῆρι καὶ σημαινομένῳ, ὥσπερ τὸ σοφώτατος. διαφέρει δὲ ὅτι τὰ μὲν ὑπερθετικὰ ἀπηρτισμένην καὶ ἀκροτάτην 147a ἔχοντα τάσιν οὐκ ἐπιδέχεται ἐπιτατικὰ ἐπιῤῥήματα. οὐ γὰρ λέγομεν λίαν ἢ ἄγαν τιμιώτατος. τὰ δὲ συγκριτικὰ ἅτε τελειοτάτην οὐκ ἔχοντα ἐπίτασιν ἔστιν ὅτε δευτέραν ἐπιτακτικὴν προσδέχεται, οἷον ὡς παρ' Ὁμήρῳ πολλὸν παυρότεροι καὶ ῥηΐτεροι μᾶλλον ἔσεσθε.

Πρῆσεν. ἢ τὸ πρήθω, ἢ τὸ πρῶ συγκοπὲν, ἐξ οὗ τὸ πρήσσουσα.

Προόδων κατὰ Παυσανίαν ὁ τοὺς ὀδόντας ἐξωτέρω ἔχων τοῦ δέοντος.

Πρυλέες δὲ οἱ ἐν μάχῃ πεζοὶ κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί.

Προπέφανται ἅπαντα, ἤγουν προφανῆ εἰσι.

Προτιόσσομαι δηλοῖ τὸ προβλέπω, ἢ τὸ οἶδα καὶ μαντεύομαι.

Πρόσφατος ἀντὶ τοῦ νεωστὶ καὶ ἐγγὺς φατὸς, ὅ ἐστι πεφονευμένος, ἀφ' οὗ καὶ ἀρτίφατος. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον πρόσφατον τὸ νεαρὸν καὶ ὡς εἰπεῖν ἐγγὺς φατὸν ἤτοι φανὲν καὶ δειχθέν. ἢ καὶ ἄλλως ἐγγὺς καὶ προσεχῶς φατὸν ἤτοι λεκτόν. ἐξ οὗ καὶ φατειὸς, οὗ καθ' ὁμοιότητα καὶ ποταίνιον οἱ ὕστερον τὸ νεωστὶ συμβὰν εἶπον, ταυτὸν θέντες εἶναι τὸ ποτὶ καὶ τὸ πρὸς, ὁμοίως καὶ τὸ αἶνος καὶ τὸ φατὸς, κἀντεῦθεν εἰς ὅμριον ἥκειν τὸ ποταίνιον. δῆλον δὲ ὅτι ὥσπερ ἡ φάσις, οὕτω καὶ ὁ αἶνος ἐπὶ λόγου δύναται τίθεσθαι ἁπλῶς.

Προσίπλαζεν. ἐκ τοῦ προσπελάζειν συγκέκοπται. ὁμώνυμον οὖν ἐντεῦθεν τὸ πλάζειν, τὸ μὲν ἀντὶ τοῦ πελάζειν, τὸ δὲ ἀντὶ τοῦ πλανᾶν.

Πρόχνυ τουτέστι παντελῶς ἢ προγόνυ, ὅ ἐστι πρόρριζον.

Πτώσσειν πτήσσειν φασὶ οἱ μεθ' Ὅμηρον καὶ γίνεται ἀπὸ μὲν τοῦ πτώσσειν ὁ πτωχὸς καὶ ὁ πτὼξ, ἀπὸ δὲ τοῦ πτήσσειν τὸ κατεπτηχέναι καὶ ὁ κατεπτηχὼς. τοιαύτης δὲ σκευωρίας καὶ τὸ ἔρρωγε καὶ διερρηχὼς καὶ ῥῆγμα καὶ ῥῶγμα καὶ ῥωγαλέος.

Πταίω ἀπὸ τοῦ πέτω συγκοπῇ πτῶ, ὅθεν κατὰ ἀναδιπλασιασμὸν πίπτω. ἐκ δὲ τοῦ πτῶ παράγωγον πταίω, ὡς λῶ λιλῶ λιλαίω, ἀπὸ τοῦ πίπτειν πολλάκις τοὺς προσπαίοντας. ἐκ δὲ τοῦ πτῶ γίνεται πτὴν καὶ πτάνες.

Πτερὸν παρὰ τὸ πέτω πετερὸν, ὡς τήκω τηκερὸν, θάλλω θαλερὸν καὶ συγκοπῇ πτερὸν, ἢ παρὰ τὸ πτῶ τὸ πέτομαι πτερόν. ἢ παρὰ τὸ πτερόω πτερὸν, ἐξ οὗ τὸ ἀνεπτερωτὸν, οἷον ἔπεα πτερόεντα προσηύδα, ἐπειδὴ νικήσασαι αἱ Μοῦσαι τὰς Σειρῆνας τοῖς πτεροῖς αὐτῶν ἐστέφθησαν.

Πτήσσω. τὸ φοβοῦμαι, παρὰ τὸ πέτω πτῶ πτήσας πτήξω. ὁ γὰρ φοβούμενος πίπτοντι ἔοικεν.

Πτίλα τὰ ἅρμενα παρὰ τὸ τίλλω τίλα καὶ πτίλα.

Πτολίπορθος ἐκ τοῦ πτόλις ἡ πόλις καὶ τοῦ πορθῶ πολίπορθος ὁ τὰς πόλεις πορθῶν. καὶ διὰ τί μὴ πρὸ μιᾶς εἶχε τὸν τόνον, ὥσπερ καλλιγράφος ἀπὸ τοῦ γράφω; ἐπειδὴ τὰ εἰς ος ὀνόματα ἀπὸ ῥημάτων δισυλλάβων τῶν ἀπὸ μακρᾶς ἀρχομένων συντιθέμενα προπαροξύνεται, οἷον συλῶ ἱερόσυλος, μυκῶ ἐρίμυκος, οὕτως καὶ πορθῶ πτολίπορθος.

Πτόρθος οὐχ εὗρον τὴν ἐτυμολογίαν ἐν ἄλλοις. ὡς οἶμαι δὲ, παρὰ τὸ πέτω πτῶ γίνεται πτείρω, ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος ἔπταρον, ὡς φθείρω ἔφθαρον. ἐκ δὲ τοῦ πτείρω ῥηματικὸν ὄνομα πτόρος, ὡς φθείρω φθόρος, καὶ πλεονασμῷ τοῦ θ πτόρθος.

Πτόω ἐκ τοῦ πέτω ποτῶ καὶ ὑπερθέσει πτόω πτοήσω. ἔνθεν τὸ ἐπτοήθη ἀντὶ τοῦ κατὰ πέπτωκε. τὸ δὲ πτόω λέγεται καὶ πτοιῶ, ἐξ οὗ καὶ τὸ διεπτοίησε καὶ πτοία ἡ πτοίσις.

Πτοῖα παράλογοι φόβοι, ἐκπλήξεις, κίνδυνοι. ταραχαὶ δὲ παρὰ τὸ πτόω γίνεται ῥηματικὸν ὄνομα πτόα καὶ πτοῖα.

Πτωσκαζέμεν παρὰ τὸ πτῶ, ὃ σημαίνει τὸ φοβοῦμαι καὶ τὸ σκάζω τὸ ἐκκλίνω, πτώσω πτώσκω πτωσκάζω καὶ πτωσκάζειν τὸ φοβεῖσθαι καὶ δωρικῶς πτωσκαζέμεν.

Πτύσσω παρὰ τὸ πετῶ πετύσσω. τὸ γὰρ πτύσσειν οὐδέν ἐστιν ἄλλο ἢ τὸ ἐπιπίπτειν ἕτερον ἑτέρῳ·

καὶ ἐν Ἰλιάδος ν̄ ἔγχεα δ' ἐπτύσσοντο ἀντὶ εἰς αὐτὸν συνῆτο καὶ ἐκάμπτετο κραδαινόμενα.

Πτύχες αἱ τῶν ὀρῶν κατακλύσεις, ὡς τὸ πολυ-
148a πτύχοιο ὀλύμπου τοῦ πολλὰ ἀποκλίματα ἔχοντος. λέγεται δὲ καὶ ἐπὶ τοῦ σημαίνοντος, οἷον τὰ διάφορα ἐπαλλήλοις ἐλάσματα ἀσπίδος, καὶ πτύχες αἱ πύλαι ἀπὸ τοῦ πτύσσω πτύξω πτυχός.

Πτωχεύειν ἀπὸ τοῦ πτώσσειν καὶ προσπίπτειν τοὺς δερμένους. ἢ ἀπὸ τροῦ ἐκπεπτωκέναι τοῦ ἔχειν, ὡσαύτως καὶ πτωχός. ὁ δὲ Ὧρος παρὰ τὸ πτήσσειν παρὰ τὸ ὀχὴν ἤτοι τὴν τροφήν, ἢ πτυχός τις ὤν. ὁ γὰρ πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν.

Πτόλεμος Κυπρίων καὶ Ἀττικῶν λέξις καθ' Ἡρακλείδην ἐστὶ, καθὰ καὶ ἡ πτόλις, ὧν ἴδιον παρεντιθέναι ῥήμασι καὶ ὀνόμασι τὸ τ. ἔνθεν φησὶ καὶ ἡ ἄνακτος καὶ νυκτὸς γενικὴ ἔχει τὸ τ. τῶν αὐτῶν δὲ καὶ τὸ ἀνύω ἀνύτω καὶ ἀρύω ἀρύτω. ἐξ οὗ καὶ ἡ παρὰ τῷ κωμικῷ ἀρύταινα.

Πύθεσθαι τὸ σήπεσθαι. πύθω γὰρ σημαίνει τὸ σήπω τὸ ἐρωτῶ τὸ ἀκούω καὶ τὸ μανθάνω, ἐξ οὗ καὶ τὸ πυνθάνω, ὡς ἥδω ἀνδάνω, οἶμαι, ἀπὸ τοῦ πεύθω πύθω. τὸ δὲ πεύθω ἀπὸ τοῦ κεύθω. ὁ γὰρ ἐρωτῶν παρά τινος ἀποκεκρυμμένου πράγματος ἐρωτᾷ μαθεῖν.

Πυθέσθαι τὸ ἀκοῦσαι καὶ μαθεῖν ἐκ τοῦ πεύθω, πεύσω. ὁ δεύτερος ἀόριστος ἔπυθον, ὁ μέσος ἐπυθόμην ἐπύθου ἐπύθετο καὶ τὸ ἀπαρέμφατον πυθέσθαι.

Πυθοίατο. πεύθω τὸ ἐρωτῶ, ὁ δεύτερος ἀόριστος ἔπυθον, ὁ μέσος ἐπυθόμην καὶ τὸ εὐκτικὸν πυθοίμην πύθοιτο καὶ πλεονασμῷ τοῦ ᾱ. ἢ πύθοιντο τὸ τρίτον τῶν πληθυντικῶν, καὶ τροπῇ αἰολικῇ τοῦ ν̄ εἰς ᾱ πυθοίατο. ζήτει εἰς τὸ δευοίατο.

Πυθμὴν φυτοθεμήν τίς ἐστιν, οἷον τοῦ φυτοῦ φυθμὴν καὶ πυθμήν. σημαίνει δὲ τὸν κοῖλον τόπον.
35ὁ δὲ Θεόγνωστος παρὰ τὸ κεύθω τὸ κρυπτω κευθὴν

καὶ ἀποπτύσει τοῦ ε̄ καὶ τροπῇ τοῦ κ̄ εἰς π̄ καὶ πλεονασμῷ τοῦ μ̄ κευθμών, ἀποβολῇ τοῦ ε̄ καὶ τροπῇ τοῦ κ̄ εἰς π̄ καὶ τοῦ ω̄ εἰς η̄ πυθμὴν καὶ βαθυπύθμήν.

Πυνθάνω γίνεται ἀπὸ τοῦ ἔπυθον δευτέρου ἀορίστου. πεύθω γὰρ πεύσω ἔπευσα, ὁ δεύτερος ἀόριστος ἔπυθον. ἐξ αὐτοῦ πυθάνω καὶ πλεονασμῷ τοῦ ν̄ πυνθάνω. οὕτως ἔπαθον παθάνω πανθάνω, ἔφυγον φυγγάνω, ἔλαχον λαγχάνω, ἤρυγον ἐρυγγάνω, ἔλαβον λαμβάνω, ἔλαθον λανθάνω. ἢ ὥσπερ ἀπὸ τοῦ κευθω κευθάνω καὶ ἀποβολῇ τοῦ ε̄ καὶ πλεονασμῷ τοῦ ν̄ πυνθάνω, οὕτως καὶ φεύγω φευγάνω καὶ φυγγάνω. οὕτως καὶ ἐρεύγω ἐρευγάνω καὶ ἐρυγγάνω. τὰ γὰρ τοιαῦτα βαρύτονα ῥήματα διὰ τοῦ ανω παράγωγα εἰ μὲν τῷ η̄ παραλήγεται, τρέπουσι αὐτὸ εἰς α̅ καὶ προσλαμβάνουσι τὸ ν̄ ἢ τὸ γ̄, οἷον πήθω πανθάνω, λήκω λαγχάνω, ποτὲ δὲ τὸ μ̄, λήβω λαμβάνω, ἤδω ἀνδάνω. εἰ δὲ τῇ ευ διφθόγγῳ παραλήγεται, ἀποβάλλουσι τὸ ε̄ καὶ πλεονάζουσι τὸ ν̄ ἢ τὸ γ̄, πεύθω πυνθάνω, φεύγω φυγγάνω, ἐρεύγω ἐρυγγάνω.

Πύθαιος ὄνομα ἑορτῆς τελουμένης τῷ Ἀπόλλωνι. ἐκ τοῦ πεύθω γίνεται πύθω, τὸ μανθάνω καὶ ἀκούω. ἐξῆς Πύθαιος καὶ πυνθάνω καὶ πυνθάνεσθαι τὸ μανθάνειν καὶ διδάσκειν καὶ ἱστορεῖν καὶ ἐρωτᾶν.

Πύκασεν ἐσκέπασεν, περιεκάλυψε. ἀπὸ τοῦ πτύσσω πτυκάζω καὶ πυκάζω.

Πυκινὴν βουλὴν τὴν πυκνὴν καὶ συνετὴν καὶ σώφρονα. ἡ γὰρ φρόνιμος διάνοια πεκυκνωμένη ἐστίν, ὥσπερ τοὐναντίον ἡ ἔξοχος ἡραιωμένη.

Πυκνὰ τὰ συνεχῆ καὶ συνετὰ, καὶ τὸ ἀρσενικὸν ὁ πυκνός. τοῦτο ἐκ τοῦ πυκινὸς, ἢ ἐκ τοῦ πτύσσω πτυκνὸς καὶ πυκνός. τὸ δὲ πυκινὸς ἐκ τοῦ πύκα ἐπιῤῥήματος τοῦ σημαίνοντος τὸ ἐπιμελῶς ἔχειν. τοῦτο δὲ ἐκ τοῦ πτύσσειν τὸ ἀσφαλίζειν πτύκα καὶ ἀποβολῇ τοῦ τ̄ πύκα. τὸ δὲ πτύσσω εἴρηται ἀνωτέρω.

Πυλαιμενέα, ὡς Διομήδεα καὶ ἐπὶ κλητικῆς Πυλαίμενες. ἡ γὰρ εὐθεῖα Πυλαιμένης.

Πύλη ἐκ τοῦ πτύσσω τὸ ἀσφαλίζω πτύλη καὶ πύλη καὶ πυλάρταο ἄδου τοῦ τὰς πύλας ἰσχυρῶς ἀρτῶντος, ὅ ἐστι κατασκευάζοντος ἢ συναρμόζοντος.

Πύματος ὁ ἔσχατος, ἐλλείψει τοῦ θ. παρὰ γὰρ το πυθμὴν ὠνόμασται ἀπὸ μεταφορᾶς τῶν ἀγγείων. ὁ γὰρ πυθμὴν ἔσχατος εἰς ἀρχὴν ἔχει πύθματος καὶ ἀποβολῇ τοῦ θ πύματος.

Πύξ. Ὅμηρος, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα. ἔστιν ἐπίῤῥημα ποιότητος καὶ γίνεται παρὰ τὸ πτύξω τὸ ἀσφαλίζω κατὰ ἀποβολὴν τοῦ ω καὶ τοῦ τ, πὺξ, παρὰ τὸ πτύσσειν καὶ συνάγειν τοὺς δακτύλους ἐν τῷ πλήττειν. κατακλείοντες γὰρ αὐτοὺς πλήτ- 149a
τομεν.

Πῦρ πυρός ἔστιν ἐπὶ τῆς εὐθείας μακρὸν, ἐπὶ δὲ τῆς γενικῆς βραχὺ πρὸς ἀντιδιαστολὴν τοῦ πυρὸς ὁ σῖτος. τὸ γὰρ πυρὸς τοῦτο μακρόν ἐστι. πῦρ τί ἐστιν ὅτι φυσώμενον ἐξάπτεται. ἢ παρὰ τὸ φύω τὸ ἀναλαμβάνω φῦρ καὶ πῦρ. τί γὰρ πυρὸς εὐφυέστερον, ἡνίκα ἐπιλάβηται ὕλης φύει; καὶ γὰρ ταύτης λαβόμενον ἢ παρὰ τὸ ὑπεράνω τῶν λοιπῶν στοιχείων εἶναι.

Πυράκτεον ἀπὸ τοῦ πῦρ πυρὸς πυράζω, ὁ μέλλων πυράξω, ὄνομα ῥηματικὸν πυρακτὸς καὶ ῥῆμα πυρακτῶ, ἐξ οὗ καὶ πυράκτεον.

Πυραὶ πυρκαιαὶ καὶ κατὰ μεταπλασμὸν πυρὰ, ὡς πλεύρομα πλευρά.

Πυρώεις ἐκ τοῦ πυρόεις κατὰ ἔκτασιν, ὡς κητώεις, οἷον πυρώεις ἀπολάμψεται ἀστήρ.

Πυτίζω παρὰ τὸ πτύω παράγωγον πτυτίζω καὶ ἀποβολῇ τοῦ τ πυτίζω. ἢ παρὰ τὸ φυσῶ φυσίζω καὶ ἐναλλαγῇ τοῦ φ πυτίζω.

Πυκιμήδεος συγκοπὴν ἔπαθεν ἐκ τοῦ πυκινομήδεος. οὐ γάρ ἐστιν εἰπεῖν πρὸς ἀκρίβειαν ὡς ἐκ τοῦ πύκα σύγκειται.

Πυρπολεῖν δὲ ἢ τὸ πυρσεύειν, ὅ ἐστι νυκτὸς πῦρ καίειν διὰ τοὺς πελάζοντας. ἢ καὶ τὸ μεθ' ἡμέραν τεκμηριοῦσθαι τόπον τῷ τοῦ πυρὸς σημείῳ καπνῷ, ὃν ἀποθρώσκοντα ἐκεῖθεν ἰδεῖν ἐπήυξατο πρὸ τούτων Ὀδυσσεύς.

Πῶ ἐπίῤῥημα ἐκ τοῦ πόθι ἀποκοπῇ καὶ ἐκτάσει πῶ. ἔστι καὶ ῥῆμα προστακτικὸν παρ' Αἰολεῦσι, οἷον χαῖρε καὶ πῶ, ὅπερ ἐνεστὼς σύμπωθι λέγεται ἀντὶ τοῦ σύμποθι. ἢ ἐκ τοῦ πῶ τὸ πῶθι τρίτης συζυγίας, ὡς μυρῶ δεδῶ, οὕτως πῶ. ὅταν γένηται πῶθι, ἐπαύξησίς ἐστιν, ὅπερ γίνεται πῶθι ἐπεκτάσει, ὡς ζῆθι καὶ ζῶθι, οὕτως πῶθι.

Πῶλοι ὀρεῖς ἵπποι. ὡς ἵππος ἵππαδος, οὕτως πόα πόαλος ὁ περὶ πόαν ἁλλόμενος καὶ κράσει πῶλος. 149b

Πωλῶ τὸ πιπράσκω, παρὰ τὸ πολῶ τὸ συναναστρέφομαι καὶ ἐπιφοιτῶ. ὁ γὰρ πωλῶν καὶ ὁ πωλούμενος παρὰ τὸν αὐτὸν τόπον ἀναστρέφεται, ἵνα θεωρεῖται ὑπὸ πάντων. ἰστέον δὲ ὅτι τὸ πωλῶ διαφορεῖται κατά τε γραφὴν καὶ σημασίαν. ἐπὶ γὰρ τοῦ πιπράσκω μέγα γράφεται, ὅθεν καὶ τὰ παρ' αὐτοῦ, οἷον σιτοπώλης, οἰνοπώλης, ἀρτοπώλης, καὶ τὰ ὅμοια. ἐπὶ δὲ τοῦ κινοῦμαι καὶ περιπατῶ μικρόν. ὡσαύτως καὶ τὰ παρ' αὐτοῦ οἷον οἰωνοπόλος, προσπόλος, θυηπόλος, θαλαμηπόλος, καὶ ἁπλῶς ἀμφότερα ἐν ταῖς συνθέσεσιν τὴν ἰδίαν γραφὴν φυλάττουσιν. σημείωσαι τὸ ἀπεμπωλῶ ἀπὸ τοῦ πολῶ τοῦ σημαίνοντος τὸ πιπράσκω καὶ διὰ τοῦ ο μικροῦ γραφόμενον, καὶ τὸ πωλέσκω ἀπὸ τοῦ πολῶ τοῦ σημαίνοντος τὸ ἀναστρέφομαι, καὶ διὰ τοῦ ω μεγάλου γραφόμενον. τὸ δὲ πολῶ τὸ ἀναστρέφομαι γίνεται ἀπὸ τοῦ πέλω τὸ ὑπάρχω. οἱ γὰρ συναναστρεφόμενοι παρὰ τὸν αὐτὸν τόπον ὑπάρχουσιν. ἰστέον δὲ τὰ παρὰ τὸ πωλῶ τὸ διὰ τοῦ ω μεγάλου συντιθέμενα καὶ τὸ τέλος ὀνόματα εἰς ης λήγουσι, τὰ δὲ παρὰ τὸ πολῶ τὸ διὰ τοῦ ο μικροῦ εἰς ος.

Πωλέσκετο ἐκ τοῦ πολῶ συναναστρέφομαι πολέσω καὶ πλεονασμῷ τοῦ κ πολέσκω, ὡς ἀρῶ ἀρέσω ἀρέσκω καὶ μετ' ὀλίγον μέλλων εἰς ἐνεστῶτα πολέσκομαι ἐπολεσκόμην ἐπολέσκετο καὶ πωλέσκετο. ἔχει πάθη δύο, συστολὴν ἤτοι ἀφαίρεσιν κατὰ Ἴωνας τοῦ ε̄ καὶ ἔκτασιν ἀττικὴν κατὰ ποιητὰς τοῦ ο̄ εἰς ω̄, ὡς τὸ ἐπεπωλεῖτο.

Πώμαλα. τὰ τῷ ο̄ παραληγόμενα ἐπιῤῥήματα ἀποκοπῇ τῆς θὲν καὶ ἐκτάσει τοῦ ο̄ εἰς ω̄ γίνεται παρὰ Δωριεῦσιν, οἷον αὐτόθεν αὐτῶ, τουτόθεν τουτῶ, οὕπως καὶ πόθεν πῶ, ὡς παρὰ Σώφρονι πώτις οἶνος ἀνάσηται ἀντὶ τοῦ πόθεν. τὸ δὲ πώμαλα παρὰ Ἀττικοῖς ἀπὸ τοῦ πόθεν καὶ τοῦ μάλα γίνεται, οἷον

ἢ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς,
ἢ μάλ' ἐλαφρὸς ἀνήρ.

τὸ δὲ πόθεν ἐπὶ τῆς οὐ ἀρνήσεως λέγεται, οἷον ἔφαψας πόθεν ἀντὶ τοῦ οὐ. καὶ κατὰ τοιαύτην σημασίαν τὸ πώμαλα παρὰ Ἀττικοῖς σημαίνει τὸ οὐδαμῶς καὶ ἔστιν ἀναγινωσκόμενον, ὡς μέν τινές φασι Σικελῶν κομισάντων τῶν ἐκεῖθεν φυγάδων ἰσοδυναμεῖ τῷ κατ' οὐδένα τρόπον καὶ τὸ οὐδ' ὅλως.

Πώποτε ἀπὸ τοῦ πω ἐπιῤῥήματος καὶ τοῦ ποτέ. εἴρηται δὲ ἀνωτέρω πόθεν τὸ πῶ γίνεται.

Πωλοδαμνεῖν παρὰ τὸ πῶλος καὶ τὸ δάμνω δαμνῶ τὸ δαμάζω, καὶ πωλοδάμνης ἀνὴρ ὁ τοὺς πώλους δάμνων. τὸ δὲ δαμνῶ συζυγίας δευτέρας τῶν εἰς μι, ὅθεν καὶ δάμνημι παράγωγον καὶ δαμνάμενοι.

Πωρὸς, ὅθεν καὶ ταλαίπωρος, παρὰ τὸν πήσω μέλλοντα πηρὸς καὶ πωρὸς, τροπῇ τοῦ η̄ εἰς ω̄, ὡς ἀρήγω ἀρωγὸς καὶ ῥήσσω ῥωχμός.

Πώϋ πώεος τὸ ποίμνιον παρὰ τὴν πόαν, ἣν νέμεται, ἢ παρὰ τὸ πῶ τὸ κτῶμαι. ἢ παρὰ τὸ πῶ τὸ πίνω. ποτῶ γὰρ ἐνηδύνεται. ἢ ὅτι τὰ κτήματα ἐπὶ θρεμμάτων ἐλέγετο, ὡς τὸ πολυπάμμων.

Πώϋγγες αἱ αἴθυιαι αἱ κληθεῖσαι βοῦγγες, παρὰ τὴν βοὴν καὶ τὴν ἠχήν.

Πῶς δαὶ ἰστέον ὅτι ἡνίκα προηγεῖται ὁ μεν σύνδεσμος καὶ ἐπάγεται ὁ δε, διὰ τοῦ ε ψιλοῦ γράφεται, ἔστι γὰρ συμπλεκτικὸς, ἡνίκα δὲ οὐ προηγεῖται ὁ μεν, γράφεται διὰ διφθόγγου καὶ ἔστιν ἐπίῤῥημα ἐρωτήσεως. διὸ οὐ πειθόμεθα εἶναι τὸν δε σύνδεσμον καὶ τὸ αι ἄρθρον, ἐπειδὴ ὁ Ὅμηρος ἐλλειπτικός ἐστιν τῶν ἄρθρων.

Πωτῶντο οὐκ ἀρέσκει τισὶ νοεῖν ἀντὶ τοῦ ἐπέτοντο. σκληρὸν γὰρ δοκεῖ καὶ αὔθαδες ἐπὶ πετρῶν εἰπεῖν προπετῶς τὸ πέτεσθαι, ἀλλὰ μᾶλλον ἀντὶ τοῦ ἔπιπτον. ἔφη γοῦν ἀνωτέρω ὅτι νιφάδες πίπτουσι. καὶ οὕτω μέν τινες. οἳ καὶ διὰ τοῦ ω μεγάλου τὴν ἄρχουσαν γράφουσι πρὸς διαστολὴν τοῦ ποτῶ, ὃ δηλοῖ τὸ πέτομαι, ὡς τὸ ἔνθα καὶ ἔνθα ποτῶνται. ὅτι δύναται νοηθῆναι ἡ λέξις καὶ ἀντὶ τοῦ ἐπέτοντο, δηλοῖ ἐν τῇ ἐξῆς ῥαψῳδίᾳ, ἔνθα λίθον ὕψι ἀναθρώσκοντα πέτεσθαι λέγει. καλὸν οὖν εἰπεῖν ὅτι κατά τινα ἐπάλλαξιν ὡς ἐπὶ νιφάδων εἶπε τὸ πίπτειν, οὕτως ἐπὶ πτερῶν τὸ πέτεσθαι διὰ τὴν παραβολικὴν ὁμοιότητα, καὶ ὅτι ἐξετάθη τὸ πωτῶ ἐκ τοῦ πέτω κατὰ ἀναλογίαν τινὰ πρὸς ὁμοίωσιν τοῦ στρέφω στρόφος στρωφῶ, νέμω νόμος νωμῶ, πέλω πόλος πωλῶ, τρέπω τρόπος τρωπῶ, τρέχω τρόχος τρωχῶ, οὕτω καὶ πέτω πότος πωτῶ. χρῆσις δὲ τοῦ πωτῶ ἐν Ὀδυσσείᾳ, ἔνθα ποτὴν αἴθυιάν φησιν ὁ ποιητὴς, ἧς πάντως ἀρσενικὸν ὁ ποτὸς, ἤγουν ὁ πετόμενος. εἰ δὲ δοκεῖ ἀντιπίπτειν τὸ ἔνθα πωτῶνται. νοητέον διφορεῖσθαι κατὰ γραφὴν τὸ ποτῶ, καθάπερ καὶ τὸ τροχῶ. καὶ αὐτὸ γὰρ οὐ μόνον μεγεθύνει τὴν ἀρχὴν, ἀλλὰ καὶ σμικρύνει, ὡς δηλοῖ καὶ τὸ τροχάζω ἐξ αὐτοῦ παραχθέν.

Πώλεαι ἐκ τοῦ πωλεῖται τρίτου προσώπου γίνεται κατ' ἔνδειαν τοῦ τ καὶ ἀπέλευσιν τοῦ ι. διὸ καὶ παροξύνεται, καθὰ καὶ ἐν δευτέρᾳ ῥαψῳδίᾳ τὸ μυθέαι.

Ρ.

Ῥὰ σημαίνει τὸ εὐχερές. τινὲς ἀπὸ τοῦ ῥέα σχηματίζουσιν αὐτὸ, οἷς ἀντίκειται καὶ ὁ τόνος καὶ ἡ παράδοσις καὶ ἡ τῶν Αἰόλων διάλεκτος. ὁ τόνος μὲν, ὅτι εἰ ἀπὸ τοῦ ῥέα ἦν, περισπᾶσθαι ὤφειλεν· ἡ παράδοσις δὲ, ὅτι οὐκ ὤφειλεν ἔχειν τὸ ῑ ἡ τῶν Αἰολέων διάλεκτος, ὅτι εἰ ἀπὸ τοῦ ῥέα ἦν, οὐκ ὤφειλον οἱ Αἰολεῖς προστιθέναι τὸ β καὶ λέγειν βρά. τότε γὰρ προστιθέασι τὸ β τῷ ρ, ἡνίκα ἐπιφέρεται τῷ ρ τὸ δ ἢ τὸ κ ἢ τὸ τ ἢ τὸ ξ, ὡς ἐν τῇ αἰολικῇ διαλέκτῳ εὑρήσεις σαφέστερον, ὃ καὶ ζήτει ἐκεῖ, οὐκ ἔστι τοίνυν ἀπὸ τοῦ ῥέα, ἀλλὰ ἀπὸ τοῦ ῥάιδιον, ὅπερ αἰολικῶς βράδιον λέγεται, ἐπιφερομένου τοῦ β. τοῦτο γίνεται
151 a κατὰ ἀποκοπὴν βρα. ἀπὸ δὲ τοῦ ῥάιδιον ῥά. καὶ εὐλόγως ἔχει τὸ ῑ. οὐδὲν δὲ ξένον, εἰ δύο συλλαβῶν γεγόνασι ἀποκοπαί. γίνεται δὲ ὡς μακάριος μάκαρ, προπάροιθεν πρόπαρ, οὕτως οὖν καὶ ῥάιδιον ῥάι.

Ῥᾴδιον ἔχει τὸ ῑ προσγεγραμμένον, ἐπειδὴ εὑρίσκεται τὸ ῑ κατὰ διάστασιν ἐν τῷ ῥῃδιον. ὃ γὰρ σημαίνει τὸ εὔκολον καὶ εὐχερὲς, καὶ ὅτι ἀπὸ τοῦ ῥέα γίνεται ῥεῖδιον καὶ τροπῇ τοῦ ε εἰς η ῥῃδιον. ἢ ἀπὸ τοῦ ῥᾳος ῥᾴου. εἰσὶ γὰρ παράγωγα καὶ διὰ τοῦ διον καὶ διὰ τοῦ ιδιον, ὡς ἀλλαχοῦ εἴρηται. ἀλλ' εἰ ἀπὸ ῥᾳος ῥᾴου γέγονεν, οὐκ ὤφειλεν τρέψαι τὸ α εἰς η ἐν τῷ ῥῃδιος καὶ ῥῃδιον. τὰ γὰρ διὰ τοῦ διον ἀπὸ πρωτοτύπου φασὶν ἔχοντα τὸ ᾱ τρέπεται, ὡς κεφάλαιον κεφάδιον, ἔλαιον ἐλάδιον, σπήλαιος σπηλάδιον, καὶ οὐ λέγομεν ἐλήδιον καὶ σπηλήδιον. καὶ πάλιν εἰ ἦν ἀπὸ τοῦ ῥᾳος, οὐκ ὤφειλεν ἔχειν τὸ ῑ.

Ῥαδιουργεῖν τὸ μετὰ πανουργίας διαπράττεσθαι. τὰ δὲ παρὰ τὸ ῥάδιον ἔχει τὸ ῑ προσγεγραμμένον, οἷον ῥᾴθυμος ῥᾳστώνη.

Ῥάθυμος παρὰ τὸ ῥὰ καὶ τὸ θυμὸς, εὐκόλως μεταστρεφόμενος. ἢ ὁ παρὰ τὰ ἄτοπα τῆς ψυχῆς ἡδέως ἔχων. τὸ γὰρ ῥεῖα σημαίνει καὶ τὸ ἡδέως.

Ῥᾳδινώτερος. κοῦφος, ἐλαφρότερος, παρὰ τὸ δαμάζεσθαι ῥᾷον. ἢ ἐκ τοῦ ῥέα ῥεάδην, ἐξ οὗ ῥαδινὸς καὶ ῥαδινώτερος.

Ῥαιστὴρ ἡ σφῦρα, παρὰ τὸ ῥαίω τὸ φθείρω, ὃ μέλλων ῥαίσω. ῥαιστὴρ ἡ φθείρουσα καὶ συντρίβουσα τὰ ὑποκείμενα. τὸ δὲ ῥαίω παρὰ τὸ φθείρω, ὃ γίνεται κατὰ Αἰολεῖς φθέῤῥω, κατὰ δὲ τοὺς Δωριεῖς φθάῤῥω. οἱ γὰρ Δωριεῖς τὴν ει δίφθογγον εἰς αι δίφθογγον τρέπουσιν. τὸ κύπειρον γὰρ κύπαιρον λέγουσι καὶ τὸ εἶκεν αἶκεν. φθαίρω οὖν δωρικῶς καὶ ἀποβολῇ τῶν δύο στοιχείων ἄρω καὶ ὑπερθέσει ῥαίω τὸ φθείρω. ἀφ' οὗ τὸ διαῤῥαῖσαι. ἀπὸ οὖν τοῦ ῥαίσω ῥαιστήρ. τὸ ραι δίφθογγον, ἢ ὅτι ἐκ τῆς παραγωγῆς αὐτὸ ἔσχηκεν, ἢ ὅτι κανὼν ἐστὶν ὁ λέγων, τὰ διὰ 151b τοῦ αιω ῥήματα ἀσυναίρετα ὄντα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς αι διφθόγγου γράφεται, οἷον παλαίω καίω ῥαίω.

Ῥᾶσαι τρισύλλαβον οἴονται τὸ ἐκ νόσου ἀνασφῆλαι καὶ ἀναῤῥωσθῆναι.

Ῥᾴων παρὰ τὸ ῥέω, τὸ γὰρ εὐχερῶς γινόμενον ῥύσει ἔοικε, ἔχει τὸ ῑ. τὰ γὰρ εἰς ων συγκριτικὰ δισύλλαβα διφθόγγῳ παραλήγεται, οἷον πλείων λῴων ῥᾴων. ὁμοίως καὶ ὅτι εὑρίσκεται καὶ κατὰ διάστασιν.

Ῥαντίζω ἐκ τοῦ ῥαίνω ῥανῶ ῥανίζω καὶ πλεονασμῷ τοῦ τ ῥαντίζω.

Ῥαπίδες. κρηπίδες ἄρσει τοῦ κ καὶ τροπῇ τοῦ η εἰς α. ἢ ἀπὸ τοῦ ἁρπὶς ὀξύνεται ἁρπίδος μακρὸν ἔχοντος τὸ ῑ ὑπερθέσει τοῦ ρ καὶ συστολῇ τοῦ διχρόνου ῥαπίς.

Ῥαπίσαι τὸ πατάξαι γνάθον ἁπλήστῳ χειρί.

Ῥαστώνη παρὰ τὸ ῥᾴων, ὃ σημαίνει τὸν εὔκολον, γίνεται ῥᾷστος, καὶ ἐκ τούτου ῥαστώνη, ἡ ἡδυπάθεια ἢ εὐκολία, ἢ κατά τινας περίστασις ἡσυχία πάντοθεν.

Ῥᾷστος ἐκ τοῦ ῥᾴων συγκριτικοῦ ῥᾷστος ὑπερθετικόν. τὰ δὲ εἰς ων συγκριτικὰ μεταβάντα εἰς ὑπερθετικὰ διισύλλαβα ὄντα τηρεῖ τὴν παραλήγουσαν, πλείων πλεῖστος, ῥᾴων ῥᾷστος ἔχει τὸ ι. τὰ γὰρ εἰς ων συγκριτικὰ ζήτει εἰς τὸ ῥᾷον.

Ῥάσφιν τὸ ἐντελὲς ἄρασφιν κατὰ ἔλλειψιν τοῦ α εὕρηται. ἡ σφι ἀντωνυμία παρὰ τῷ ποιητῇ σὺν τῷ ν. Συρακούσιοι δὲ τὴν ψιν λέγουσιν, Λάκωνες τὴν σφίν.

Ῥέξας παρὰ τὸ ἔρδω τὸ θύω καὶ ἐν ὑπερβιασμῷ ῥέδω τροπῇ δωρικῇ ῥέξω. σημαίνει δὲ τὸ πράττω.

Ῥεῖθρον παρὰ τὸ ῥέω ῥέεθρον καὶ κράσει ῥεῖθρον. σημαίνει δὲ δύο, τὸ ῥεῦμα καὶ τὸν λιμένα ἐν Ὀδυσσείᾳ.

Ῥηγνύμενον ἐκ τοῦ ῥήσσω, τοῦτο παρὰ τὸ ῥῶ τὸ φθείρω. ἀπὸ δὲ τοῦ ῥηγνύω ὁ μέλλων ῥηγνύσω, ὡς μεθύω μεθύσω. ἢ ῥηγνύσω πλεονασμῷ τοῦ κ
152a καὶ μετάγεται εἰς ἐνεστῶτα ὡς μεθύσκω. ἀπὸ δὲ τοῦ ῥηγνύω ῥήγνυμι καὶ ῥηγνύμενον κῦμα ἀντὶ τοῦ προσ-
20ρησσόμενον καὶ φθειρόμενον, ὡς ῥήγνυσκε κατὰ Ἴωνας ἀντὶ τοῦ ἔῤῥηγνυεν.

Ῥηΐστη ἄδεια ἀνάπαυσις, οἶμαι, ἀπὸ τοῦ ῥᾷστος ῥάστη καὶ ῥηΐστη.

Ῥῆμα ἀπὸ τοῦ ῥῶ τὸ λέγω. ἔστι δὲ συζυγίας
25πρώτης ῥήσω ῥέρηκα ῥέρημαι ῥῆμα ῥέρησαι ῥῆσις ῥέρημαι ῥήτωρ καὶ ῥητὴρ Ἰλιάδος ι, οἷον μύθων τε ῥητῆρ ἔμμεναι, ἀντὶ τοῦ διδάσκαλον τῶν ἐσομένων λόγων.

Ῥήτρη ἡ ἐπὶ ῥητοῖς συνθήκη ὁμολογία. παρὰ
30Ταραντίνοις δὲ νόμος καὶ οἷον ψήφισμα. παρὰ δὲ ἑτέροις σύγγραμμα καὶ ῥητροφύλακες οἱ συγγραμματοφύλακες. παρὰ τὸ ῥῶ τὸ λέγω ῥήσω.

Ῥηξήνορα τὸν ῥηγνύντα τὴν ἠνορέην ἤτοι τὴν δύναμιν ἀνδρεῖον, ἢ τὸν ῥέξαι καὶ πρᾶξαί τι τῇ ἠνο-
35ρέῃ δυνάμενον.

Ῥιγεδανὸς ἀπὸ τοῦ ῥῖγος ῥιγεδανός, ὡς μῆκος μηκεδανός, καὶ ῥιγεδανὴς Ἑλένης Ἰλιάδος γ.

Ῥίπτασκον οὐκ ἔστιν ἰωνικόν. οὐ γὰρ τὸ ε παραλήγει. καὶ τινὲς μέν φασιν ἀπὸ ἐνεστῶτος αὐτὸ εἶναι. παρῆκται γὰρ ἀπὸ τοῦ ῥιπτάζω ῥιπτάσκω, ὡς παρὰ τὸ φάζω φάσκω, καὶ συγκοπῇ ἰωνικῇ ῥιπτάζεσκον. ἢ ὁ ἐν πολέμῳ ῥίψας τὰ ὅπλα.

Ῥῖγος ἀπὸ τοῦ φρίσσω φρῖγος καὶ ῥῖγος, ὅθεν τὸ ῑ μακρὸν ὁ γὰρ ἀποβολῇ τοῦ φ ἔκτασιν πεποίηκε τοῦ ῑ. ἐκ δὲ τοῦ ῥῖγος ῥίγιος τὸ κτητικόν. σημαίνει δὲ τὸ φρικῶδες καὶ καλεπὸν, ὅθεν καὶ ῥίγιστα ἐν Ἰλιάδος ε τὰ φρικτὰ καὶ καλεπά. ἀπὸ τοῦ ῥῖγος ῥιγίων ῥιγίονος ῥίγιστος, καὶ τὸ οὐδέτερον ῥίγιον καὶ ῥίγιστον. ῥίγιον δὲ ἐπὶ μὲν τοῦ φρικώδους καὶ χαλεποῦ παροξύνεται, ἐπὶ δὲ τῆς νόσου προπαροξύνεται. ἐκ δὲ τοῦ ῥῖγος ῥιγέω ῥιγῶ ῥιγήσω συζυγίας πρώτης ἐπὶ τοῦ φοβοῦμαι, ὡς τὸ ῥίγησεν δ' ὁ γέρων. ῥιγῶ δὲ ῥιγώσω συζυγίας τρίτης ἐπὶ τοῦ ψύχους, ὡς τὸ οὐκ ἐφάμην ῥιγωσέμεν, ἀντὶ τοῦ οὐχ 152b ὑπέλαβον ῥιγῶσαι. ἀμφότερα γὰρ ἐκ τοῦ ῥῖγος γίνεται.

Ῥίμφα, ταχέως, παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους. ὡς παρὰ τὸ κρύπτω κρύφα, οὕτως ῥίπτω ῥίφα καὶ πλεονασμῷ τοῦ μ ῥίμφα.

Ῥιγῶ μὲν ῥιγώσω ἐπὶ τοῦ κατὰ σῶμα πάθους ἐκ κρύους, ῥιγῶ δὲ ῥιγήσω ἐπὶ τοῦ κατὰ ψυχὴν δέους καὶ ἐν τῇς ἐντεῦθεν φρίκης. διφοροῦνται δὲ καὶ ἕτερα ὁμοίως ῥήματα. δηλῶ γοῦν δηλήσω τὸ βλάψω, κυκλῶ κυκλώσω κοινῶς, κυκλῶ δὲ κυκλήσω παρ' Ὁμήρῳ τὸ ἐφ' ἁμάξης ἄξω, δινῶ δινήσω τὸ συστρέφω, δινώσω δὲ ἀντὶ τοῦ τορεύσω. ὅθεν καὶ δινωτὸν τὸ τορευτόν. ζηλῶ ζηλώσω τὸ μιμήσομαι, ζηλῶ δὲ ζηλήσω τὸ φθονήσω, ἐξ οὗ οἱ παρὰ τῷ ποιητῇ ζηλήμονες θεοὶ, καὶ ἕτερα. ἐκ τοῦ δὲ ὁμηρικοῦ ῥιγήσω καὶ ῥιγεδανὴ Ἑλένη, καὶ ῥιγηλὸν τὸ φρικτὸν, ᾧ ἴσον τὸ ῥίγιον.

Ῥῖγος πρωτότυπόν ἐστι τοῦ ῥίγιστος, ὡς καὶ κάλλος καὶ τὸ κράτος τοῦ κάλλιστος καὶ τοῦ κράτιστος.

Ῥοθεῖ δὲ κῦμα ῥοχθῶ ἐρόχθεον παρὰ τὸ ῥόθιον ῥοθῶ καὶ πλεονασμῷ τοῦ χ ῥοχθῶ. ἐν ἄλλοις δὲ σημαίνει τὸ ῥοχθεῖν τὸ πρὸς τὴν ξηρὰν κρούειν. ἢ παρὰ τὸ ῥοῦν καὶ τὸν ἦχον ῥουχῶ ῥοχῶ καὶ ῥοχθῶ. ἢ ἀπὸ τοῦ ῥέω ῥοχῶ, ὡς λέγω λογῶ καὶ πλεονασμῷ τοῦ θ ῥοθῶ καὶ ῥόθεον ὑπὲρ κῦμα ποιὰ φωνή ἐστι. τὸ γὰρ ὕδωρ εἰς τὰ κοιλώματα τῶν πετρῶν εἰσιὸν δοκεῖ τινὰ ποιεῖν ἦχον ῥόχος καὶ ῥόχθος.

Ῥόωντο ἐκ τοῦ ῥέω. ζήτει τὸν κανόνα εἰς τὸν γνώωσιν.

Ῥυήσεται. ῥέω καὶ αἰολικῶς ῥεύω ῥεύσω ἔρευσα, ὁ δεύτερος ἐρρύην, ὁ παθητικὸς ἐῤῥύην, τὸ τρίτον ἐῤῥύη, καὶ ὁ μέλλων δεύτερος ῥυήσομαι ῥυήσεται καὶ ἀποῤῥυήσεται.

Ῥύεο ῥῦσαι ἐκ τοῦ ῥύω, καὶ τὸ παθητικὸν ῥύομαι, ὁ παρατατικὸς ἐρυόμην, τὸ δεύτερον ἐρύου καὶ τὸ προστακτικὸν ῥύου καὶ ἰωνικῶς ῥύεο. εἰώθασι γὰρ οἱ Ἴωνες τὰ εἰς ου προστακτικὰ εἰς εο διαιρεῖν, οἷον ποιοῦ ποίεο, ἄρχου ἄρχεο. οὕτως οὖν καὶ ῥύου ῥύεο.

Ῥυήτω ἐκ τοῦ ῥύηθι ῥυήτω.

Ῥῦσθαι ἀπὸ τοῦ ῥύεσθαι, οὗ θέμα τὸ ῥύω καὶ πλεονασμῷ τοῦ ε ἐρύω γίνεται, ἐπενθέσει δὲ τοῦ ι εἰρύω.

Ῥύσκεσθαι γίνεται ἀπὸ τοῦ ῥύω ῥύσω πλεονασμῷ τοῦ κ πρὸς ὁμοιότητα τοῦ θνῶ θνήσω θνήσκω. δαίω τὸ μανθάνω δαίσκω καὶ ἀναδιπλασιασμῷ καὶ ἀπελεύσει τοῦ ι τῆς διφθόγγου διδάσκω, οἷς ἐν τῇ εἰς τὸν μέλλοντα κλίσει προλογίζεται τὸ φυσικὸν σ. ἀλλὰ πρὸς τὸ τῆς παραληγούσης κ κλίνεται ὡς εἶπερ ἦν θνήσκω καὶ διδάσκω. ὧν δηλαδὴ μέλλοντες θνήξω καὶ διδάξω. ὅτι δὲ οὐκ ἐπὶ πάντων τοιαύτη

κλίσις γίνεται οὐκ ἔστι ἀμφιβαλλεῖν. τοῦ γὰρ ἴσκω καὶ ῥύσκω καὶ ῥυΐσκω καὶ κικλήσκω καὶ μιμήσκω καὶ ἄλλων οὐδ' ὅλως εἰσὶ μέλλοντες.

Ῥύπα μεταπλασμὸν ἔπαθεν. ὡς γὰρ ὁ ζυγὸς τὸ ζυγὸν καὶ τὰ ὅμοια, οὕτω καὶ ὁ ῥύπος τὸ ῥύπον, οὗ ἡ εὐθεῖα παρὰ Θεοκρίτῳ εἰπόντι ἅπαν ῥύπον. λέγει δὲ ῥύπα τὰ ῥύπου μετέχοντα.

Σ.

Σακέσπαλος πολεμικὸς ἀπὸ τοῦ πάλλειν τὸ σάκος, ὅ ἐστι κινεῖν τὴν ἀσπίδα. σάκος γὰρ ἡ ἀσπὶς ἀπὸ Σάκων τῶν πρώτως εὑρόντων, οἱ δὲ Σάκες ἔθνος εἰσὶ Θρᾳκικόν. ἢ παρὰ τὸ σαγὴν σάγος καὶ σάκος. ἢ παρὰ τὸ σάσσω σάκος, ὡς θάσσω θάκος.

Σαώτερος. ἔστι ῥῆμα σῶ τὸ ὑγιαίνω, παράγωγον σάω, ἐξ οὗ σαὸς ὄνομα καὶ σαώτερος. ἔστι δὲ ἀπὸ τοῦ σῶ καὶ ἕτερον παράγωγον σέω, ἐξ οὗ τὸ σοὸς διὰ τοῦ ō μικροῦ.

Σάω κατὰ ἀποκοπὴν ἐκ τοῦ σάωξε γέγονεν.

Σέσηπεν. ἐκ τοῦ σήπω ἢ ἔσαπον γίνεται παρὰ τὸ σῆς σητὸς, ὅ ἔστιν εἶδος σκώληκος, σήπω. κλίνεται σὴς σητός. ὁ κανὼν, τὰ εἰς ης ὀνόματα μονοσύλλαβα εἰ μὲν ὀξύνεται, διὰ τοῦ τος κλίνεται, κρὴς 153b κρητὸς κρῆτες κρητῶν. ἀμφὶ δέ μιν Κρητῶν ἀγοί. θὴς θητὸς ὁ μισθωτὸς, θῆτες δμῳῆς τε. βλὴς βλητὸς βλῆτα καὶ ἀβλῆτα περόεντα. εἰ δὲ περισπῶνται, ἀποβολῇ τοῦ σ κλίνονται, οἷον δρῆς δρῆ. ἀπὸ γοῦν τοῦ σῆς σητὸς σήσω καὶ σήπω σέσηκα.

Σίσυφος. δῆλον ὅτι δωρικῶς ἅμα καὶ αἰολικῶς ὄνομα τὸ Σίσυφος. σιοὺς μὲν γὰρ οἱ Δωριεῖς φασι τοὺς θεοὺς ἐν τῷ νὴ τῷ σιῷ ἀντὶ τοῦ νὴ τοὺς θεούς. σύφος δὲ ὁ σοφὸς παρ' Αἰολεῦσιν. ὅθεν Σίσυφος ὁ θεόσοφος. καὶ εἰκὸς Κορινθίων διαλέκτου εἶναι τὴν λέξιν, παρ' οἷς δωρίζουσιν ἦρχεν ὁ Σίσυφος, ὡς

δὲ οἱ Δωριεῖς ἔχαρον καὶ αἰολίζοντες δηλοῖ Πίνδαρος ἀναμὶξ οὕτω ποιῶν, ἤτοι καὶ δωρικῶς γράφων καὶ αἰολικῶς. ὡς δὲ καὶ τὸν θάνατον ὁ Σίσυφος ἔδησεν. τοῦ δὲ εἰρημένου σιοῦ παράγωγον καὶ ὁ θίασος, καθὰ δηλοῖ ὁ δειπνοσοφιστὴς, λέγων ὅτι ἔρανοί εἰσι κατὰ τοὺς παλαιοὺς αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ ἀπὸ τοῦ συνερᾶσθαί φησι καὶ συμφέρειν ἕκαστον. ἐκαλοῦντο δὲ καὶ θίασοι, καὶ οἱ συνιόντες ἐπὶ τὰ τοιαῦτα ἐρανισταὶ καὶ συνθιασῶται. ἐκαλεῖτο δέ φησι θίασος καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος ἀπὸ τοῦ θεοῦ, ὃν σιὸν ἐκάλουν οἱ λάκωνες. οὐκοῦν σίασος καὶ τροπῇ θίασος, καθὰ καὶ βρυχησμὸς καὶ μαχησμὸς, καὶ τροπῇ ὁμοίᾳ βρυχηθμὸς μαχηθμός. οὕτω δὲ καὶ ὠρύω ὠρισμὸς, ὡς ῥύω καὶ ξύω ῥυσμὸς ξυσμὸς, καὶ μεταβολῇ ὁμοίᾳ τοῦ σ̄ εἰς θ̄ ὠρυθμὸς παρὰ Κοίντῳ. ὅρα δὲ ἐν τοῖς ῥηθεῖσι τὸ συνερᾶσθαι καινὸν ὄν, καὶ ἴσως ἀπ' αὐτοῦ γίνεται κατ' ἔννοιαν ἐναντίαν τοῦ ἐξερᾶν, οὗ πλείων χρῆσις. ἔτι δὲ καὶ τὸ συμφέρειν γλυκέως ῥηθὲν καὶ δηλοῦν τὸ συνάγειν, ὅπερ ἐπὶ βαστάγματος συνδιαφέρειν λέγεται, ἀφ' οὗ τροπικῶς εἴρηται τὸ συνδιαφέρειν ὁ δεῖνα τῷ δεῖνι τὴν ἀρχήν. ἔτι ὅρα καὶ τὸ αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ, ὅπερ ἐστι περίφρασις τοῦ αἱ συμβολαὶ αἱ συμποσιακαὶ δηλαδή.

Σκῆπτρόν ἐστιν ὅτε καὶ ἐπὶ βακτηρίας εὐτελοῦς λαμβάνεται, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται. γίνεται δὲ πλεονασμῷ τοῦ ρ̄ ἀπὸ τοῦ σκήπτω τὸ ἐπερείδομαι, 154 a ὡς προϋπάρχοντος τοῦ σκήπτω, ἀφ' οὗ ὁ σκηπτοῦχος, ὅθεν ὁ Πίνδαρος σκᾶπτον αὐτὸ δωρικῶς καλεῖ. ὅμοιος δὲ πλεονασμὸς τοῦ ρ̄ γέγονε καὶ ἐν τῷ ἔνοπτρον καὶ λέκτρον καὶ δέρτρον καὶ βάκτρον καὶ ῥόπτρον καὶ ἄροτρον καὶ τέρετρον. ὅτι δὲ καὶ διαφέρει σκῆπτρον σκίπωνος, δηλοῖ ὁ γεωγράφος εἰπὼν βασιλεῖς τινας σκίπωνα ἔχειν ἀντὶ σκήπτρου.

Σκεδῶ καὶ σκεδάζω, ἀφ' οὗ ἡ σκέδασις. ἑτέρωθι

δὲ κεδῶ δίχα τοῦ σ̄, ὅθεν παράγωγον τὸ κεδαίω. οὕτω δὲ καὶ σκίδναται καὶ κίδναται.

Σκαιὸν ἄνθρωπον Ἀττικοὶ τὸν ἀπαίδευτόν φασι καὶ ἀνόητον, ὡς δηλοῖ σαφῶς καὶ ὁ κωμικός. ἀκολούθως δὲ καὶ σκαιὸν πρᾶγμα τὸ μὴ κατὰ νοῦν ἀποβεβηκός. γίνεται δέ φασι παρὰ τὸ σκάζειν, ἵνα ᾖ σκαιὸς ὁ σκάζων εἰς μάθησιν ὡς ἀνόητος.

Σμερδαλέον καὶ σμερδνόν. καθίσταται δὲ ἡ λέξις οὕτως. μερίζω καὶ κατὰ συγκοπὴν μέρζω καὶ δωρικῶς μέρδω τὸ πανταχοῦ μερίζω καὶ διαπετανύω τὴν ὄψιν. καὶ μετὰ τοῦ ζᾱ κατὰ συγκοπὴν ζμέρδω κατὰ τοὺς παλαιοὺς γραμματικούς, ἐφ' ὧν καὶ τὸ ζμύρνα καὶ τὸ ζμικρός διὰ τοῦ ζ̄ κατήρχετο καταργηθέντος παρὰ τῶν ὕστερον, ὡς καὶ προγέγραπταί τι ἀντιθέσει τοῦ σ̄. σμέρδω τοίνυν καὶ ἐξ αὐτοῦ τὸ σμερδνὸν καὶ σμερδαλέον.

Σμυγερῶς τὸ ἐπιπόνως ὀδυνηρῶς καὶ ὡς εἰπεῖν καυστικῶς, ἀπὸ τοῦ σμύχω τὸ καίω. ὅθεν τὸ σμύξαι περὶ νῆα. τοῦ δὲ σμύχω ὁ δεύτερος ἀόριστος ἔσμυχον, ὅθεν τὸ σμυγερόν.

Σμινθεὺς ἐπίθετον Ἀπόλλωνος. οὕτως καλοῦσι Κρῆτες τοὺς μύας.

Σόλοικος. οἱ βάρβαροι μὲν σόλοικοι ἀπὸ τῶν Σόλων πόλεως τῆς Κιλικίας. οἱ δὲ παρὰ λόγον προσπταίοντες παρὰ τὸν τοῦ σώου λόγον αἰκισμὸν σολοικίζειν ἐλέχθησαν παρὰ τῶν Ἀθηναίων. ἰστέον δὲ ὅτι διαφέρει τὸ βαρβαρίζειν τοῦ σολοικίζειν, καθὸ τὸ μὲν βαρβαρίζειν τὸ παρὰ μίαν λέξιν ἁμαρτάνειν ἐστί, κατὰ τόνον μὲν ὡς ὅταν τὸ ἄνθρωπος ὀξυτόνως εἴπω ἄνθρωπὸς, κατὰ γραφὴν ὡς ὅταν τὸ Νεῖλος διὰ τοῦ ῑ γράψω, κατὰ κλίσιν ὡς ὅταν Αἴας Αἴου κλίνω, κατὰ χρόνον ὡς ὅταν τοῦ Αἴας τὸ ᾱ συστέλλω, κατὰ πνεῦμα ὡς ὅταν τὴν ὑπὸ πρόθεσιν ψιλῶ. σολοικίζειν δὲ 154b ἐστι τὸ παρὰ τὴν σύνταξιν καὶ τὴν τάξιν ἁμαρτάνειν, τουτέστιν ἑκάστης λέξεως καθ' ἑαυτὴν κειμένης καλῶς

ἐχούσης, ἐν δὲ τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβανομένης, ὅθεν καὶ σολοικισμὸς λέγεται ὁ τοῦ σώου λόγου αἰκισμὸς ἢ ὕβρις τοῦ ὁλοκλήρου λόγου. δεῖ δὲ γινώσκειν ὅτι σολοικίξειν καὶ βαρβαρίζειν δεῖ λέγειν καὶ σολοικιζόμενον καὶ βαρβαριζόμενον, σολοικισμὸς καὶ βαρβαρισμὸς οὐ δεῖ λέγειν. οὕτως ὁ Χοιροβοσκός.

Σπεῖσαι παρὰ τὸ πίσαι, ὅ ἐστι ποτίσαι τὴν γῆν τῷ οἴνῳ. Ὅρος.

Σπέα τὸ σπέος τοῦ σπέεος καὶ σπέους. τὸ πληθυντικὸν τὰ σπέεα καὶ συγκοπῇ σπέα, ὡς κλέεα κλέα. ζήτει εἰς τὸ σπέος.

Σπείους. ὡς ἀπὸ τοῦ δέους γενικῆς δείους, οὕτως ἀπὸ τοῦ σπέους σπείους. αὗται δὲ εἰσι μόναι παρὰ τῷ ποιητῇ εἰς ους λήγουσαι ἀπὸ τῶν εἰς ος οὐδετέρων. ἀεὶ γὰρ ἐντελῶς λέγει τείχεος σάκεος. τὸ δὲ αἴτιον, ἡ εὐθεῖα καθὸ δέος καὶ σπέος καὶ εἰ προσέλαβεν ἡ γενικὴ τὸ ἕτερον ε σπέεος καὶ δέεος κακοφωνία ἐγένετο. ἔνθεν οὖν ἐποίησε δέους καὶ σπέους καὶ πλεονασμῷ τοῦ ι δείους καὶ σπείους. σπέος δέ ἐστι τὸ σπήλαιον τὸ ἀφώτιστον οἴκημα παρὰ τὴν σβέσιν τοῦ φωτός. ὡς ἐπιτοπολὺ γὰρ φωτὸς ἐστέρηται. ὅθεν φησὶ σπέος ἠεροειδὲς ἤτοι σκοτεινὸν καὶ ἀφεγγὲς, παρὰ τὸ σβέω σβέσω σβέος καὶ σπέος. ἔστι δὲ καὶ σβῶ σβέσω, ἐξ οὗ καὶ σβέσις. κλίνεται σπέεος σπέους καὶ σπείους παρὰ τῷ ποιητῇ. ἡ δοτικὴ τῶν πληθυντικῶν σπέεσι ὡς τείχεσι, καὶ ἐπεκτάσει τοῦ ε εἰς η σπήεσι, κατὰ συγκοπὴν δὲ σπέσιν, οἷον ἐν σπέσι γλαφυροῖσι.

Σπέσθαι ἀκολουθῆσαι, ἀπὸ τοῦ ἕπεσθαι ἀπαρέμφατον πλεονασμῷ τοῦ σ ἕσπεσθαι καὶ σπέσθαι. ἢ ἀπὸ τοῦ ἑπόμην ἕπετο πέσθαι καὶ ἐπισπέσθαι.

Σπὲς ἀπὸ τοῦ σπῶ σπήσω. σημαίνει τὸ λέγω, ἐν συνθέσει ἐνισπήσω, ὁ δεύτερος ἀόριστος ἔσπον, ἡ μετοχὴ σπὼν καὶ ἐνισπών, τὸ προστακτικὸν σπὲς καὶ

ἐνισπὲς ἀντὶ τοῦ εἰπέ. ἱστέον δὲ ὡς τὸ σπὲς καὶ σχὲς καὶ φρὲς, ὃ σημαίνει τὸ εἰσένεγκε, γίνεται ἐκ τοῦ σχόω σχῶ σχῶμι πῶμι καὶ φρῶμι, ὧν οἱ δεύτεροι 155a ἀόριστοι ἔσχον ἔσπον ἔφρον. καὶ τὰ προστακτικὰ αὐτῶν σεσημείωται καὶ γίνεται σχὲς, ἐξ οὗ καὶ ἐπίσχες5 καὶ φρὲς καὶ σπὲς, καίπερ ὀφείλοντα γενέσθαι σχὲ καὶ φρὲ καὶ σπὲ, ὡς ἐλθὲ εὑρὲ εἰπέ.

Στένεται καὶ παραστένεται θυμοῦται περιττῶς καὶ πέραν τοῦ δέοντος ὀργίζεται.

Στεῦται διαβεβαιοῦται, ὑπισχνεῖται, παρὰ τὸ10 στῆθος, οἷον ἐν τοῖς στήθεσι διανεῖται. ἐκεῖ γὰρ τὸ λογιστικὸν, καθ' Ὅμηρον, οἷον

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.

ἢ ὡς παρὰ ἀθλῶ ἀθλεύω, ῥοχθῶ ῥοχθεύω, οἰνοχοῶ οἰνοχοεύω, λωβοῶ λωβοεύω, οὕτως στῶ στεύω στεύ-15 ομαι στεύεται στεῦται, ἐπὶ τοῦ ὡρισμένου τί τῇ ψυχῇ καὶ στάσιμον λαβεῖν καὶ ὑποθέμενός τι, περὶ οὗ διισχυρίζεται εἰπεῖν.

Στήωσιν εἰ μὲν χωρὶς τοῦ ῑ, ἀπὸ τοῦ στῶ τὸ τρίτον τῶν πληθυντικῶν στῶσι καὶ πλεονασμῷ τοῦ ῆ20 στήωσιν. εἰ δὲ σὺν τῷ ῑ, ἀπὸ τοῦ ἐὰν στῶ ἐὰν στῇς ἐὰν στῇ καὶ πλεονασμῷ τοῦ ῆ στήῃ στήῃς στήωμεν στήωσιν. ἄμεινον δὲ τὸ πρῶτον, ἢ ἀπὸ τοῦ στείω στείωσιν καὶ ἐκτάσει ἀττικῇ τοῦ ε̄ εἰς η̄ καὶ μετὰ προσγεγραμμένου ῑ στῄωσιν. 25

Στιβαρὸν ἐκ τοῦ στείβω τὸ περιπατῶ οἱονεὶ τὸ πεπιλημένον καὶ ἠσφαλισμένον, ἢ μὴ ἔχων ἔξοδον μηδὲ ὀπὴν, ἢ ἀπὸ τοῦ ἵστημι στιβαρὸν τὸ ἰσχυρὸν, ἢ ἀπὸ τοῦ στείβω ὁ δεύτερος ἀόριστος ἔστιβον, ὁ παθητικὸς ἐστίβην στιβῆναι τὸ ἀπαρέμφατον, καὶ ἐπεὶ30 κανών ἐστιν ὁ λέγων ὅτι τοῖς εἰς ναι ἀπαρεμφάτοις εἰώθασιν ἀντιπαρακεῖσθαι ὀνόματα εἰς ρος, οἷον μιᾶναι μιαρὸς, οὕτως στιβῆναι καὶ δωρικῇ τροπῇ στιβᾶναι, καὶ ἐξ αὐτοῦ στιβαρός.

Στιβίζουσι, οἷον ῥυθμῷ δὲ τὸ ψεῦδος στιβιβάζουσι δραπετεύουσι καὶ στιβᾶν ἐπὶ τοῦ παθεῖν, καὶ στίβειν τὸ ἰχνεύειν.

Στορέσας καταστρώσας, ἀπὸ τοῦ στροβῶ ὑπερθέσει καὶ ἀποβολῇ τοῦ ϖ στορῶ, ἐστόρεσε δὲ θεὸς μέγαν πόντον, στορῶ στορέσω καὶ καταστορῶ καταστορέσῶ τὸ γαληνῶ.

Στέλλω τὸ εὐτρεπίζω καὶ κοσμῶ, ἀποστέλλω δὲ ἡ πρόθεσις περιττόν τι δηλοῖ ἤγουν ἐμπέμπω τοῦ προετοιμάσαι καὶ κοσμῆσαι καὶ διαθετῆσαι πάντα. ἐκ γοῦν τοῦ στέλλω τὸ κοσμῶ καὶ στολὴ σημαίνει τὸ στέλλω καὶ τὸ κρύπτω, ἐξ οὗ καὶ συστολὴ τὸ ἐπιστέλλω, ἐξ οὗ καὶ ἐπιστολὴ τὸ πλέω, ἐξ οὗ καὶ στόλος.

Στρεύγεσθαι Ἰλιάδος ὃ οἱονεὶ στραγγίζεσθαι τουτέστιν κατ' ὀλίγον κινεῖσθαι ἢ ἐκλείπειν, ἢ ταλαιπωρεῖν, οἶμαι ἀπὸ τοῦ στραγγεύεσθαι συγκοπῇ τοῦ α̅ καὶ ἀποβολῇ ἑνὸς γ καὶ ὑπερθέσει στρεύγεσθαι.

Στρέφω ὁ μέλλων στρέψω, ὁ πκρακείμενος ἔστρεφα, ὁ παθητικὸς ἔστραμμαι καὶ ὤφειλεν εἶναι ἔστρεμμαι. ἀλλὰ τὰ εἰς ω̄ λήγοντα ῥήματα ἔχοντα τὸ ε̄ καὶ ρ̄ μετ' ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων τρέπουσι τὸ ε̄ εἰς α̅ ἐν παθητικοῖς, ὁ ἀόριστος ἐστρέφθην, καὶ ὤφειλεν εἶναι ἐστράφθην, ὅτι ὁ παθητικὸς ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου, πλὴν ὅμως τῶν παρὰ τὸ αἰρῶ περισπωμένων οἷον καθῄρημαι καθῃρέθην, συνῄρημαι συνῃρέθην, διῄρημαι διῃρέθην, ἀνῄρημαι ἀνῃρέθην, ἀφῄρημαι ἀφῃρέθην καὶ τῶν ὁμοίων, καὶ πλὴν τοῦ ἐπήνημαι ἐπηνέθην καὶ τοῦ εὕρημαι εὑρέθην, καὶ ῥῶ ἔῤῥημαι ἐῤῥέθην, καὶ τοῦ μέμνημαι ἐμνήσθην, προσλαμβάνοντος τοῦ σ̄, καὶ σέσωσμαι ἐσώθην ἀποβάλλοντος αὐτὸ, τὸ δὲ ἐῤῥώσθην οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλ' ἀπὸ τοῦ ῥώζω, καὶ χωρὶς τῶν ἐχόντων τὸ ρ̄ καὶ ε̄ μετ' ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων. ταῦτα γὰρ ἐν μὲν τῷ παθητικῷ παρακειμένῳ τρέπουσι τὸ ε̄ εἰς α̅,

ἐν δὲ τῷ παθητικῷ ἀορίστῳ πάλιν ἐπαναλαμβάνουσι αὐτὸ, οἷον στρέφω ἔστραμμαι ἐστρέφθην, τρέφω τέτραμμαι ἐτρέφθην.

Στροφᾶσθαι Ἰλιάδος ῑ̄ ἀντὶ τοῦ στρέφεσθαι, διάγειν, ἀπὸ τοῦ στρέφω στρωφῶ.

Στυφελίζειν γίνεται μὲν ἀπὸ τοῦ στύφειν καὶ ἐλίσσειν, ἢ ἐλελίζειν, καὶ δηλοῖ τὸ στρυφνῶς καὶ ἐστυμμένως συστρέφων. τὸ δὲ ἕδος ἀπὸ τοῦ ἕζω, ἐξ οὗ καὶ ἡ ἕδρα, καὶ ὅρα καὶ νῦν ὡς ἕδος οὐ μόνον τὸ ἕδαφος, ἀλλὰ καὶ ἡ καθέδρα.

Στείομεν. πρωτότυπον τὸ στέομεν.

Στορέσαι πρωτότυπόν ἐστι τοῦ στρῶσαι καὶ καταστρῶσαι, ἀφ' οὗ καὶ τὰ στρώματα. 156 a

Στύξαιμι οὐ μόνον αὐτοπαθῶς ἀντὶ τοῦ φρίξαιμι καὶ μισήσαιμι, ἀλλ' ἰδοὺ νῦν καὶ ἀλλοπαθῶς ἀντὶ τοῦ εἰς μῖσος καὶ ἔκπληξιν ἀγάγοιμι. σημειωτέον δ' ἐνταῦθα τὸ στύξαιμι διπλῆν ἔχειν κίνησιν κανονικὴν, ἢ γὰρ ἀπὸ ἀσυνήθους βαρυτόνου κανονίζεται θέματος τοῦ στύγω στύξω, ἢ ἴσως ἀπὸ τοῦ στυγέω στυγῶ στυγήσω γίνεται κατὰ ἀπέλευσιν τοῦ η̄ τῆς παραληγούσης, στύγσω καὶ τροπῇ τοῦ γ̄ εἰς κ̄ διὰ τὸ εὐφωνότερον στύκσω, εἶτα τροπῇ τοῦ κ̄ καὶ σ̄ εἰς ξ̄, ὃ γίνεται καὶ ἐπὶ τοῦ δοκήσω δόκσω δόξω, ἀποτελεῖται τὸ στύξω, ἐξ οὗ τὸ ἔστυξα καὶ τὸ στύξαιμι. ὡς δὲ φιλίως ἔχει τὸ γ̄ καὶ τὸ κ̄ δηλοῖ καὶ ἡ τοῦ κ̄ εἰς τὸ γ μεταχώρησις ἐν τῷ ἕοιγμεν ἀντὶ τοῦ ἐοίκαμεν, ὃ κεῖται παρὰ Σοφοκλεῖ. ὅτι δὲ καὶ τὸ στυγέω στυγῶ περισπώμενον τέτριπται, οἷον στυγέει δὲ καὶ ἄλλος, ὅθεν τὸ στυγερὸν καὶ ὁ στυγητός. ὅμως ἔχει χώραν εἶναι καὶ βαρύτονον στύγω στύξω, δῆλον καὶ ἐκ τοῦ στὺξ, ὃ πάντως ἐκ τοῦ στύξω παρῆκται. τοιούτου δὲ ἴσως θέματος καὶ τὸ κατὰ δ' ἔστυγον αὐτήν. δοκεῖ γὰρ εἶναι ἀπὸ τοῦ στύγω στύξω ἔστυγα ἔστυγον, εἰ μή που ἄρα ὥσπερ ἀπὸ τοῦ ἐδούπησα καὶ ἐκτύπησα γίνεται τὸ ἔδουπον καὶ ἔκτυπον, οὕτω καὶ ἐκ τοῦ ἐστύγησα τὸ ἔστυγον. καὶ οὕτω μὲν ταῦτα.

Στὰν ἤγουν ἔστυσαν, ἐκ τοῦ στὰς στάντος γέγονε, καθὰ καὶ τὸ φθὰν ἐν τοῖς ἐξῆς ἀντὶ τοῦ ἔφθασαν, ἐκ τοῦ φθὰς φθάντος, καὶ τὸ φὰν ἀντὶ τοῦ ἔφησαν ἐκ τοῦ φὰς φάντος.

Συναντέθην ἦν δ' ἂν οὐκ ἔξω ἀναλογίας, οὐδὲ τὸ ἀλλήλοισι συναντήθην, ὡς ἀπὸ τοῦ ἀντῶ ἀντήσω, οὗ καὶ χρῆσις παρὰ τῷ ποιητῇ.

Συνῆκα ἐκ τοῦ συνίημι, ὁ μέλλων συνήσω, ὁ ἀόριστος συνῆκα καὶ ὤφειλεν εἶναι σύνηκα, ἀλλὰ πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει, οἷον ἦκα συνῆκα, πλὴν τοῦ οἶδα σύνοιδα. τοῦτο γὰρ ἀπὸ φωνήεντος καὶ ἀπὸ φύσει μα- 156b κρᾶς ἀρξάμενον ἐν τῇ συνθέσει ἀναπέμπει τὸν τόνον.

Συκῆ παρὰ τὸ σεύω τὸ ὁρμῶ. ὁρμητικὴ γάρ ἐστι. τὰ διὰ τοῦ αια παροξύτονα θηλυκὰ μὴ ἐπιδεχόμενα συναίρεσιν διὰ τῆς αι διφθόγγου γράφεται, ἐλαία ἀλθαία συκομοραία. μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τὸ συκέα συκῆ, ἀμυγδαλέα ἀμυγδαλῆ, καὶ τὰ ἐπὶ δένδρων διὰ τοῦ ε ψιλοῦ γράφεται, οἷον ἰτέα μηλέα καρέα πτελέα.

Συνέηκεν. ἔστι ῥῆμα ἰῶ καὶ σημαίνει τὸ πέμπω. παράγωγον ἵημι, ὁ μέλλων ἥσω. τῶν γὰρ εἰς μι οἱ μέλλοντες ἀποβάλλουσι τὴν πλεονάζουσαν συλλαβὴν ἐν τῷ θέματι, τίθημι θήσω, ἵστημι στήσω, βίβημι βήσω, ἵημι ἥσω ἧκα καὶ ἕηκα ἀττικῇ ἐκτάσει τοῦ ε, οἷς ἀντίκειται ἡ γραφή. ὁ γὰρ εἶκα παρακείμενος διφθογγογραφεῖται, ὡς δηλοῖ ἡ ἀφεικῶς μετοχὴ καὶ τὸ ἀφεικέναι ἀπαρέμφατον. τὸ δὲ συνέηκα διὰ τοῦ η γράφεται. ἀλλ' ἔστιν εἰπεῖν οὕτως, ἵημι ἥσω ἧκα, καὶ ὡς τίθημι θήσω τέθεικα τρεπομένου τοῦ η εἰς τὴν ει βοιωτικῶς ἐν τῷ παρακειμένῳ, οὕτως ἧκα εἶκα καὶ κατὰ διάλυσιν ἔϊκα καὶ ἐκτάσει τοῦ ε εἴϊκα καὶ τροπῇ τοῦ δευτέρου ε εἰς η καὶ προσγρα-

φομένου τοῦ ῑ̆ ἔγκα καὶ συνέγκα. ζήτει τὸ ε̄ στοιχεῖον ἔγκα.

Συνεῖρα. ἔστιν εἴρω τὸ συμπλέκω, ὃ γίνεται ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω τροπῇ τοῦ ᾱ εἰς ε̄ καὶ πλεονασμῷ τοῦ ῑ̆, ὁ μέλλων ἐρῶ, ὁ ἀόριστος εἶρα καὶ συνεῖρα καὶ παρενεῖρα καὶ ἐνεῖρα τὸ ἐμπερονήσω συναρμόσω συμπλέξω συνάψω. ἰστέον δὲ ὅτι τὸ ἐνεπείρουν ἔν τισι τῶν ἀντιγράφων ἐπένθεσιν τοῦ ε̄ ἔχει ὡς ἐνεποίουν. ἐν τοῖς πλείστοις δὲ οὐκ ἔχει τὴν τοῦ ε̄ ἐπέκτασιν. ἠμπείρουν γὰρ πεττουργὸς καὶ στυππειοποιὸς καὶ ἐνείρων τῷ ῥαιστῆρι τὸ στελεόν.

Σύνες ἐκ τοῦ συνίημι τὸ συνιῶ καὶ γινώσκω συνῆκα ὁ δεύτερος ἀόριστος συνῆν, ἡ μετοχὴ συνεὶς συνέντος καὶ τὸ προστακτικὸν σύνες. τὸ δὲ συνιῶ γίνεται κατὰ παραγωγὴν ἐκ τοῦ συνῶ ἢ ἐκ τοῦ συνίω.

Σύνθεο καὶ σύνθετο ἀμφότερα κατὰ πλεο- 157 a
νασμὸν τοῦ τ̄ ἀπὸ τοῦ σύνεο καὶ σύνετο. ἢ οὕτως. τίθημι, ὁ μέσος δεύτερος ἀόριστος ἐθέμην ἔθεσο καὶ ἐθοῦ ἔθετο, συστολῇ τοῦ τ̄ καὶ ἀφαιρέσει τῆς ἀρχουσης καὶ συνθέσει σύνθεο.

Συνοχωκότε συμπεπτωκότε. ἔστι δὲ μετοχὴ συζυγίας πρώτης τῶν περισπωμένων ἐκ συνέχω συνοχῶ, ὡς δέμω δομῶ, συνοχήσω, ὁ παρακείμενος συνώχηκα, ἡ μετοχὴ συνωχηκώς, ἡ εὐθεῖα δυϊκῶν συνωχηκότε καὶ συστολῇ ἰωνικῇ συνοχηκότε καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν συνοχωκότε, ὡς ἀρηγὸς ἀρωγός, σῆμα σῶμα.

Σφέας. τὸ σφέας κατὰ πλεονασμόν ἐστι τοῦ ε̄. ἢ τὸ σφᾶς κατὰ συναίρεσιν. καὶ λέγει ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε̄ διὰ τὸν κανόνα τὸν λέγοντα καθόλου ἐν τῷ ἀριθμῷ ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία ἀρχομένη ἀπὸ τοῦ σφ ἐνδεῖ συλλαβῶν κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τοῦ ά τε καὶ β΄ προσώπου, οἷον ἡμεῖς ὑμεῖς σφεῖς, ἡμῶν ὑμῶν σφῶν, ἡμῖν ὑμῖν σφῖν, οὕτω καὶ ἡμᾶς ὑμᾶς

σφᾶς, ὥστε τὸ σφέας κατὰ πλεονασμὸν ἔχει τὸ ε ἀπὸ τοῦ σφᾶς. ἢ ἄλλως σφέες σφεῖς καὶ σφὲς δωρικῶς, σφέων σφῶν καὶ σφείων σφίσι καὶ σφὶν, σφέας σφᾶς κατὰ κρᾶσιν. οὕτως ἡμέες ἡμεῖς κοινῶς, δωρικῶς δὲ καὶ αἰολικῶς ἄμμες, οὗ κατ' ἀναλογίαν ἐστὶν ὀνομαστικὴ δυϊκὴ ἄμμες, ἡμέων ἡμῶν κοινῶς καὶ ἐπενθέσει τοῦ ι ἡμείων ποιητικῶς καὶ ἀμμέων αἰολικῶς, ἡμῖν μόνως καὶ περισπᾶται ἀεὶ παρὰ τοῖς ῥήτορσιν. ἐνίοτε δὲ ὀξύνεται παρὰ τοῖς τραγικοῖς ποιηταῖς, ὅτε τὸ μιν βραχύ, ἐστι καὶ δωρικῶς ἄμμιν καὶ αἰολικῶς ἄμιν, ἡμέας ἡμᾶς καὶ αἰολικῶς ἄμε, καὶ τὸ δεύτερον ὑμέες ὑμεῖς ὑμέων ὑμῶν ὑμέας ὑμᾶς.

Σφετεριζόμενος ἰδιοποιούμενος ἀντὶ τοῦ σφέτερος.

Σφωὲ ἀντωνυμία ἐστὶ τοῦ δευτέρου προσώπου αἰτιατικῆς πτώσεως καὶ μόνης. οὐκ ἔστι δὲ τοῦτο ὀρθῆς καὶ αἰτιατικῆς, διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε 157b ἀναδίδωσι τὸν ἑαυτοῦ τόνον, οἷον νῶϊ σφῶϊ. τοῦτο δὲ ὀξύτονον καὶ ἐγκλιτικὸν καὶ ἀναδίδωσι τὸν τόνον, οἷον

τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι.

τοῦτον οὖν τὸν τρόπον ἀπέλειψεν ἡ εὐθεῖα καί ἐστι μόνης αἰτιατικῆς πτώσεως. τὸ γὰρ πρῶτον πρόσωπον τῶν δυϊκῶν εὐθείας καὶ αἰτιατικῆς πτώσεώς ἐστιν, οἷον νώ, τὸ β' πρόσωπον ὀρθῆς, οἷον σφῶϊ. τὸ γὰρ αἰτιατικῆς πτώσεως καὶ μόνης, οἷον σφῶε.

Σφῶϊν βαρύνεται μὲν δεύτερον ἐστὶ πρόσωπον, ὀξύνεται δὲ τρίτον, ἐξ οὗ γνώσομεν σφωῖν, ὅθεν καὶ ἐγκλιτικόν ἐστιν, ὡς παρ' Ὁμήρῳ καί σφωϊν δὸς ἄγειν.

Σχέσθε. ἐκ τοῦ ἔχω γίνεται σχέθω, ὡς φλέγω φλεγέθω, ὁ παρατατικὸς ἔσχεθον σχέθε, τὸ συναρχόμενον καὶ τὸ προστακτικὸν σχέθε καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ κατὰ πᾶσαν ἔγκλισιν.

Σχὲς καὶ πρόσχες ῥῆμα προστακτικὸν καταλήξεως τῶν εἰς μι. τὸ θέμα ἴσχημι, καὶ γίνεται ἐκ τοῦ σχῶ, ὁ μέλλων σχήσω, ὁ δεύτερος ἀόριστος ἔσχην, ἡ μετοχὴ σχεὶς σχέντος, καὶ τὸ προστακτικὸν σχὲς ὁμοίως τὸ σύνες, ὥσπερ τὸ σπὲς ἀπὸ τοῦ σπῶ καὶ τὸ φρὲς ἀπὸ τοῦ φρῶ, οὕτως καὶ τοῦτο ἀπὸ τοῦ σχῶ, ὁ μέλλων σχήσω, ὁ δεύτερος ἀόριστος ἔσχον καὶ κατέσχον, ἡ μετοχὴ σχὼν, ὥσπερ ἀπὸ τῆς φαγὼν μετοχῆς τὸ προστακτικὸν φάγε καὶ ἀπὸ τῆς πιὼν πίε πίος, οὕτως ἀπὸ τοῦ σχὼν σχὲ καὶ κατάσχε καὶ πλεονασμῷ τοῦ σ σχὲς καὶ κατάσχες. τὸ δὲ σπὲς ἀπὸ τοῦ σπῶ, ὃ σημαίνει τὸ λέγω, ὁ μέλλων σπήσω, ὁ ἀόριστος δεύτερος ἔσπον, ἡ μετοχὴ σπὼν καὶ ἐνισπὼν, καὶ τὸ προστακτικὸν σπὲ καὶ πλεονασμῷ τοῦ σ σπές. οὕτως Ζηνόβιος πλεονασμῷ τοῦ σ διὰ τὴν μονοσυλλαβίαν.

Σχήσεσθαι ἀνθέξεσθαι, ἀντιτῆναι, παρὰ τὸ σχῶ τὸ κρατῶ, ὅθεν καὶ σχῆμα.

Σχοίην ἀττικῶς, ὁμοίως τῷ περιπατοῖμι περιπατοίην καὶ τοῖς ὁμοίοις.

Σῴος λέγει ὁ Δίδυμος σὺν τῷ ῑ γράφεσθαι, ὡς Μίνως Μίνῳος, ἥρως ἥρῳος, οὕτω καὶ σῶς σῴος. ὁ δὲ Ἡρωδιανὸς ἀντιλέγει αὐτῷ λέγων ὅτι τὸ σῶς ἐκ τοῦ σώος γέγονε καὶ ἐπενθέσει τοῦ ο μικροῦ σῶος, 158 a πρὸς ὃν ἐστιν εἰπεῖν ὅτι καὶ ἀπὸ πεπονθότων παραγωγαὶ γίνονται. ἐκ γὰρ τῆς πατρὸς καὶ μητρὸς γενικῆς πεπονθυίας παράγονται πάτρως πατρικὸς καὶ μήτρως μητρικὸς, ἐξ ὧν πατρῶος καὶ μητρῶος. λέγει δὲ πάλιν ὁ τεχνικὸς ὅτι οὐδέν ἐστιν εἰς ως μονοσύλλαβον παρ' ἀρσενικοῦ εἰμὶ τοῦτο, πρὸς ὃν ἐστιν εἰπεῖν ὅτι σὺ ἐδίδασκες ἡμᾶς ἐν τῇ περὶ τοῦ ζὼς μονοσυλλάβῳ βίβλῳ, ὅτι εἰσὶ καὶ τὸ ζῶς καὶ τὸ κῶς καὶ τὸ γλῶς. εἰσὶ δὲ ὀνόματα ἡρώων. ἔστι δὲ σώω καὶ σόω τοῦ διὰ τοῦ ο μικροῦ σοός. καὶ Ὅμηρος,

βούλομ' ἐγὼ λαὸν σοὸν ἔμμεναι, ἢ ἀπολέσθαι.

ἐκ δὲ τοῦ σοὸς τοῦ διὰ τοῦ ō μικροῦ γίνεται σῶς καὶ ἐπενθέσει τοῦ ō μικροῦ σῶος.

Σῷ μονοσύλλαβον οἱ σῶοι, ὡς παρὰ Θουκυδίδῃ. ἡ δὲ συνήθεια γράφει σῶοι. λέγει δὲ Ὧρος ὁ μικρὸς ἔχειν τὸ ῑ προσγεγραμμένον. ἀπὸ γὰρ τοῦ σῶοι οἱ σῷ, ὡς οἱ ζωοὶ οἱ ζῷ.

Σώεσκον ἔσωξον ὅρμον. ἢ ἐκ τοῦ σώω ἔσωον, ἢ ἐκ τοῦ σώζω. σώω δὲ τὸ ὁρμῶ καὶ σώεσθαι στροφάδην παρ' Ὁμήρῳ ἀντὶ τοῦ ὁρμᾶν καὶ σώοντα.

Σώχω παρὰ τὸ σῶ σώχω ὡς σμῶ σμήχω. παρὰ τοῦτο δὲ καὶ τὸ ψώχω. σώχω δὲ τὸ τρίβω.

Τ.

Ταίγε ἄρθρα εὐθείας πληθυντικῶν δωρικῶς. λέγουσι δὲ ὅτι τὰ σύμφωνα ἅπερ ἔχει ἡ εὐθεῖα τῶν δυϊκῶν ἔχει καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν Λάχητε Λάχητες. ὁμοίως καὶ ἐπὶ ἄρθρου τῶ ξύλω τὰ ξύλα, οὕτω καὶ τὰ μοῦσα ταὶ μοῦσαι καὶ τὰ ταί. τὸ δὲ γε σύνδεσμος παραπληρωματικός. τὸ δὲ τοίκεν ἄρθρον ἔστιν ὑποτακτικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ. καὶ ἔστιν ἡ εὐθεῖα ὃ καὶ τὸ πληθυντικὸν οἱ ὤφειλεν εἶναι. ἀλλ' ἐπειδὴ οἱ Δωριεῖς τὴν ἀναλογίαν φυλάττουσιν τῆς εὐθείας τῶν δυϊκῶν πλεονασμῷ τοῦ τ καὶ ποιοῦσιν αὐτὸ
158b τοι, ὁμοίως καὶ τὸ ὦμοι τώμοι.

Τάλας ὁ ἄθλιος, παρὰ τὸ τάλλω τὸ ταλαιπωρῶ καὶ κακοπαθῶ, ὅθεν Ἡσίοδός φησι, ἐτρέφετο ἀτάλλων μέγα νήπιος, ἀντὶ τοῦ μὴ κακοπαθῶν. τάλλω οὖν καὶ συγκοπῇ τλῶ καὶ ταλῶ, ἔνθεν τὸ ταλάσσης ἀντὶ τοῦ ὑπομένῃς, καὶ ταλασίφρων ὁ καρτερικὸς καὶ γενναῖος καὶ ὑπομενητικὸς παρὰ τὸ τλεῖν. ἢ παρὰ τὸ ταλῶ ταλάσω ταλασίφρων.

Ταλαῶο μετὰ τοῦ ῑ τινὲς ἦν γὰρ φασὶ ταλαοῖο, οὐ κατεπείγει δέ. ἐκ γὰρ τῆς εἰς ῶ εὐθείας ἀττικῶς κέκλιται.

Ταλαώς. ταλαὼ καὶ πλεονασμῷ τοῦ ō ταλαῶο, ὡς *Μίνως Μίνω Μινῶο, ἀνδρόγεω ἀνδρογεῶο.*

Ταλόω. τάλως τάλω καὶ πλεονασμῷ τοῦ ō ταλόω, ὡς γάλως γάλω γαλόω.

Τάμεν ἀόριστος β′ καὶ τάμητε ὑποτακτικὸν καὶ ἡ μετοχὴ ταμὼν καὶ προταμὼν, ἀντὶ τοῦ ἤτοι ἀποκόψας ἢ τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος. τὸ ῥῆμα τέμνω. τὸ δὲ τάμνω δωρικόν.

Τάρπημεν ἐτέρφθημεν, ἐκορέσθημεν. ἐκ τοῦ τρέπω ἔτραπον ἔταρπον ταρπῶ. οἶμαι δὲ ἀπὸ τοῦ τρέφω τρέψω, ὁ ἀόριστος δεύτερος ἔτραφον, ὁ παθητικὸς ἐτράφην ἐτράφημεν καὶ ἰωνικῶς τάρπημεν καὶ ἔχει ἀφαίρεσιν καὶ ὑπερβιβασμὸν καὶ τροπὴν τοῦ δασέως εἰς ψιλόν.

Ταρχύσωσι θάψωσι. τὰ νενομισμένα τοῖς νεκροῖς πρὸς κηδείαν ἐπιτελέσωσιν. ἐκ τῆς ταραχῆς τῆς ἐν τοῖς νεκροῖς γινομένης ἐν τῷ θάπτεσθαι αὐτοὺς εἴρηται τὸ θέμα ταρχύω.

Ταφὼν δ' ἀνόρουσε δῖος Ἀχιλλεύς Ἰλιάδος ī ἀντὶ τοῦ ἐκπλαγεὶς, ἢ θαμβηθεὶς ἢ θαυμάσας. ἔστι δὲ μετοχὴ δευτέρου ἀορίστου ἐκ τοῦ θήπω τὸ ἐκπλήττομαι, ὁ β′ ἀόριστος ἔθαπον καὶ ἔταφον ἰωνικῶς, καὶ ἐξ αὐτοῦ τάφος καὶ μετοχὴ ταφών. ἡ δὲ μεταφορὰ ἐκ τῶν τάφων. καὶ γὰρ ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα διὰ τὸ μέλλον δεινόν. ἔνιοι δὲ ἀπὸ τοῦ θάπτω θάψω, ἔθαπον καὶ ἐναλλαγὴ τῶν στοιχείων, ἔταφον καὶ ταφών. 159 a

Τὰ εἰς θεν ἐπιῤῥήματα παρὰ τοῖς παλαιοῖς φωνήεντος μὲν ἐπιφερομένου ἐφείλκοντο χάριν εὐφωνίας τὸ ν̄, οἷον ἀπάνευθεν ἔρχεται. εἰ δὲ σύμφωνον ἐπιφέρετο, δίχα τοῦ ν̄ ἐξεφωνοῦντο, οἷον ἀπάνευθε κιών. περιττὴ δὲ ἡ πρόθεσις ἐν τῷ ἀπάνευθε. μυρία δὲ τοιαῦτα φανεῖται καὶ ἐν τοῖς ἑξῆς. ἐκ τοῦ κιὼν ἐξέδραμεν ὄνομα ὁ κιὼν ἀναγκαίως αὐτὸς βαρυτονηθείς. 35

Ταλαίπωρος καὶ τλήμων ἀπὸ τοῦ ταλῶ, ἐξ οὗ τὸ τλῶ κατὰ συγκοπὴν, ὅθεν καὶ τὸ τλῆναι καὶ ὁ τλήμων καὶ τλησίπονος καὶ ὅσα τοιαῦτα.

Τάπητες λέγονται δάπιδες, παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι.

Ταυθοῖ δοκεῖ δωρικὸν εἶναι, εἰ καὶ παρ' Ἀττικοῖς τέτριπται. οὕτω δὲ καὶ τὸ ἐνταῦθα. ἔστι δὲ τοῦ μὲν ἐνταῦθα ὁ δωρισμὸς ἁπλοῦς, διπλοῦς δὲ ὁ τοῦ ἐνταυθοῖ. καὶ δῆλον ἐντεῦθε ἔθος Δωριεῦσιν ὡς καὶ ἐν τοῖς τοῦ Πινδάρου φαίνεται συντάσσειν ἐστὶν ὅτε τὴν ἐν πρόθεσιν μετὰ αἰτιατικῆς. ἔτι καὶ τὸ ἔνδον λέγειν ἐνδοῖ, ὡς καὶ παρὰ Θεοκρίτῳ κεῖται, καὶ τὸ πέδον πεδοῖ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ εἰς γῆν, οὗ χρῆσις παρ' Αἰσχύλῳ. τούτων οὖν οὕτως ἐχόντων εἴη ἂν δωρικὴ σύνταξις τὸ ἐνταυτὸν, ἤγουν εἰς τοῦτον τὸν τόπον, καὶ αὖθις τροπῇ δωρικῇ τῆς ληγούσης τὸ ἐνταυτοῖ καὶ τροπῇ συνήθει τοῦ ψιλοῦ εἰς δασὺ ἑνταυθοῖ. ὁμοίᾳ δὲ συντάξει τῆς ἐν προθέσεως καὶ ἀντιμεταχωρήσει γένοιτ' ἂν καὶ τὸ ἐνταῦθα, ἐξ οὗ ἴσως καὶ τὸ ἐντεῦθεν κατὰ τὸ ἔνθα ἔνθεν. σημειοῦται δὲ παρὰ τοῖς παλαιοῖς ὡς τὸ μὲν ἐνταυθοῖ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ, τὸ δὲ ἐνταῦθα καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ,

ἐνταῦθα πέμψειν, ἔνθα μή ποθ' ἡλίου
φέγγος κατόψει.

τοῦτο γὰρ ἄμφω ἔχει. τοιοῦτον δέ φασι καὶ τὸ ἐνθάδε. τὸ μὲν γὰρ ἐνθάδε αὖθι μένων.

Ταφὼν ἰωνικὴν ἔχει τερθρείαν τοιαύτην. θάπτω θάψω, οὗ ὁ δεύτερος ἀόριστος ἔθαπτον καὶ ἀλλαγῇ τῶν δύο ἀφώνων εἰς τὰ β' ἀντίστοιχα ἔταφον ἐπί τε κοινῆς ταφῆς, καὶ ἐπὶ ἐκπλήξεως δὲ μεταφορικῶς, ὅθεν καὶ τάφος οὐ μνῆμα μόνον, ἀλλὰ καὶ ἔκπληξις καὶ ἡ μετοχὴ ταφών. ὥσπερ δὲ τὸ ἔθαπον, ἀφ' οὗ τὸ τεθηπέναι ἀφώνων ἐναλλαγὴν ἔπαθεν εἰς τὰ ἀντιστοιχοῦντα, οὕτω καθὰ καὶ ἑτέρωθι δηλοῦται,

καὶ ἄλλα εὑρίσκονται παρὰ τοῖς Ἴωσι. τὸ γοῦν ἐντεῦθεν ἐνθεῦτέν φασι, καὶ τὸ χιτῶνα κιθῶνα, καὶ τὸν βάτραχον βάθρακον. οὕτω καὶ χύτρα κύθρα λέγεται.

Τεθνάναι. τέθνημι, τὸ παθητικὸν τέθναμεν καὶ τὸ ἀπαρέμφατον τεθνάναι. ἢ τέθνημι, ὁ παρατατικὸς ἐτέθνην, ἡ μετοχὴ τεθνὰς τεθνάντος καὶ τὸ ἀπαρέμφατον τεθνάναι.

Τεθνᾶσι κρᾶσιν ἔπαθεν ὁποίαν καὶ τὸ βεβάασι βεβᾶσι καὶ ἑστάασιν ἑστᾶσιν. Σοφοκλῆς,

τεθνᾶσιν ἄνδρες ὡς ξυνῆκ' ἐγὼ τὸ σόν.

τέθνημι, τὸ πληθυντικὸν τέθναμεν τέθνατε τεθνᾶσιν, ὡς ἱστᾶσιν. ἢ οὕτως. τεθνήκασι καὶ ἀποβολῇ τοῦ κ καὶ συστολῇ τοῦ η εἰς α καὶ συναλοιφῇ τῶν δύο αα τεθνᾶσι. τὸ δὲ τεθναίην τινὲς ἐκ τοῦ τεθναίημι λέγουσι. τὸ δὲ τέθνηκα καὶ πέπτωκα τῇ μὲν φωνῇ ἐνεργητικά εἰσι, τῷ δὲ σημαινομένῳ παθητικά.

Τεθναίην. ἐκ τοῦ θνῶ γίνεται κατὰ ἀναδιπλασιασμὸν τεθνῶ, ἐξ οὗ τέθνημι συζυγίας δευτέρας τῶν εἰς μι, ἡ μετοχὴ τεθνὰς τεθνάντος, καὶ τὸ εὐκτικὸν τεθναίην τεθναίης, τὸ προστακτικὸν τοῦ ἐνεστῶτος τέθναθι τεθνάτω. ὅτι δὲ ἐνεστώς ἐστι τὸ τέθναθι, δείκνυται ἐκ τοῦ εἶναι βραχὺ τὸ α. εἰ γὰρ ἦν δεύτερος ἀόριστος, ὤφειλεν εἶναι μακρόν. ἀεὶ γὰρ ὁ εἰς θι λήγων προστακτικὸς ἀόριστος μακρᾷ παραλήγεται. τοῦ τέθνημι ὁ παρατατικὸς ἐτέθνην ἐτέθναμεν ἐτέθνατε ἐτέθνασαν.

Τεθολωμένος καὶ ἐπὶ χαρᾶς καὶ ἐπὶ λύπης, ὡς Φερεκράτης Μυρμηκανθρώποις,

γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον.

ἐπὶ δὲ ἀνίας, ἀνεθόλου δ' ἡ καρδία.

Τεκτήνατο οἶμαι ἐκ τοῦ τέκτων τεκταίνω, οὗ ὁ μέλλων τεκτανῶ, ὁ ἀόριστος ἐτέκτηνα ὁ μέσος ἐτεκτηνάμην ἐτεκτήνατο καὶ ἰωνικῶς τεκτήνατο. 160 a

Τελείετο. Ὅμηρος, Διὸς δὲ τελείετο βουλή. ἐκ τοῦ τέλος γίνεται τέλειος καὶ τελείω ῥῆμα βα-

ρύτονον, ἐξ οὗ τελείομαι ἐτελειόμην ἐτέλειστο. γίνεται γὰρ παράγωγα διὰ τοῦ εω καὶ ἀπὸ ἐνεστώτων καὶ ἀπὸ μελλόντων, οἷον νικῶ νικέω, τελῶ τελείω, θῶ θείω, σῶ σείω, ἀλλὰ τὰ ἐκ τοῦ ἐνεστῶτος γινόμενα ἔχει καὶ παρατατικὸν μόνον, τὰ δὲ ἀπὸ μέλλοντος ἐνεστῶτα μόνον, ὅθεν σημείωσαι τὸ ὕψεον ἐκ τοῦ ὑψείω. τὰ δὲ εἰς ω λήγοντα καθαρὸν τῇ ει διφθόγγῳ παραληγόμενα βαρύνεται. εἰ δέ τις περισπᾶται, τοῦτο ἀπὸ ὀνόματος γίνεται. τὸ γὰρ μειῶ καὶ τελειῶ καὶ ἀχρειῶ καὶ ἀρειῶ παρὰ τὸ μεῖος καὶ τέλειος καὶ ἄχρειος καὶ ἄρης.

Τεμῶν. τέμνω, ὁ μέλλων τεμῶ καὶ οὐ τέμω. λέγει γὰρ ὁ κανὼν, ἡ δὲ πέμπτη συζυγία τῶν βαρυτόνων τὰ ἀμετάβολα τηρεῖ συστολὴν τῆς παραληγούσης. τέμνω οὖν τεμῶ ἀποβολῇ τοῦ ν, σπείρω σπερῶ, ψάλλω ψαλῶ, ὁ β' ἀόριστος ἔτεμον, ἡ μετοχὴ τεμών.

Τεὸν ἀντὶ τοῦ σὸν δωρικῶς τροπῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ τοῦ ε τὸν καὶ τεόν.

Τέο ἀντὶ τοῦ τίνος. ἔστι τὶς τινὸς καὶ ἐκβολῇ τοῦ ν αἰολικῶς τιὸς, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ γίνεται τίος τίου. οἱ γὰρ Αἰολεῖς βαρύνουσι εἰσι. ἢ ὅτι αἱ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν πολλάκις ἀμείβουσιν τοὺς τόνους ἐκ τῆς τοίου γενικῆς κράσει τοῦ καὶ διαλύσει ἰωνικῇ τέο, ὡς ἐμοῦ ἐμέο καὶ κράσει δωρικῇ γίνεται τεῦ. ἢ ἐστι τοῦ, ὅπερ ἐστιν σύνηθες Ἀττικοῖς, οἷον τοῦ ἔστιν οὗτος υἱὸς ἀντὶ τοῦ τινὸς, τοῦ κατὰ διάλυσιν γίνεται τέο. τετόλμηται καὶ τεοῦ, οἷον τὶς ἄρα δαίμων καὶ τεοῦ χολούμενος.

Τεταγὼν, τείνας, δίψας. τάζω, ὃ σημαίνει τὸ τείνω καὶ ἕλκω, τάξω, ὁ μέσος παρακείμενος τέταγα, ὁ ἀόριστος β' ἔταγον, ἡ μετοχὴ ταγὼν καὶ κατὰ ἀναδιπλασιασμὸν τεταγών. ἔστι δὲ καὶ τάσσω τροπῇ αἰολικῇ τοῦ ξ εἰς δύο σσ.

160b Τετάχαται καὶ τετεύχαται, καὶ τὸ μὲν ἀπὸ τοῦ τάσσω τάξω, τὸ δὲ ἀπὸ τοῦ τεύχω τεύξω τέτακται καὶ τέτευκται καὶ ἰακῶς τετάχαται καὶ τετεύχαται.

Τετιημένε τὸ τεταλαιπωρημένε, ἀπὸ τοῦ τίω τὸ τιμωρῶ γίνεται περισπώμενον τιέω καὶ σημαίνει τὸ λυπῶ, ὁ μέλλων τιήσω τετίηκα, ὁ παρακείμενος τετίημαι τετιημένος.

Τέτλαθι μάτερ ἐμὴ, καρτέρησον, ὑπόμεινον. τλῶ τλῆμι, τὸ πληθυντικὸν τλάμεν καὶ τὸ προστακτικὸν τλάθι καὶ κατὰ ἀναδιπλασιασμὸν τέτλαθι. ὡς ἐκ τοῦ βεβήκαμεν βέβαμεν, οὕτως ἐκ τοῦ τέτληκαμεν τέτλαμεν, παρόπισθεν τοῦτο δύναται καὶ συγκοπῇ καὶ κινήσει εἶναι. ὁ δὲ Φιλόξενος ἀξιοῖ εἶναί τι καὶ ῥῆμα τέτλημι, ἐξ οὗ γενέσθαι τὸ τέτλαθι. ἔνιοι δὲ τλῆμι τλήσω ἔτλην ὁ β' ἀόριστος, ἡ μετοχὴ τλὰς τλάντος καὶ τὸ προστακτικὸν τλάθι καὶ τλῆθι, ὡς στῆθι, καὶ τλῆθε, ὡς στῆτε βῆτε.

Τέτηκα ὁ μέσος παρακείμενος καὶ διαθέσεως μέσης. μέση δέ ἐστι διάθεσις ἡ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος παριστῶσα δὲ τί παριστῇ, ἐπειδὴ ὁ τῶν μέσων τύπος ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις εἰς ὃν ἡ ἑρμηνεία τῶν μέσων τύπων φθάνει καὶ ἐπὶ τῶν ἐνεργητικῶν χαρακτήρων καὶ ἐπὶ τῶν παθητικῶν, καὶ ἐπὶ τῶν παθητικῶν μὲν διὰ τὸ ἠκροασάμην καὶ κατηρξάμην, παθητικὸν γὰρ τύπον ταῦτά ἐστι. καὶ ἐπὶ τῶν ἐνεργητικῶν ὡς τὸ κέκοπα καὶ πέπληγα, ἄλλως τὸ λέλογα καὶ πέφραδα ἐνεργητικὴν ἔχουσι σημασίαν, τὸ δὲ τέθεικα καὶ διέφθορα παθητικήν.

Τετράφαται τετραμμένοι καὶ ὑποτεταγμένοι εἰσίν. ἰστέον ὅτι τὰ δισύλλαβα τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων τὰ τρέποντα τὸ ε εἰς τὸ ο κατὰ τὸν ἐνεργητικὸν παρακείμενον ἐν τῷ παθητικῷ παρακειμένῳ ἀναδέχεται τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος, οἷον λέγω λέλογα λέλεγμαι, στέφω 161 a ἔστοφα ἔστεμμαι, κλέπτω κέκλοφα κέκλεμμαι, εὑρέθη καὶ κέκλαμμαι. δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου. ἐκεῖνα γὰρ τρέπουσι τὴν παραλήγουσαν ἢ τὸ ε εἰς α κατὰ τὸν παθητικὸν πα-

ρακείμενον, οἷον στρέφω ἔστροφα ἔστραμμαι, τρέφω τέτροφα τέτραμμαι. οὕτως οὖν καὶ τρέπω τέτροφα τέτραμμαι τέτραπται τετράμμεθα τέτραφθε καὶ ἰωνικῶς τετράφαται τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθέσει τοῦ α. δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ βρέχω βέβροχα βέβρεγμαι. τοῦτο γὰρ οὐκ ἔτρεψε τὸ ε̄ εἰς ᾱ.

Τετρήγει δ' ἀγορή, ἐτετάρακτο. ταράττω ταράξω τετάραχα, ὁ ὑπερσυντέλικος ἐτεταράχειν, ὁ μέσος ἐτεταράγειν. τὸ γὰρ ἐτεταράγει ἀφαιρέσει τοῦ ε̄ τεταράγει καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ τετρήγει. οὕτως καὶ τέτρηγα καὶ τετρηγώς. ἄλλοι δὲ ἀπὸ τοῦ τρύζω, οὐ καλῶς δέ.

Τετρηχυῖα ἀγορὴ ἡ τραχεῖα καὶ θορυβώδης ἢ τεταραχυμμένη ὑπὸ τοῦ θορύβου ἐκ τοῦ τραχύνω. ἢ ἀπὸ τοῦ ταράττω ταράξω τετάραχα καὶ συγκοπῇ καὶ τροπῇ τέτρηχα τετρηχὼς τετρηχότος, τὸ θηλυκὸν τετρηχυῖα.

Τετρυχωμένος. ἔστι ῥῆμα πρωτότυπον τρῶ τὸ καταπονῶ, ὅπερ ἐκ τοῦ τείρω γίνεται κατὰ συγκοπὴν, ἐξ οὗ παράγωγον τρύω καὶ πλεονασμῷ τοῦ χ τρύχω βαρύτονον, ἐξ οὗ τρυχῶ περισπώμενον συζυγίας τρίτης, τρυχώσω τετρύχωμαι τετρυχωμένος.

Τετύκοντό τε δαῖτα, παρεσκεύαξον. τεύχω, ὁ δεύτερος ἀόριστος ἔτυχον, ὁ μέσος ἐτυχόμην ἐτυχόμεθα ἐτύχοντο καὶ κατὰ ἀναδιπλασιασμὸν τετύχοντο καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄ τετύκοντο, ὥσπερ καὶ τὸ κεκάδοντο ἐκ τοῦ χάζω.

Τετύφωμαι ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν τυφῶνα καταφερομένων σκηπτῶν. ἢ ἀπὸ τῶν τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόα καταῤῥαγέντα καὶ τετυφῶσθαι καὶ μεμηνέναι. καὶ γὰρ τὰ τυφώνια πνεύματα ἐμποιεῖ μανίαν ἐμπεσόντα.

Τεῦ νῦν ὄνομα ἀρσενικὸν ἀντὶ τοῦ τινός, ὡς τὸ ἱδρώσει μέν τευ ἵππος.

Τεχθήσομαι ἐκ τοῦ τέκω τέξω τέτεχα τέτεγμαι. 161b

Τέτυκται. τεύχω τὸ κατασκευάζω, ὁ μέλλων τεύξω τέτευχα τέτευγμαι τέτευξαι τέτευκται καὶ ἀποβολῇ τοῦ ε τέτυκται. σημαίνει δὲ δύο, τὸ κατασκευάζω καὶ τὸ ἐπιτυγχάνω.

Τετύκοντο οὕτω γίνεται. ἔστι ῥῆμα τεύχω δηλοῦν τὸ κατασκευάζω, οὗ κινηθέντος εἰς δεύτερον ἀόριστον γίνεται τὸ ἔτυχον καὶ ἰωνικῶς ἔτυκον, ἐξ οὗ καὶ τυκίζω τὸ κτίζω, τυκίον ἐργαλεῖον οἰκοδομικὸν καὶ ἐκ τούτου μέσος ἀόριστος ἰωνικὸς τετυκόμην, οὗ τρίτον πληθυντικὸν τετύκοντο ἀντὶ τοῦ ἐποίησαν, κατεσκεύασαν.

Τέτλαθι ἐκ τοῦ τλῆθι γέγονεν ἀναδιπλασιασμῷ καὶ συστολῇ τῆς παραληγούσης.

Τετρήχει μὲν κατ' ὀνοματοποιίαν τὸ τετάρακτο ἢ τετράχυντο ἀπὸ τοῦ τεταράχει συγκοπῇ καὶ τροπῇ τοῦ ᾱ εἰς η̄.

Τέρσεσθαι δὲ τὸ ξηραίνεσθαι καὶ τέρσω τὸ ξηραίνω, ἐξ οὗ τὸ τερσαίνειν, καὶ ὁ τῶν τυροποιούντων ταρσὸς, καλαθίσκος δηλαδὴ ἐν ᾧ τυρὸς τέρσεται, καὶ ὁ τοῦ ποδός. κατὰ δέ τινας καὶ ἡ τῶν Κιλίκων ταρσός. ὅτι δὲ ὁ τῆς τυροποιίας ταρσὸς καὶ ταῤῥὸς λέγεται κατὰ τὸ πυρσὸς πυῤῥὸς καὶ τὰ ὅμοια, δηλοῖ ὁ κωμικὸς ἐν τῷ ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς.

Τέττορας δωρικῶς λεχθὲν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ.

Τετιημένος ἦτορ ἤγουν τετιμωρημένος. λέξις ἐστὶ ποιητικὴ ἀπὸ ἀῤῥήτου ἐνεστῶτος τοῦ τιῶ τιήσω. τοιοῦτον δὲ καὶ τὸ βεβιημένος καὶ τὸ λελιημένος ἀντὶ τοῦ ἐπιθυμῶν. τετιημένος δὲ ἦτορ ὁ κατὰ ψυχὴν πάσχων πρὸς διαστολὴν τοῦ κατὰ σῶμα.

Τηλεθάοντες παρὰ τὸ θάλλω, δύναται δὲ καὶ παρὰ τὸ θαλέθω καὶ μεταθέσει τοῦ θ̄ εἰς τ̄ ταλεθάοντες, καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ τηλεθάοντες, ὃν γὰρ παρὰ τὸ τῆλε, ὥς τινες ἐνόμισαν, καὶ τηλεθόωσα ἡ εὐθαλὴς παρὰ τὸ θαλέθω τροπῇ τοῦ θ̄ εἰς τ̄, τοῦ ᾱ εἰς η̄ καὶ μεταθέσει τοῦ τόνου τηλεθάω τηλεθῶ, τὸ θηλυκὸν τηλεθάουσα τηλεθῶσα, καὶ ὡς παρὰ τὸ βοῶσα γίνεται βοόωσα κατὰ Ἴωνας προσθήκῃ τοῦ ō, οὕτως τηλεθόωσα, ὡς ἡ μέγα θάλλουσα καὶ εὐθαλής.

Τῇ ᾽μῇ ἔχει τὸ ῑ κατὰ τὴν λήγουσαν, κατὰ δὲ τὴν ἄρχουσαν οὔ. ἔστι γὰρ τῇ ἐμῇ καὶ ἐκθλίβεται τὸ ῑ τοῦ τῇ ἄρθρου καὶ κιρνᾶται τὸ η καὶ ε̄ εἰς η, καὶ ἔστι χωρὶς τοῦ ῑ, οἷον ἀμφὶ δέ τοι τῇ μῇ κλησίῃ. οὕτως καὶ τῶ μῷ, ὡς τὸ,

δῖε Μενοιτιάδη τῶ μῷ κεχαρισμένε θυμῷ.

ἔστι γὰρ τῷ ἐμῷ ἐκθλίψει τοῦ ῑ τοῦ τῷ ἄρθρου καὶ κράσει τοῦ ω̄ καὶ ε̄ εἰς ω̄ τῶμῷ χωρὶς τοῦ ῑ κατὰ τὴν ἄρχουσαν.

Τητᾷ σημαίνει τὸ ζητεῖς, οἷον καὶ μὲν ὅδ᾽ ἀρνεῖται, τὸ δὲ τητᾷ ἔστι τῶ τὸ ζητῶ συζυγίας δευτέρας. γίνεται κατὰ ἀναδιπλασιασμὸν τατάω τατῶ καὶ κατὰ ἔκτασιν τοῦ ᾰ εἰς η̄ τητῶ, ὁ παθητικὸς ἐνεστὼς τητάομαι τητῶμαι τητάῃ τητᾷ τητάεται τητᾶται, ὡς πειρῶμαι πειρᾷ πείρᾶται.

Τηλοτάτω εἶχε μὲν ὀρθῶς εἶναι τηλετάτω ἀπὸ τοῦ τῆλε· ὅμως ἵνα μὴ ἀπαιτῆται προπαραλήγεσθαι τῇ αι διφθόγγῳ τῷ λόγῳ τῶν διὰ τοῦ αἷτατος γέγονεν ἐκ τοῦ τηλοῦ ἀπελεύσει τοῦ ū διὰ ἀπαρτισμὸν δακτύλου πρὸς ὁμοιότητα τοῦ ἀγχοῦ ἀγχοτέρω καὶ ἀγχοτάτω.

Τῇ ἀντὶ τοῦ λάβε ἀπὸ θέματος γίνεται τοῦ τῶ ἀῤῥήτου ὄντος, ὡς καὶ ἀπὸ τοῦ δρῶ τὸ δρᾶ ἀντὶ

τοῦ πράττε, καὶ ἀπὸ τοῦ ζῶ τὸ ζῇ προστακτικῶς καὶ αὐτὸ παρὰ Σοφοκλεῖ ἐν τῷ,

πλούτει τε γὰρ καὶ οἶκον εἰ βούλει μέγα,
καὶ ζῆ.

ἐξ οὗ δηλαδὴ τὸ ζῆθι γίνεται. ἐκ δὲ τοιούτου προσ-5 τακτικοῦ καὶ ἡ τίθη γίνεται κατὰ τοὺς παλαιούς, ὡς λέγουσα τῷ βρέφει, τῇ, θῆ, τουτέστι λάβε, θήλασον.

Τιθασσὸς ἐκ τοῦ τιθῶ τιθάσσω. σημαίνει δὲ τὸ χειροήθη ποιῶ κατὰ παραγωγὴν τιθασσεύω τὸ κατα-πραΰνω καὶ τῇ χειρὶ ἐπιψῶ. 10

Τίθετι. τὰ προστακτικὰ τῶν εἰς μι διχῶς κανονίζεται, καὶ ἀπὸ τοῦ παρατατικοῦ, ὥσπερ καὶ ἐπὶ τῶν εἰς ω, καὶ ἀπὸ τῆς μετοχῆς, οἷον ἵστην ἵστης ἵστη, καὶ τὸ προστακτικὸν ἵστη. ὡς δὲ ἀπὸ τοῦ ἱστὰς ἱστάντος ἵσταθι, οὕτως τιθεὶς τιθέντος τίθετι. 15

Τιθήμενος ὁμοίως τῷ κιχήμενος καὶ ἀϊήμενος ἤτοι ποιητικῇ ἐκτάσει.

Τίσασθαι, τιμωρήσασθαι. διαφέρει δὲ τοῦ τίσειν ἤτοι τιμωρήσειν. τιμωρεῖν μὲν γὰρ τὸ ἐπαμύνειν καὶ βοηθεῖν, τιμωρήσασθαι δὲ τὸ τὸν προηδικηκότα20 κολάζειν, ὡς ἀμύνειν καὶ ἀμύνασθαι. τιμωρεῖ μὲν 162b Πατροκλεῖ Ἀχιλλεύς, τιμωρεῖται δὲ Ἕκτορα. τὸ θέμα τίω καὶ σημαίνει τὸ τιμωρίαν ἐκτινύω καὶ ἀποδίδωμι, ὅθεν καὶ τίσις τιμωρία ἀντέκτισις. τίω σημαίνει καὶ τὸ τιμῶ, ὡς τὸ τίσειαν Δαναοὶ ἐμὰ δά-25 κρυα Ἰλιάδος ά. εὐκτικὸν αἰολικὸν τρίτου προσώπου τῶν πληθυντικῶν. ἐκεῖνοι γὰρ τὸ τύψαιμι τύψεια λέγουσι, ὡσαύτως τὸ τύψαις τύψειας, τὸ τύψαι τύψειε. καὶ τῷ μὲν πρώτῳ προσώπῳ χρῶνται οἱ Αἰολεῖς, τοῖς δὲ λοιποῖς προσώποις ἡ κοινὴ καὶ ἡ τῶν30 Ἀθηναίων συνήθεια καὶ διάλεκτος. ὡσαύτως καὶ τὸ τρίτον τῶν πληθυντικῶν τίσειαν. ὁ κανὼν τὰ εἰς μι εὐκτικὰ ὄντα ἐνεργητικὰ οἱ Αἰολεῖς διὰ τοῦ εια προφέρουσι, τίσαιμι τίσεια, ὑποστρέψαιμι ὑποστρέψεια, ἀκούσαιμι ἀκούσεια. τὰ δὲ τοιαῦτα εὐκτικὰ εὐχὴν δη-35

λοῦσιν πράγματος ὀφείλοντος πληρωθῆναι. ὁ γὰρ λέγων γράψειας εὔχεται ἵνα εἰς τέλος ἔλθῃ τοῦ γράψαι, καὶ ὁ λέγων ποιήσειας εὔχεται ἵνα εἰς τέλος ἔλθῃ τοῦ ποιῆσαι, ὅθεν οὐ δεῖ λέγειν πρός τινα ζήσειας, ἐπειδὴ εὑρίσκεται εὐχόμενος ἵνα εἰς πέρας ἔλθῃ τῆς ζωῆς τοῦτέστιν ἵνα ἀποθάνῃ λοιπὸν εὑρίσκεται κατευχόμενος αὐτῷ.

Τιταίνεται, τείνεται, ἕλκεται, παρὰ τὸ τάω τῶ τὸ ἐκτείνω, ταίνω κατὰ παραγωγὴν καὶ ἀναδιπλασιασμῷ τιτάίνω. ἢ ἀπὸ τοῦ τανύω τροπῇ τοῦ υ εἰς ι καὶ ὑπερθέσει καὶ συναιρέσει τοῦ α καὶ ι εἰς τὴν αι δίφθογγον, ταίνω καὶ τιταίνω.

Τιτρώσκω. τρώω τρώσω τρώσκω καὶ κατὰ ἀναδιπλασιασμὸν τιτρώσκω.

Τιτυσκόμενοι καταστοχαζόμενοι, βλέποντες, εἰ μὲν σημαίνει τὸ βλέπω, γίνεται ἀπὸ τοῦ θέω θεάσω καὶ κατὰ συγκοπὴν θῶ καὶ τροπῇ τῶ καὶ κατὰ παραγωγὴν τύω, ὁ μέλλων τύσω, πλεονασμῷ τοῦ κ τύσκω καὶ μετάγεται εἰς ἐνεστῶτα καὶ γίνεται κατὰ ἀναδιπλασιασμὸν τιτύσκω. εἰ δὲ σημαίνει τὸ κατασκευάζω, γίνεται ἀπὸ τοῦ τεύχω, ὁ δεύτερος ἀόριστος ἔτυχον καὶ ἐξ αὐτοῦ τετύσκω τροπῇ τοῦ χ εἰς κ πλεονασμῷ τοῦ σ καὶ ἀναδιπλασιασμῷ καὶ τιτύσκω καὶ τιτύσκετο.

Τίσειαν εὐκτικὸν μέν ἐστιν αἰολικὸν, ἔπεσε δὲ καὶ εἰς χρῆσιν κοινήν. κανονίζεται δὲ καὶ αὐτὸ καὶ
163a τὰ ὅμοια ῥήματα ἐκ πρώτων ἀορίστων ἐνεργητικῶν ληγόντων εἰς α ἐπεντεθείσης τῆς διφθόγγου ει πρὸ τοῦ α καὶ τῆς ἀρχούσης ἀποβληθείσης, οἷον ἔλεξα λέξεια, ἔτυψα τύψεια, ἔγραψα γράψεια. οὕτω γοῦν καὶ ἔτισας τίσειαν. εὔχεται δὲ τὰ τοιαῦτα ῥήματα κατὰ τοὺς παλαιοὺς σύντομον τοῦ πράγματος ἄνυσιν, καὶ τοῦτο μόνον διαφέρουσι τῶν κοινῶν εὐκτικῶν, οἷον τὸ μὲν τύψαις ἢ λέξαις ἢ γράψαις ἀόριστον ἔχει τὸν ἐπιθυμητὸν καιρὸν τοῦ εὐκταίου πράγματος. ὁ δ' εἰπὼν τύψειας ἢ λέξειας ἢ γράψειας εὔχεται τάχιον ἀνυ-

σθῆναι· ὃ εὔχεται διό φασι, οὐ δεῖ λέγειν ἡμᾶς πρός τινα τὸ ζήσειας εὐκτικῶς, εἶτι τοιοῦτον, ἵνα μὴ δοκῶμεν εὔχεσθαι τάχιον αὐτὸν ἐλθεῖν εἰς τέλος τοῦ καλῶς ζῆν. ἔχει δὲ τὸ τίσειαν τριπλῆν ἔννοιαν, ὡς πρὸς τὰ τρία τοῦ τίω σημαινόμενα, ἤγουν πρὸς τὸ τίω τὸ τιμῶ καὶ πρὸς τὸ τίω τὸ ἀντάποδίδωμι καὶ πρὸς τὸ τίω τὸ τιμωρίαν δίδωμι, ἵνα λέγῃ ὁ γέρων, τιμήσειαν οἱ Δαναοὶ τὰ ἐμὰ δάκρυα κακωθέντες ὑπὸ σοῦ, ἢ ἀνταποδοῖεν τὰ ἐμὰ δάκρυα καὶ ἀντικλαύσειαν, ἢ κατὰ νοῦν παθητικὴν τιμωρίαν δοῖεν, ἤγουν τιμωρηθεῖεν τοῖς σοῖς βέλεσιν διὰ τὰ ἐμὰ δάκρυα, καὶ ἀντιστρεπτικῶς δὲ εἰπεῖν ἀντὶ τῶν ἐμῶν δακρύων.

Τιταίνειν. ἄχρηστον θέμα τῶ καθάπερ οὐδὲ χρηστὸν, οὐδὲ τὸ τῶ τὸ λαμβάνω, ἐξ οὗ τὸ Κύκλωψ τῇ πίε οἶνον. ἐκ δὴ τοῦ προτέρου τῶ παράγωγα ἓν μὲν τένω, ἕτερον δὲ ταίνω διὰ διφθόγγου, ὡς δῶ δαίνω, καὶ κατ' ἀναδιπλασιασμὸν τιταίνω, ὅθεν φῦλον δαιμόνιον τιτᾶναι.

Τιτυσκόμενοι πρωτότυπον, ἐξ οὗ τὸ τετύκοντό τε δαῖτά. ὥσπερ δὲ ἀλύσκω ἐκ τοῦ ἀλύω τὸ ἀλυσκάζω, οὕτω δὲ τύκω τύσκω πλεονασμῷ τοῦ σ καὶ κατ' ἀναδίπλωσιν τιτύσκω, ἀφ' οὗ τιτύσκομαι καὶ τιτυσκόμενοι, ὅ ἐστι τεύχοντες, τεχνόμενοι.

Τιθήμενον ὡς τοῦ μέτρου ἐπιτάξαντος ἐφύλαξε τὸ η̄ τοῦ τίθημι ἐνεστῶτος καὶ οὐκ ἔτρεψεν αὐτὸ τῷ λόγῳ τῶν εἰς μι.

Τίπτε ἀντὶ τοῦ τίποτε τὰ δύο ψιλὰ κανονικῶς εἰς δύο ἀντίστοιχα δασέα ἔτρεψεν ἐν τῷ τίφθ' οὕτ' ἔστητε.

Τισόμεθα οἱ μὲν παλαιοὶ φασι εἰσπραξόμεθα. ἔστι δὲ καὶ συνήθως εἰπεῖν ἀποτίσομεν. 163b

Τλαίη εὐρεθήσεται ἀλλαχοῦ καὶ τετλαίη ἐν ἀναδιπλασιασμῷ. θέμα δὲ αὐτοῦ τὸ τλῆμι. οὕτω δὲ καὶ ἐκ τοῦ θνῶ θνῆμι ἔθνην θνὰς θνάντος καὶ κατὰ ἀναδιπλασιασμὸν τεθναίην. ἄλλως δὲ κλίσιν ὁμοίαν ἀνα-

διπλασίαστον ἔχουσι τὰ κλῦθι κατά τινας καὶ τὸ δῦθι. ἔτι δὲ καὶ τὸ ἵληθι ἐκ τοῦ ἵλημι ἀῤῥήτου θέματος. τὸ δέ γε δίδωθι δέ μοι κλέος ἐσθλόν εὐχρήστου, ἐνεστῶτος προῆκται τοῦ δίδωμι διδοὺς διδόντος δίδωθι. ἔχει δὲ ἀναγκαίαν ἀνέκτασιν τῆς παραληγούσης, καθὰ καὶ τὸ κιμπλὰς πιμπλάντος πίμπλαθι, καὶ τροπῇ πίμπληθι. οὕτω δὲ καὶ ἵλαθι ἵληθι. τὸ δὲ τέθναθι, οὗ τρίτον τεθνάτω, γεγονὼς ἐκ τοῦ τεθνὼς τεθνάντος ἐνέμεινε τῇ βραχείᾳ παραλήξει, ἐπειδὴ οὐκ ἔσχεν ἀνάγκην τινὰ μετρικήν.

Τὰς βοῦς θηλυκῶς Ἰωνές φασι, ἤδη δὲ καὶ Ἀττικοί, ὥσπερ καὶ τὰς ὄις καὶ τὰς ἵππους καὶ τὰς ἡμιόνους καὶ τὰς κύνας.

Τοῖσδεσιν ἰωνικὸν τῇ μὲν προθέσει ἐοικὼς μεταπλασμῷ, τῷ δὲ κατ' ἀρχὴν περισπωμένῳ τόνῳ πλεονασμὸν δηλοῦν τῆς τελευταίας συλλαβῆς.

Τὸ κύρμα ταὐτόν ἐστι τῷ εὐτυχὲς εὕρημα, ἢ ἁπλῶς ἐντυχία καθ' ὁμοιότητα τοῦ κατὰ συγκυρίαν.

Τὸ η εἰς ε μεταπίπτει, συν λόγῳ, καθὰ καὶ ἐν τῷ ῥῶ ῥήσω ἐῤῥήμαι ἐῤῥέθην. διὰ μὲν γὰρ τὸ ῥῶ ῥήσω καλῶς ἔχει τὸ ἐῤῥήμαι καὶ τὰ ἐξ αὐτοῦ εἴρημαι, διὰ δὲ τὸ ῥέω θέμα εὖ ἔχει καὶ τὸ ἐῤῥέθην. τὸ δ' αὐτὸ νοητέον καὶ ἐπὶ τοῦ σχῶ σχήσω ἔσχηκα ἔσχημαι ἐσχέθην.

Τοῦ ἀδηκότος πολλὴ χρῆσις. ἰστέον ὅτι πολλὴ χρῆσις παρὰ ποιηταῖς τοῦ ἀδηκῶς ἀδηκότος, καὶ ὅτι κατὰ τὸν τοιοῦτον παρακείμενον ἐνεστῶτος ἤγουν τοῦ ἀδῶ ἀδήσω καὶ τοῦ ἐκείθεν παθητικοῦ παρακειμένου ἄῤῥητον γίνεται ὄνομα ἀδήμων ἀδήμονος, ὅθεν τὸ ἀδημονεῖν, καὶ ὅτι ἀδεῖν λέγεται ἄλλως τὸ ἀρέσκειν, ὡς ἀπὸ τοῦ δευτέρου μέλλοντος, οὐ ἐνεστῶς θεματικῶς τὸ ἥδω ἤτοι εὐφραίνω δασυνομένου αὐτοῦ, εἰ καὶ τὸ ἀδεῖν ψιλοῦται αἰολικῶς, οὗ χρῆσις ἐν Ἰλιάδι.

164a ὅτι δὲ ἀδῶ ἀδήσω καὶ αὐτόχρημα τὸ ἥδεσθαι δηλοῖ ποτε δῆλον ἀπὸ χρήσεως Ἱππώνακτος, ἣν Ἡρα-

κλείδης προφέρει, εἰπόντος ἄδηκε βουλή, ἤγουν ἤρεσκε τὸ βούλευμα. καὶ εἴη ἂν τοῦ τοιούτου παρακειμένου μετοχὴ ἀδηκώς, ὁ ἡδυνθείς, ἀπ' ἐναντίας τῇ ὁμηρικῇ. εἰ δὲ ἐκ τοῦ τοιούδε ἄδηκα καὶ τοῦ ἀδηκώς γίνεται ἀττικῶς καὶ αἰολικῶς τὸ εὔαδεν ἀντὶ τοῦ ἤδυς ἔδοξε, κοινότερον δὲ τὸ ἐαδότα μῦθον ἔειπε. Τοῦ φαείνω, ἐξ οὗ δύναται εἶναι καὶ τὸ φαεινὸν, πρωτότυπόν ἐστι τὸ φάω, οὗ εὕρηται παρατατικὸς ἐν χρήσει. ἐκεῖθεν δὲ πλεονασμῷ τοῦ υ φαύω αἰολικῶς, ὅθεν ἡ φαῦσις. τοῦ δὲ τοιούτου φάω παράγωγον ῥῆμα μὲν φαέθω, ἐξ οὗ καὶ Φαέθων τὸ κύριον. ὄνομα δὲ τὸ φάος καὶ τὰ παρ' αὐτό, ὧν καὶ ἡ Πασιφάη, ἐν οἷς καὶ τὸ φάλιον, ὅπερ ἐστι λαμπρὸν, καὶ ὅσα παρ' αὐτό. ἐκ δὲ τοῦ, ὡς ἐρρέθη, φάω ῥήματος συνήρηται τὸ φῶ τὸ σύστοιχον τῷ φωτὶ, δοκοῦν αὐτὸ τρίτης εἶναι συζυγίας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ φάσκω φαίνεται. καὶ τοιοῦτον μὲν τὸ δεδηλωμένον φάω καὶ φῶ. ἔστι δὲ καὶ ἕτερον φῶ κατάρχον τοῦ φόνος καὶ τῶν ὅσα ἐκ τούτου. μυρία δὲ ἐκεῖνα. τὸ δὲ φῶ τοῦτο προσλήψει τοῦ θ̄ γενόμενον φθῶ γεννᾷ τὸ φθείρω καὶ τὸ φθείνω καὶ τὰ τούτων παράγωγα, πολλὰ καὶ αὐτὰ ὄντα. τοῦ δ' αὐτοῦ φῶ παράγωγον τὸ φάζω, ἐξ οὗ ἀρήφατος ὁ ἐν μάχῃ φονευθείς, καὶ ἐπίσφατος πλεονασμῷ συνήθει τοῦ σ̄ ὁ ὀλέθριος παρὰ τὸ πεφάσθαι, οὗ χρῆσις ἐν τῷ τρεῖς ἑνὸς ἀντιπεφάσθαι, καὶ νεκρὸς πρόσφατος, ὁ ἐγγὺς χρόνῳ ἤγουν ὁ ἐκ νέου πεφονευμένος. αὐτοῦ δὲ καὶ δύο παθητικοὶ παρακείμενοι, ὁ μὲν εἷς μετὰ τοῦ σ̄, οὗ μετοχὴ πεφασμένος ταῦρος ὁ παρὰ Λυκόφρονι, καὶ ἕτερος δίχα τοῦ σ̄, οὗ τρίτον πληθυντικὸν τὸ πέφανται, οἷον πλέονες σόοι ἠὲ πέφανται, ἤγουν ἐφονεύθησαν. ὅτι δὲ τὸ δηλωθὲν φάζω προσθέσει τοῦ σ̄ σφάζω γίνεται, καὶ ὡς ἐξ αὐτοῦ σὺν ἄλλοις μυρίοις καὶ ἡ διασφάξ, δῆλον ἐκ τῶν παλαιῶν. ἔτι φάω φῶ λέγεται καὶ τὸ λαλῶ τὸ πρωτότυπον τοῦ φημὶ, ἐκεῖθεν δὲ φάσις ὁ λόγος καὶ πρόφασις, καὶ

τὰ ἐξ αὐτῶν καὶ φατὸς καὶ φατειὸς ὁ λεκτὸς καὶ
164b πρόσφατος ὁ πρὸ ὀλίγου φατός, ἄλλος οὗτος παρὰ
τὸν δεδηλωμένον πρόσφατον νεκρόν. τοῦ δὲ φῶ ἤτοι
λέγω πρόεισι καὶ τὸ φαίνω τὸ ἁπλοῦν τοῦ ἀποφαίνω
5καὶ τῆς ἀποφάνσεως ἕτερον ὂν αὐτὸ παρὰ τὸ φαίνω
τὸ λάμπω, οὗ τρίτον ἐνικὸν παθητικοῦ παρακειμέ-
νου, τὸ τέλος δ' οὔτι πω πέφανται, ἤγουν ἐφάνη, ἐξέ-
λαμψεν, οὗ διαφέρει πάντως τὸ κλεινὸν ἔπος πέ-
φανται παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ ἀνεφάνθη, ἐγνω-
10ματεύθη. ἔτι τοῦ φῶ τὸ λέγω παράγωγον φάσσω, ὡς
βράσσω. χρῆσις δὲ αὐτοῦ σύνθετος ἐν τῷ ἀλλοφάσ-
σειν, ὅπερ ἐν τῷ ἰλιακῷ ἐπιταφίῳ παρασεσημείωται.
ἔτι ἐκ τοῦ φῶ φαίνω καὶ τοῦ φῶ τὸ λέγω παράγωγα
φάσκω καὶ ἐπενθέσει τοῦ υ φαύσκω καὶ ἀναδιπλα-
15σιασμῷ φιφάσκω, καὶ μεταβολῇ τοῦ δασέως εἰς τὸ ἀν-
τίστοιχον αὐτοῦ ψιλὸν πιφαύσκω, ἤγουν φαίνω ἐπι-
δεικνύμενος ἢ λέγω, χρῆσις ἀμφοῖν τολλαχοῦ. ὡς δὲ
ἐκ τοῦ φῶ καὶ τὸ φράζειν ἐστί, προδεδήλωται.

Τραπέουσι δηλοῖ τὸ πατοῦσι καὶ παρὰ τὸ τρέ-
20φω τὸ πήσσω ἐκ τοῦ θρέψαι.

Τρέφοιν. Εὐριπίδης,

ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.

γίνεται οὕτως, τρέφων τρέφοντος, τὸ εὐκτικὸν τρέ-
φοιμι τρέφοις τρέφοι, πλεονασμῷ τοῦ η ἀττικῶς τρε-
25φοίη, τρεφοίης τὸ δεύτερον, τρεφοίην τὸ πρῶτον
πρόσωπον καὶ συγκοπῇ τοῦ η τρέφοιν.

Τρυφὴ παρὰ τὸ θρύπτω τὸ διακλῶ θρυφὴ καὶ
τρυφὴ, ἡ διακλῶσα καὶ ἀφανίζουσα τὰ σώματα, καὶ
τρυφὲν τὸ διακλασθέν, ὡς Ὅμηρος ἐν Ἰλιάδος γ

30 τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκ-
πεσε χειρός.

παρὰ τὸ θρύπτω τὸ διακλῶ καὶ εἰς μικρὰ κόπτω, ὁ
μέλλων θρύψω, ὁ ἀόριστος ἔθρυψα, ὁ δεύτερος ἀό-
ριστος ἔτρυφον, ὁ παθητικὸς ἐτρύφην, τρυφεὶς τρυ-
φέντος τρυφὲν καὶ τρυφθέν. καὶ τρύφος ὁμοίως τὸ

κλάσμα ἀπὸ τοῦ θρύπτω κατὰ μετάθεσιν τῶν στοιχείων, ὡς θάπτος καὶ τάφος. ἢ ἀπὸ τοῦ ἔτρυφον δευτέρου ἀορίστου, ὡς ἔταφον τάφος. θρύψαι γὰρ τὸ κλάσαι.

Τρύχεται, κακοπαθεῖ, ταλαιπωρεῖται, καταπονεῖται, ἐκνενεύρισται. ἔστι ῥῆμα τρῶ δηλοῦν τὸ βλάπτω καὶ κακῶ, οὗ παράγωγον τρώω καὶ τρέω τρύω καὶ πλεονασμῷ τοῦ χ τρύχω.

Τρωὸς ἤγουν τρωϊκὸς, ἐξ οὗ καὶ τρωαὶ ἵπποι αἱ τρωϊκαὶ, δμὼς δμωὸς ὁ δμωὸς ὁ δοῦλος, ἀφ' οὗ καὶ δμωαὶ αἱ δουλίδες, ὁ φύλαξ τοῦ φύλακος ὁ φύλακος, ὁ ἑκατόγχειρ ἑκατόγχειρος ὁ ἑκατόγχειρος. οὕτως οὖν καὶ μάρτυρος γενικὴ ἀναδραμοῦσα εἰς εὐθεῖαν ἐποίησε τὸ ὁ μάρτυρος ἐξ πλεονασμοῦ οἱ μάρτυροι. τινὲς δὲ τὸ μάρτυρός φασιν εὐθεῖαν εἶναι πρωτότυπον καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν γενέσθαι τὸ μάρτυς, διό φασιν οὐδὲ κλίνεται, ὡς οὐδὲ ἄλλη εὐθεῖα πάθος τοιοῦτο ἔχουσα. καὶ οὕτω μέν τινες. Ἡρωδιανὸς δὲ εἰπὼν ὅτι καὶ μάρτυροι καὶ μάρτυρες ἑκατέρως, ἐπάγει ὅτι τέτριπται τὰ μάρτυρες ἀπὸ τῆς ρ μάρτυς εὐθείας, ἣν ἡ Ἠλείων διάλεκτος διὰ τοῦ ρ προφέρει. ἐκεῖνοι γάρ φησι τὸ σ εἰς ρ μεταβάλλουσι, τὸ οὗτος οὕτορ λέγοντες καὶ τὸ ἵππος ἵππορ, εἰς ὃ ζητητέον καὶ χρῆσιν ἐν τοῖς Ἰαμβλίχου εἰς τὰ κατὰ Πυθαγόραν. οὕτως οὖν φησὶ καὶ μάρτυς μάρτυρ, ἀφ' ἧς ἐκπίπτει πλεονασμὸς οἱ μάρτυρες παρά τε τοῖς κωμικοῖς καὶ Ἱππώνακτι. οἱ δὲ μάρτυροι ἀπὸ τῆς μάρτυρος εὐθείας, οἷον Ζεὺς δ' ἅμμ' ἐπιμάρτυρος ἔστω.

Τριχθὰ καὶ τετραχθὰ ἐκ τοῦ τρίχα καὶ τοῦ τέτραχα γίνεται πλεονασμῷ τοῦ θ διὰ τραχυφωνίαν πλείονα, ὃ δὴ γίνεται καὶ ἐπὶ τοῦ ὄχθος καὶ ὄχθη. καὶ ἐν αὐτοῖς γὰρ ἀπὸ τοῦ ἐξέχειν γινομένοις πλεονασμὸς τοῦ θ ἐστὶν, ὡς καὶ ἐν τῷ εὐοχθεῖν κατά τινας, ὃ παρ' Ἡσιόδῳ κεῖται, καὶ ἐν τῷ χθὼν χθονός. ὀξύνεται δὲ ὡς τὸ δηθά.

Τρόφι ἀντὶ τοῦ τρόφιμον ἤτοι στάσιμον πέπηγός, ὡς καὶ τοῦ τρέφειν καθὰ καὶ προεδηλώθη ἐπὶ τοιαύτης τιθεμένου σημασίας, ἐπειδὴ συνέχει τὸ σῶμα καὶ συμπήγνυσιν ἡ τροφή. ἀποκοπὴν δὲ ἔχει τὸ τρόφι ἐκ τοῦ τρόφιμον, ὡς ἀπὸ τοῦ κρίμνον τὸ κρῖ. ἄλλως γὰρ οὐδὲν ὄνομα οὐδέτερον ἑλληνικὸν εἰς ῑ λήγει, θίχα τοῦ μέλι καὶ τοῦ τι. πρόσκειται τὸ ἑλληνικὸν διὰ τὸ πέπερι καὶ τὸ σίνηπι καὶ τὸ σέσελι καὶ τὸ κύμμι καὶ τὸ κοῖφι. ταῦτα γὰρ οὐχ ἑλληνικά, ξενικὰ δὲ, ὡς φασιν οἱ παλαιοί. ἰστέον δὲ καὶ ὅτι οἱ μεθ' 165b. Ὁμήρου ῥήτορες ἄλλως τρόφιμον καὶ τρόφιν τὸν ὑπό τινος ἐκτραφέντα φασίν, ὃν καὶ θρεπτόν τινες ὀνομάζουσι. τοιοῦτον τὸ τοῦ λόγου εἰπεῖν τινα ἢ μουσῶν τρόφιμον καὶ ἱερὸν τρόφιν ἐννοσιγαίου καὶ τὰ τοιαῦτα. εἰσὶ δὲ αὐτὰ ἐλευθέρων. δοῦλοι μέντοι τραφέντες ἐν οἰκίαις δεσποτῶν οὐ τρόφιμοι καλοῦνται, ἀλλὰ δεσπόσιοι. ἢ δεσπόσιοι, ὡς ὑπὸ τῶν παλαιῶν παραδέδοται.

Τρωπᾶσθαι εἰς τοὐπίσω ἀναστρέφεσθαι ἀπὸ τοῦ τρέπεσθαι καὶ παρατρεπῶσιν ἀντὶ τοῦ παρατρέπουσιν πίθουσιν Ἰλιάδος ῑ, ἀπὸ τοῦ τρέπω τρωπῶ, ὡς στρέφω στρωφῶ, καὶ τροπέουσιν ἐπιτροπέουσιν ἐπιτρέπουσιν.

Τρώει δὲ ἀντὶ τοῦ βλάπτει. γίνεται δὲ ἐκ τοῦ τρῶ τοῦ συγκοπέντος ἐκ τοῦ τείρω. ἐκ τούτου δὲ παρὰ τοῖς ὕστερον καὶ τὸ τιτρώσκω. ὁμοίως τὸ γνῶ γινώσκω παρῆκται καὶ τὸ τρῶμα καὶ ἡ τρώμη ἐπὶ βλάβης ἰωνικῶς. τρῶμα δὲ φαμὲν οὐ τὴν ἁπλῶς, ἀλλ' ἐν πολέμῳ βλάβην, ἀφ' ἧς καὶ ἐπέντρωμα συνθέτως ἐν τοῖς τοῦ Ἀθηναίου, ὃ δοκεῖ ἐρεθισμόν τινα δηλοῦν τρυφητικὸν ἐντρῶ μὴ καταιγισμοὺς λέγω. καὶ τὰ ἐπεντρώματα. καὶ γὰρ τοὺς γαργαλισμοὺς καὶ τὰ νύγματα. δῆλον δὲ ὅτι ὥσπερ γνῶ γνώω, δῶ δώω, οὕτω καὶ τρῶ τρώω.

Τύφειαν. οἱ Αἰολεῖς τὸ γ' πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεργητικοῦ πρώτου ἀορίστου οὐ διὰ

τοῦ αιεν ἀλλὰ διὰ τοῦ ειαν προφέρουσιν. τὸ γὰρ πόψαιεν τύψειαν λέγουσι καὶ τὸ ποιήσαιεν ποιήσειαν.

Τυφωέα. τοῦτον οἱ μὲν Ὁμήρου Τυφῶνα καλοῦσι, παρ' οἷς καὶ δικατάληκτόν ἐστι τὸ ὄνομα τοῦτο. Τυφὼς γὰρ μετὰ τοῦ σ καὶ Τυφῶν μετὰ τοῦ ν ἐν τόνῳ περισπωμένῳ. εἰ δὲ καὶ Τυφάων ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται τετραχῆ ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεὺς γὰρ καὶ Τυφάων Τυφάωνος, ὅθεν τὸ Τυφαορίων ἀλαλητῶν, καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν ἀκαταληξίᾳ Τυφῶς. τοιοῦτον δέ τι καὶ ὁ ταῶς. Ἀντιφῶν μὲν φασι ὁ ῥήτωρ δισυλλάβως κλίνει, λόγον γράψας ἐπίγραμμα ἔχοντα περὶ ταῶν. Ἀττικοὶ δὲ εἰπόντες ταῶνι ἐμφαίνουσιν ὡς ὁ ταῶν ἐστὶν ἡ εὐθεῖα. πεπλεύνακε δὲ ὁ ταῶς, ὥς φησι ὁ Ἀθήναιος, ὃς εἰπὼν ὅτι περισπούδαστος ἦν ἡ τοῦ ζώου θεά. Ἡρωδιανὸς δὲ ἐν τοῖς εἰς ων περισπωμένοις, οἷον τῷ Δημοφῶντι καὶ Ξενοφῶντι καὶ τοῖς ὁμοίοις συντεταχὼς καὶ τὸν Τυφῶνα καὶ τὸν ταῶνα λέγει ὡς μόνον τὸ Τυφῶν καὶ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ντ, ἐπειδὴ καὶ ἑτέραν ἔσχε κατάληξιν. Τυφὼς γὰρ καὶ ταὼς διὰ τοῦ σ.

Τύνη δωρικὸν καὶ Ὁμήρῳ ἔγνωσται καὶ παρ' Ἡσιόδῳ ἐστί. γίνεται δὲ ὡς ἀλλαχοῦ ἀπὸ τὺ καὶ σὺ κατὰ πλεονασμὸν ὅμοιον τὸ ἐγὼ ἐγώνη.

Τὼς ἤγουν οὕτως. χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ τὼς αὐτοσφαγεῖς ὀλοίατο. ἐκ δὲ τούτου ἀποβολῇ τοῦ τ γίνεται τὸ ὣς, ὀξυνόμενον καὶ αὐτὸ ὁμοίως τῷ καθώς.

Υ.

Υἱεὺς υἱέος. δεῖ γινώσκειν ὅτι υἱεὺς υἱέος οὐ γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε καὶ ω, ἀλλὰ φυλάττει τὸ ε διὰ τοῦ ο. καὶ ὦ υἱεῖς Πριάμοιο. γίνεται δὲ υἱὸς ἀπὸ τοῦ φυὸς, τοῦτο ἀπὸ τοῦ φύω τὸ γεννῶ φυὸς καὶ υἱός. ἢ ἀπὸ τοῦ ὕω τὸ βρέχω, ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ὢν εὐφρασία. ἔστι καὶ ὗς, ὃ

σημαίνει τὸν υἱὸν, κλίνεται ὕϊος καὶ συναιρέσει υἷος, ἡ δοτικὴ υἱῖ, ἡ αἰτιατικὴ υἷα, ἡ εὐθεῖα τῶν πληθυντικῶν υἷες, ἡ αἰτιατικὴ υἷας Ἀχαιῶν. ἡ δὲ ὕϊς εὐθεῖα οὐ συναιρεῖται. οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον ἐπάγεται σύμφωνον. ἡ γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται υἱὸς υἱοῦ, ὡς ἀπὸ κῆρυξ κήρυκος ὁ κήρυκος.

Ὑμνηπολείτω ἀντὶ τοῦ ὑμνείτω καὶ ὑμνούντων ψιλῶς ἀντὶ τοῦ λεγόντων. οὕτω Πλάτων ἐν νόμοις. ἐν δὲ τοῦ πρώτου τῶν πολιτειῶν ὑμνεῖ ἀντὶ τοῦ ὀδύρεσθαι, μέμφεσθαι, λοιδορεῖν, κατὰ εὐφημισμόν. 166b

Ὑπεμνήμυκεν Ἰλιάδος χ. πάντα δ' ὑπεμνήμυκε. ἔστιν ἠμύω τὸ ἐπικλίνω καὶ καταπίπτω, ὁ παρακείμενος ἤμυκα. ὁ Ἀττικὸς ὤφειλεν εἶναι ἠμήμυκα. ἀλλ' ἐπειδὴ ὁ ἀττικὸς παρακείμενος ἀεὶ ἀπὸ βραχείας ἄρχεται, συνεστάλη τὸ η εἰς ε καὶ ἐγένετο ἐμήμυκα καὶ πλεονασμῷ τοῦ ν διὰ χρείαν ποιητικὴν ἐμνήμυκε καὶ ὑπεμνήμυκε.

Τἰὸς οἱ τεχνικοὶ φασι ὡς οἱ Ἀττικοὶ δίχα τοῦ ἰῶτα ἐν μόνῳ τῷ υ γράφουσιν αὐτό. καὶ ἴσως πρὸς διαστολὴν τοῦ ὗς ὑὸς ὁ χοῖρος ἡ κοινὴ διάλεκτος τὸ ι συνεξεφώνησε. φύσει γὰρ διὰ μόνου τοῦ υ ὤφειλεν εἶναι, εἴτε ἀπὸ τοῦ φύω, εἴτε ἀπὸ τοῦ ὕω τὸ βρέχω γινόμενον.

Τος ἄποινα, ἤγουν υἱοῦ, ὡς ἀπὸ εὐθείας υἷῖς ὗϊος καὶ κατὰ κρᾶσιν υἷος. ἡ δοτικὴ ὗϊ καὶ ὗϊ.

Ὑπεξωσμένος παρελυμένος, ἐπισυρόμενος.

Ὑπείπμεν ἀντὶ τοῦ προείπομεν, καὶ ὑπειπεῖν, προαγορεῦσθαι.

Ὑπείρεχον Ἡφαίστοιο. ἀντὶ τοῦ ὑπερεῖχον. ἔχω εἶχον καὶ τὸ ὑπείροχον, ὁμοίως ἀπὸ τοῦ ὑπερόχον ἀντὶ τοῦ ὑπερέχοντα, προύχοντα. ὁ παρατατικὸς ἰωνικῶς καὶ ἐν συνθέσει ὑπείρεχον πλεονασμῷ τοῦ ι. ὤφειλε δὲ κατὰ τὸ τέλος γενέσθαι ὁ πλεονασμός· αἱ

γὰρ προθέσεις κατὰ τὸ τέλος πλεονάζουσιν, οἷον ἐν ἐνί, προς προσί, κατὰ καταί καὶ παρὰ παραί, ἵν' ᾖ ὑπερίεχον. ἀλλ' ἐπειδὴ παρέπεται ταῖς προθέσεσι τὸ μέχρι τῆς δισυλλαβίας αὐξάνεσθαι, τούτου χάριν οὐ πλεονάζει κατὰ τὸ τέλος, ἵνα μὴ εὑρεθῇ τρισύλλαβος ἡ πρόθεσις. διὰ τί ἀναβιβάζει τὸν τόνον; πᾶς παρωχημένος χρόνος τὸν προσγινόμενον αὐτῷ χρόνον ἀποβαλὼν, ἐν τῇ συνθέσει προπαροξύνεται, οἷον εἶχον κάτεχον, ὑπερεῖχον ὑπέρεχον, καὶ πλεονασμῷ τοῦ ῑ ὑπείρεχον ποιητικῶς.

Ὑπελύσαο. λύω λύσω ἔλυσα ἐλυσάμην ἐλύσω καὶ διαλύσει ἰωνικῇ ἐλύσαο καὶ ὑπελύσαο.

Ὑπεξαίρῆσαν ἀντὶ τοῦ ὑπεξελὸν ἀνελλήνιστόν ἐστι. τοῦ γὰρ ἀορίστου μὴ ὄντος, λέγω δὴ τοῦ ἧρησα, οὐδὲ ἡ μετοχὴ αἱρήσας, τὸ οὐδέτερον τὸ αἱρῆσαν. καθόλου γὰρ τῶν διὰ τοῦ αἱρῶ περισπωμένων ῥημάτων, οἷον καθαιρῶ ἀναιρῶ διαιρῶ καὶ τῶν ὁμοίων, ἐκλέλοιπεν ὁ ἀόριστος πρῶτος καὶ τὰ τούτου κινήματα. 167 a

Ὑπεξῃρήσθω. αἱρῶ αἱρήσω ἧρηκα ἧρημαι ἡρήμην ἧρησο, τὸ προστακτικὸν ἧρησο ἡρήσθω καὶ ὑπεξῃρήσθω.

Ὑπέπισα, ὑπεπότισα, ἀπὸ τοῦ πίω πίσω ἔπισα καὶ ὑπέπισα.

Ὑπεραεῖ ἴσος ἀέλλῃ, τῇ ἄγαν πνευσῃ συστροφῇ τοῦ ἀνέμου, παρὰ τὸ ἄω τὸ πνέω ἀῶ περισπώμενον, ἐξ οὗ καὶ παράγωγον ἄημι. ἔνθεν καὶ τὸ σφοδρὸν ἀέντων ἀντὶ τοῦ πνεόντων, ὁ μέλλων ἀήσω καὶ ἄημα ἡ πνοὴ καὶ ἀήτης ὁ ἄνεμος ἀποβολῇ τοῦ ῶ, ἀῆς καὶ ἐν συνθέσει ὑπεραῆς τοῦ ὑπεραέος καὶ ὑπεραοῦς τῷ ὑπεραεῖ καὶ ἡ αἰτιατικὴ ὑπεραέα καὶ ὑπεραῆν Ἰλιάδος λ. ἐνταῦθα δὲ γένους ἐστὶ θηλυκοῦ.

Ὑπερκύδαντας, ἄγαν ὑπερενδόξους. τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς κατὰ ἀποβολὴν τοῦ σ κλίνεται, ἀκάδας ἰούδας μαχίδας λεωνίδας, χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνων ῥημάτων γίνεται, οἷον οἶδα οἶδας οἴ-

δαντος, μείδας μείδαντος, φείδομαι ἀφείδας ἀφείδαντος. οὕτως καὶ τὸ ὑπερκύδας ὑπερκύδαντος, ἀπὸ τοῦ κυδαίνω ὑπερκυδήεισεν τε καὶ ὑπερκύδαντος. λέγουσι δέ τινες ὅτι ἐν τοῖς ἐπιμερισμοῖς Ἡρωδιανὸς λέγει ὅτι μετοχή ἐστι κυδαίνω ἐκύδανα κυδάνας κυδάναντος καὶ συγκοπῇ καὶ συνθέσει ὑπερκύδας ὑπερκύδαντος. ἐν δὲ τῷ ὀνοματικῷ λέγει ὅτι ὄνομά ἐστι καὶ μᾶλλον ὄνομα δεῖ λέγειν ἤπερ μετοχή. τὸ γὰρ ὀνομαστικὸν αὐτῷ ὡμολόγηται εἶναι, οἱ δὲ ἐπιμερισμοὶ σὺκ εἰσὶν αὐτοῦ πάντες, ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι.

Ὑπερώησαν δὲ οἱ ἵπποι, ὑπεχώρησαν, ὑπερώρμησαν, ἀπὸ τοῦ ἐρωὴ ἡ ὁρμὴ ἐρωῶ ἐρωήσω.

Ὑπόσχεο ἀντὶ τοῦ συγκατάθου μέσος ἀόριστος
167b δεύτερος παθητικὸς ἀπὸ τοῦ σχοῦ, καὶ ὑπισχόμενος, καὶ ὑπισχόμενος διαβεβαιούμενος, ἐπαγγελλόμενος, ἀπὸ τοῦ ἴσχω. Ἰλιάδος ι', ὑπισχόμενοι μέγα δῶρον, καὶ ὑπέσχετο, ὁ μέλλων ἕξω, ὁ παρατατικὸς εἶχον, καὶ ὁ δεύτερος ἀόριστος, ἵνα μὴ συνεμπέσῃ τῷ παρατατικῷ, προσέλαβε τὸ σ καὶ ἐγένετο ἔσχον ἐσχόμην ἔσχετο καὶ ὑπέσχετο.

Ὑπεξανδὺς ἡ μὲν ὑπὸ πρόθεσις ἢ τὸ κρύφα δηλοῖ, ἢ τὸ ὑποκάτω, ἡ δὲ ἐξ τὸ ἐκτὸς τοῦ ὕδατος, ἡ δὲ ἀνά τὸ ἄνω γενέσθαι καὶ παντελῶς ἀπηλλάχθαι τοῦ ὑγροῦ.

Ὑπίσχεται πρωτότυπόν ἐστι τοῦ ὑπισχνεῖται· ὡς γὰρ ἵκω ἱκνῶ, οἶχω οἰχνῶ, οὕτω ὑπίσχω ὑπισχνῶ.

Ὑποπεπτηώτες ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ ω εἰς η ἐκ τοῦ πτῶ πτήσω. ἐφύλαξε δὲ τὸ ω τῆς εὐθείας. ἰστέον γὰρ ὅτι αἱ εἰς ως μετοχαὶ τὰ πολλὰ μὲν τρέπουσι τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ. πολλάκις δὲ φυλάσσουσι τὸ ω καὶ ἐν ταῖς πλαγίαις, καθ' ὁμοιότητα τῶν εἰς ως ὀξυτόνων ὀνομάτων, ὅσα διὰ τοῦ τ κλίνονται. οὕτω καὶ κατωτέρω τὸ τετριγῶτας ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ κατήσθιε τετριγῶτας. ὁμοίως καὶ τὸ ἀλεξέμεναι μεμαῶτας καὶ ἄλλα πολλά. φαίνε-

ται δὲ ἐκ τοῦ πεπτηὼς πεπτηῶτος συγκοπῇ τὸ πεπτὼς πεπτῶτος, οἷον πεπτῶτ' ἀδελφὸν παρὰ Σοφοκλεῖ, εἰ μὴ ἄρα ἐκ τοῦ πεπτωκότα συγκέκοπται κατὰ τὸ βεβρῶτες ἤγουν βεβρωκότες αἵματος λίπος.

Ὑπόδρα ἰδών ἀντὶ τοῦ δραστικὸν καὶ δριμύ, ὡς ἀπὸ τοῦ δρῶ τὸ δράπτω. μάλιστα δὲ ὡς ὀρθῶς δοκεῖ τοῖς παλαιοῖς ἀντὶ τοῦ ὑποβλεπτικῶς, παρὰ τὴν ὑπό πρόθεσιν καὶ τὸ δρῶ τὸ βλέπω καὶ οἱονεὶ διορῶ, ἐξ οὗ φασι καὶ τὸ δέρκω παράγωγον, ὅθεν καὶ τὸ δραθάνειν, ὅ ἐστι τὸ κοιμᾶσθαι, οἱονεὶ ἡ τοῦ βλέπειν ἀπόθεσις, καὶ δραπέτης ὁ οἷον ἐκπετασθεὶς τοῦ ὁρᾶν καὶ μὴ βλεπόμενος διὰ τὸ φυγεῖν. ἐκ τοίνυν τοῦ τοιούτου δρῶ ῥήματος τὸ ὑπόδρα, ὡς τῆς ὄψεως μὴ κατὰ φύσιν ἐχούσης τοῖς ὀργιζομένοις, ἀλλά πως παρατιθεμένης καὶ βαλλομένης, ὅθεν καὶ 168 a βλοσυρὸς λέγεται ὁ τὸ βλέμμα ὑποσύρων, ὁποῖόν τι καὶ οἱ φύσει τὰς ὄψεις διεστραμμένοι πάσχουσι, πλὴν οὗτοι μὲν ὑποβλέπειν λέγονται καὶ ὑπόδρα βλέπειν, ἐκεῖνοι δὲ παραβλέπειν, ὅθεν καὶ παραβλῶπες ὀνομάζονται. ἰστέον δὲ ὅτι δοκεῖ ἀπὸ τοῦ μηθέντος δρῶ γίνεσθαι καὶ τὸ ἀθρῶ, ἵνα ᾖ ἀδρῶ τὸ ἄγαν ὁρῶ καὶ κατὰ συγγένειαν τοῦ δ πρὸς τὸ θ ἀθρῶ, καθὰ καὶ ἐκ τοῦ μήδω γίνεται ὁ προμηθὴς καὶ ἐκ τοῦ οὐδενὸς τὸ ἐξουθενῶ καὶ ἄλλα δέ τινα ὁμοίως.

Τσμῖνι ὤφειλε μὲν διὰ τοῦ η ἔχειν τὴν λήγουσαν. εὐθεῖα γὰρ ἡ ὑσμίνη. μετεπλάσθη δὲ, ὡς καὶ τὸ Δωδῶνι καὶ ἀλκὶ πεποιθὼς καὶ τὰ τοιαῦτα.

Ὑφήφασται ἀπὸ τοῦ ὑφάζω ὑφάσω ὕφακα ὕφασμαι ὕφασταὶ καὶ ἀττικῶς ὑφήφασται. ἢ ἀπὸ τοῦ ὑφαίνω ὑφανῶ ὕφαγκα ὕφαμμαι. ἔθος δὲ ἔχουσιν οἱ Ἀττικοὶ πολλάκις ἐν τοῖς τοιούτοις τρέπειν τὸ πρὸ τοῦ μ σύμφωνον εἰς σ καὶ γίνεται ὕφασμαι ὡς λελάμπρυσμαι καὶ ἀττικῶς ὑφύφασμαι ὑφύφασται. ἐπεὶ δὲ ἀττικὸς παρακείμενος ἔχει τὰ αὐτὰ φωνήεντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ, ἐτράπη τὸ υ εἰς η καὶ

γέγονεν ὑφήφασται. καὶ διὰ τί μὴ ἔχον ἀντίστοιχον ἐτράπη εἰς η̄; ἐπειδὴ καὶ τὸ η̄ εἰς ῡ τρέπεται, ὡς ἐν τῷ ἅλμηρὸς ἅλμυρὸς καὶ τηρὸς τυρός.

Τρόωσιν. ὑφόω ὑφῶ ὑφῶσι καὶ πλεονασμῷ τοῦ ō ὑφόωσι, ὡς βόωσι.

Τψιπύλη Τψιπύλεια, Περσεφόνη Περσεφόνεια, οὕτω καὶ Πηνελόπη Πηνελόπεια, καὶ Βερονίκη Βερονίκεια παρὰ Ἡροδότῳ. παράγονται δὲ ὁμοίως καὶ ἄλλα πολλά.

Τίώσεις αἱ υἱοθεσίαι, καὶ υἱώσατο ἀντὶ τοῦ υἱὸν θετὸν ἐποίησεν. ὡσαύτως καὶ υἱῶσαι τὸν παῖδα ἀντὶ τοῦ υἱὸν ποιῆσαι θετόν. ἡ χρῆσις παρὰ Αἰολεῦς.

Φ.

168b Φάανθεν ἀόριστος πρῶτος παθητικός. φαίνω ἐφάνθην ἐφάνθημεν ἐφάνθησαν καὶ συγκοπῇ τοῦ ᾰ καὶ ἀφαιρέσει τοῦ ē φάανθεν, ὡς τὸ ἤγερθεν καὶ κόσμηθεν.

Φάγομαι. τὸ θέμα φήγω τὸ ἐσθίω, φήξω, ὁ δεύτερος ἀόριστος ἔφαγον, ὁ μέλλων δεύτερος φαγῶ ὅθεν καὶ τὸ ἀποφαγεῖν, ὁ μέσος μέλλων β΄ φαγοῦμαι ὤφειλεν, ἀλλὰ ἔσεται τὸ φάγομαι ἔδομαι πίομαι, τὰ δεύτερα πρόσωπα φάγῃ ἔδῃ πίῃ. ἐκ δὲ τοῦ φήγω τὸ ἐσθίω καὶ φηγὸς ἡ δρύς.

Φαέθων τὸ λάμπω. ἔστι φῶ, οὗ τὸ ἐντελὲς φάω, παράγωγον φαέθω, ὡς φλέγω φλεγέθω, ἡ μετοχὴ φαέθων. ἕτεροι δὲ ἀπὸ τοῦ φάος φαέθων Ἰλιάδος λ̄ ἠέλιος φαέθων, λάμπων ἥλιος.

Φάθι. φημὶ φήσω ἔφην φὰς φάντος φάθι. οὕτως ἐπεκράτησεν ὀξύτονον. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι παραλόγως ὀξύνεται.

Φαῖμεν. φημὶ φήσω ἔφην φὰς φάντος, τὸ εὐκτικὸν φαίην φαίημεν καὶ συγκοπῇ φαῖμεν φαίησαν καὶ φαῖεν αἰολικῶς. ἐπειδὴ γὰρ κατὰ Αἰολεῖς γίνεται

συγκοπὴ τοῦ ῆ ἐν τῷ πρώτῳ τῶν πληθυντικῶν καὶ γίνεται παραλήγουσα ἡ διφθογγος ἐξ ἀνάγκης, ἀποβολῇ τοῦ μ γίνεται φαῖεν τὸ τρίτον. τὰ γὰρ εἰς μεν λήγοντα πρῶτα πρόσωπα τῶν εὐκτικῶν πληθυντικῶν εἰ μὲν διφθόγγῳ παραλήγεται, εἰς αν ποιοῦσι τὸ τρίτον, φαίημεν φαίησαν, εἰ δὲ οὐ διφθόγγῳ, εἰς εν ἀποβολῇ τοῦ μ φαῖμεν φαῖεν, οὕτως βαῖεν τλαῖεν σταῖεν καὶ τὰ παραπλήσια.

Φάναι εἰ μὲν σημαίνει τὸ λέγειν, παροξύνεται βραχέος ὄντος τοῦ ᾰ, καὶ ἔστιν ἐνεστὼς καὶ παρατατικὸς ἀπὸ τοῦ φημὶ, εἰ δὲ σημαίνει τὸ φαίνειν, προπερισπᾶται μακροῦ ὄντος τοῦ ᾱ καὶ ἔστιν ἀόριστος 169 a πρῶτος ἀπὸ τοῦ φαίνω.

Φανήη. Ἀρίσταρχος καὶ οἱ ἀκριβεῖς γραμματικοὶ ὑποτακτικὸν τοῦτο ἔχουσιν. ἔστι γὰρ ἡ μετοχὴ φανεὶς ἐὰν φανῇ καὶ πλεονασμῷ τοῦ ῆ φανήῃ.

Φάσθαι. φημὶ τὸ λέγω. σημαίνει γὰρ τὸ φονεύω, ὁ μέλλων φήσω, ὁ δεύτερος ἀόριστος ἔφην, ὁ μέσος ἐφάμην ἔφασο ἀποβολῇ τοῦ σ ἔφαο, ὅθεν καὶ προστακτικὸν φάο ἰωνικῶς, τὸ τρίτον ἔφατο καὶ τὸ ἀπαρέμφατον φάσθαι. ἢ ἐκ τοῦ φῶ τὸ φαίνομαι παράγωγον φημὶ φήσω ἐφάθην ἐφάμην ἔφατο καὶ ὡς φάτο.

Φάτις ἡ φήμη ἀπὸ τοῦ πέφαται, ὡς ἀπὸ τοῦ πέφασαι ἡ φάσις καὶ ἐκ τοῦ πέφαμαι ἡ φάμα δωρικῶς καὶ ἡ φήμη κοινῶς.

Φαεσίμβροτος ὁ φαέθων βροτοῖς, οὗ ἡ παραγωγὴ ὡς τὸ τερψίμβροτος.

Φᾶσθαι. φάθι φασὶ ἡ κοινὴ χρῆσις, οὗ τὸ ἀνάπαλιν ἀπόφαθι κατὰ τὸν εἰπόντα, ἢ φάθι ἢ ἀπόφαθι. ἀρέσκει δὲ τοῖς πλείοσιν ἀπὸ τοῦ ἐφάμην ἀορίστου δευτέρου γενέσθαι. διὸ καὶ παροξυτονεῖσθαι, ὡς φύσει βραχέος ὄντος τοῦ παρατελεύτου ᾰ, καθὰ δῆλον καὶ ἐκ τοῦ ἔφατο καὶ φάτο καὶ φάο, οἷον ἔπος φαόμενον δ' ἐπίκευθε, ὧν ἡ ἀρχὴ ὁ ἔφην δεύτερος

ἐνεργητικὸς ἀόριστος, οὗ μετοχὴ φὰς φάντος καὶ φάντες ἐν Ἰλιάδι ταυτὸν ὂν τῷ φάμενοι. καὶ οὕτω μὲν οἱ πλείους. ὁ δὲ βαθὺς Ἡρακλείδης φαίνεται θέλων φύσει τε μακρὰν εἶναι τὴν παραλήγουσαν τοῦ φᾶσθαι καὶ προπερισπᾶσθαι αὐτήν. εἰπὼν γὰρ χρῆναι ἐν τῷ φημὶ τὸ παθητικὸν εἶναι φαμὰ διὰ τοῦ ᾱ, καὶ ὅμως ἐκλελοιπέναι διὰ τὸ δισυλλαβεῖν, ἐπεὶ οὐδὲν εἰς μαι λῆγον παθητικὸν καὶ τῷ ᾱ παραληγόμενον δισυλλαβεῖ. πάντα γὰρ ὑπὲρ δύο συλλαβάς εἰσιν. ὑποκατα-
10βὰς λέγει ὅτι καθὰ ἐκ τοῦ τιθῶ πεποίηται τὸ τίθημι καὶ ἱστῶ ἵστημι, οὕτω καὶ τοῦ φῶ φῶμαι δευτέρας συζυγίας φημὶ, οὗ παθητικὸν φαμαὶ, ἄῤῥητον δηλαδή. αὐτοῦ δὲ τὸ ἀπαρέμφατον φᾶσθαι. μετ' ὀλίγα δὲ λέγει καὶ περὶ τοῦ, ὡς ἐῤῥέθη, ὁμηρικοῦ φάο τοιαῦτα.
169b τὰ ἐπὶ δευτέρου προσώπου κατὰ παρατατικὸν χρόνον εἰς ο λήγοντα ῥήματα παρέσει τῆς παρατατικῆς αὐξήσεως προστακτικὸν ποιεῖ, οἷον ἐδείκνυσο δείκνυσο καὶ τὰ ὅμοια. οὐκοῦν καὶ ἀπὸ τοῦ ἐφάμην εἰ ἔστι τὸ δεύτερον ἔφασο, τὸ προστακτικὸν γενήσεται φάσο ἐν-
20δείᾳ χρόνου ἑνὸς τοῦ κατ' ἀρχὴν, εἶτα φάο κατ' ἔνδειαν τοῦ σ. ἐν τούτοις δὲ γράψας καὶ ὅτι ἀπὸ τοῦ εἰμὶ ἐμαὶ γίνεται τὸ ἧμην οὐ προσλήψει τοῦ ῑ. προκριτέον γάρ φησι τὴν διὰ τοῦ η γραφὴν, καὶ ἐπαγαγὼν ὅτι τὰ ἐκ δασυνομένου τοῦ ε θέματα προσλαμ-
25βάνει τὸ ῑ ἐν τῇ κινήσει, οἷον ἔρπω εἵρπον, ἕλκω εἵλκον, ἕπομαι εἱπόμην, ἐπιφέρει καὶ τὸ ἔχομαι εἰχόμην. οὐ γάρ φησι ἐν τῷ ἔχω δασὺ ἦν τὸ ε, ἐψιλώθη δὲ διὰ τὴν ἐπιφορὰν τοῦ χ. διὸ ἐδασύνθη ὁ ἔξω μέλλων, διδάσκων ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεστῶσι πνευ-
30μάτων ἄρχεσθαι τοὺς μέλλοντας.

Φέρτερον, κρεῖττον ἢ ταχύτερον ἀπὸ τῶν ἀχθοφόρων, καὶ ἀφαιρότερος ὁ τοῦ φέρειν. οἱονεὶ ἧττων κατὰ δύναμιν. γίνεται δὲ τὰ συγκριτικὰ ἀπὸ ὀνόματος, ὡς τὸ ὀξὺς ὀξύτερος, ἀπὸ ῥήματος, ὡς φέρω
35φέρτερος, ἀπὸ ἐπιῤῥήματος, ὡς πάλαι παλαιότερος.

Φέριστον, κράτιστον ἐξοχότερον ἀγαθόν.

Φῆναι ἡ ἀόριστος δεύτερός ἐστιν ὡς τὸ στῆναι, ἡ πρῶτος ἀόριστος ἔφανα φᾶναι καὶ φῆναι ἰωνικῶς, ὡς μιᾶναι μιῆναι.

Φήη. φῶ φημὶ φήσω ἔφην φὰς φάντος ἐὰν φῶ ἐὰν φῇς φῇ καὶ ἐὰν φήῃ, οἷον φήῃ, ὥσπερ καὶ ἁλῶ ἅλωμι ἁλώσω ἅλων ἁλοὺς ἁλόντος καὶ τὸ ὑποτακτικὸν ἐὰν ἁλῶ ἁλῷς ἁλῷ καὶ ἁλῴη. ἔχει δὲ ῑ προσγεγραμμένον. ἔστι γὰρ φήῃ ἐὰν ἁλῴη, ὥσπερ ἐὰν στῇ ἐὰν στήῃ, οἷον στήῃ ἐπ' ὠκυπόρῳ ποταμῷ. δύναται δὲ τὸ ἁλῴη μὴ κατὰ τὴν παραλήγουσαν ἔχειν τὸ ῑ, ἀλλὰ τὴν λήγουσαν, ἵν' ᾖ ἀπὸ τρισυλλάβων ἐὰν ἁλῶω ἁλῴης ἁλῴη. ἀλλ' ἐπεὶ πολλά εἰσιν ἐν τῇ παραληγούσῃ ἔχοντα τὸ ῑ, οἷον στήῃ φήῃ, τούτου χάριν καὶ τὸ ἁλῴη ἔχει ἐν τῇ παραληγούσῃ τὸ ῑ. οὕτως Ὀχοιός.

Φῆς ποῦ ἄταν λαῶν. Ἀρίσταρχος περισπᾶται, ὅτι παρῳχημένος ἐστὶν ἐκ τοῦ ἔφης γινόμενος. διὸ καὶ χωρὶς τοῦ ῑ γράφεται, ὡς καὶ τὸ βῆ, οἷον βῆ δ' ἀκέων. ἔστι γὰρ βῶ βῆμι, ἡ καὶ βίβημι. ὁ δεύτερος ἀόριστος ἔβην ἔβης ἔβη, βῆ κατὰ ἀφαίρεσιν τοῦ ε περισπᾶται. ἰστέον γὰρ ὅτι μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ μορίου εἰ μὲν μακρὰ συλλαβὴ ὑπολείποιτο, περισπᾶται, οἷον ἔβην βῆν, ἔβη βῆ, ἔφης φῆς· εἰ δὲ βραχεῖα, ἐξ ἀνάγκης ὀξύνεται, οἷον ἔβαν βὰν, ἔσταν στὰν, ἔφαν φάν. δεῖ δὲ γινώσκειν ὅτι τὸ φῆς δεύτεροι πρόσωπον τοῦ ἐνεστῶτος, οἷον φημὶ φῆς οὐκ ὤφελεν ἔχειν τὸ ῑ ὅσον κατὰ ἀναλογίαν. τὰ γὰρ εἰς μι τριπῆ τῆς μι εἰς σ ποιοῦσι τὸ δεύτερον. οὐκοῦν τὸ φημὶ οὐκ ἔχει τὸ ῑ. τὰ γὰρ εἰς μι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, χωρὶς τοῦ εἰμὶ τὸ ρεύομαι, καὶ εἰμὶ τὸ ὑπάρχω. δῆλον ὅτι οὐδὲ τὸ φῆς ὤφειλεν ἔχειν τὸ ῑ, ἀλλὰ κατὰ ἱστορίαν ἤτοι κατὰ παράδοσιν ἔχει αὐτὸ προσγεγραμμένον. τότε γὰρ τῇ ἱστορίᾳ χρώμεθα, ἡνίκα τι κατὰ παράδοσιν γράφομεν, ὥσπερ τὸ κείρον. ἰστέον δὲ ὅτι ἡ ἱστορία διττή

170a

